SISMANOGLIO



ΞΕΝΟΦΩΝΤΟΣ

ΚΥΡΟΥ ΑΝΑΒΑΣΙΣ

ΜΕΤΑ ΥΠΟΣΗΜΕΙΩΣΕΩΝ

ΥΠΟ

ΑΝΤΩΝΙΟΥ ΚΑΡΑΓΙΑΝΝΗ.

ΕΝ ΣΜΥΡΝΗι.

Τύποις Β. Τατικιάν.

1880.

ΤΗΙ ΙΕΡΑΙ ΣΚΙΑΙ

ΤΟΥ ΑΟΙΔΙΜΟΥ ΔΙΔΑΣΚΑΛΟΥ ΤΟΥ ΕΘΝΟΥΣ

ΚΩΝΣΤΑΝΤΙΝΟΥ ΑΣΩΠΙΟΥ

ΠΡΥΤΑΝΕΩΣ ΤΩΝ ΕΛΛΗΝΙΚΩΝ ΓΡΑΜΜΑΤΩΝ

ΕΛΑΧΙΣΤΟΝ ΕΥΓΝΩΜΟΣΥΝΗΣ ΤΕΚΜΗΡΙΟΝ

Α. ΚΑΡΑΓΙΑΝΝΗΣ.

SISMANOGLIO

ΠΡΟΛΟΓΟΣ.

Τῆς διδασκαλίας ἀπό τινων ἐτῶν σπουδαίως μεταβληθείσης, οἱ μαθηταὶ τῆς πρώτης τοῦ Γυμνασίου ἐν τῇ Εὐαγγελικῇ τοὐλάχιστον Σχολῇ, ἀνάγκη πρὸς τοῖς ἄλλοις νὰ διέρχωνται κατ' ἔτος καὶ δύο ὅλα βιβλία τῆς Ξενοφῶντος Κύρου Ἀναβάσεως. Πόσον λυσιτελὴς ὑπάρχει ἡ οὕτω γιγνομένη μελέτη τῶν Ἑλλήνων συγγραφέων, εἶναι ἤδη γνωστὸν τοῖς πᾶσι· μόνον δ' ἔν τισιν ἀποκέντροις χώραις δὲν κατενοήθη ἔτι ὅτι εὐαρίθμων κατ' ἔτος σελίδων ἑλληνικοῦ κειμένου σχολαστικὴ παράδοσις οὔτε πρὸς τὸ ἑλληνικὸν πνεῦμα οὔτε πρὸς τὸν λεκτικὸν χαρακτῆρα τοῦ συγγραφέως ἀρκοῦσι νὰ προσοικειώσωσι τὸν μαθητήν. Ἀλλὰ τὸ πολὺ κείμενον ἄνευ ἐπαρκῶν σημειώσεων ἔχει τοῦτο πάλιν τὸ ἐλάττωμα, ὅτι ἐμποιοῦν κόρον, ἀφ' οὗ ἡ ῥᾳθυμία καὶ ἡ ἀμέλεια, ἐπιδρᾷ ὀλεθρίως τοῖς πολλοῖς τῶν μαθητῶν· διὸ ἀνάγκη ὁ διδάσκαλος νὰ ὑπαγορεύῃ τὰς μᾶλλον ἀναγκαίας τοὐλάχιστον τῶν σημειώσεων. Καὶ οὕτως ὅμως οὐ μόνον πολύτιμος χρόνος ἀπόλλυται, ἀλλὰ καὶ οὔτε διὰ τὴν γραμματικὴν ἀνάλυσιν ὑπολείπεται ὁ ἀπαιτούμενος χρόνος οὔτε ἡ ἑρμηνεία δύναται νὰ ἔχῃ ἐν ἑαυτῇ τὴν προσήκουσαν ἀκρίβειαν, ἥτις εἶναι τὸ πρώτιστον προσὸν τῆς ὀρθῆς παιδείας.

Τὸ ἄτοπον τοῦτο θέλων νὰ θεραπεύσω ἀπεφάσισα χάριν τῶν μαθητῶν μου νὰ ἐκδώσω τὴν Κύρου Ἀνάβασιν μετὰ ὑποσημειώσεων γεωγραφικῶν, ἱστορικῶν, ἀρχαιολογικῶν καὶ ἑρμηνευτικῶν. Ὡς πρὸς τὰς γραμματικὰς δὲ ἀρκετὸν ἐνόμισα νὰ παραπέμψω εἰς τὰ πολύτιμα συγγράμματα τοῦ ἀοιδίμου διδασκάλου μου Κ. Ἀσωπίου.

Τινὲς νομίζουσιν ἔτι καὶ νῦν ὅτι αἱ ὑποσημειώσεις βλάβης μᾶλλον ἢ ὠφελείας γίνονται παραίτιοι, ὡς παραλύουσαι τὴν αὐτενέργειαν τῶν μαθητῶν. Ἂς ἐνθυ-

μηθῶσιν ὅμως ὅτι σπουδαστὴς τῆς πρώτης μάλιστα τοῦ Γυμνασίου τάξεως οὔτε ποῦ εὕρηνται γινώσκει καλῶς οὔτε τὸν ἀπαιτούμενον χρόνον ἔχει πρὸς ἐξεύρεδιν πάντων, ὅσα ἀπαιτοῦνται εἰς ὀρθὴν τοῦ συγγραφέως κατάληψιν· ἀρκοῦσα δὲ καὶ προσήκουσα αὐτῷ ἐργασία ἐξὶν οὐχὶ ἡ παρεξήγησις λοξῶν ἐνίοτε ἐννοιῶν καὶ ἡ ματαία ἀναζήτησις γεωγραφικῶν, ἱστορικῶν, ἀρχαιολογικῶν καὶ τεχνικῶν εἰδήσεων, ἀλλ' ἡ βοηθείᾳ τούτων ὀρθὴ κατάληψις τοῦ συγγραφέως καὶ ἡ γραμματικὴ ἀνάλυσις.

Ἐν ταῖς ὑποσημειώσεσιν ἠκολούθησα τὴν ἑξῆς μέθοδον· μετὰ τὸ κείμενον ἐπιφέρω τὴν ἐξήγησιν ἢ παράφρασιν, μετὰ δὲ τοῦτο ἑρμηνεύω πλατύτερον τὸ χωρίον ἢ τὴν λέξιν, ὅπου εἶναι ἀνάγκη, ἢ παραπέμπω ὅπου δεῖ. Οὕτως ὁ μαθητὴς εὑρίσκει εὐθὺς ἐν ἀρχῇ ἑκάστης σημειώσεως τὸ χρήσιμον ἑαυτῷ καὶ δὲν ἀναγκάζεται μετὰ τὴν ἀνάγνωσιν μακρᾶς ὑποσημειώσεως ὑποστηριζούσης δύο ἢ καὶ πλειοτέρας γνώμας νὰ κρίνῃ, ποία τούτων τῶν γνωμῶν εἶναι ὀρθοτέρα· γνωρίζω δὲ καλῶς ὅτι σημειώσεις τοιαῦται, καλαὶ διὰ φοιτητὰς πανεπιστημίου, εἰς οὐδὲν ἄλλο συντελοῦσιν, ἂν εἶναι προωρισμέναι διὰ μαθητὰς τῶν κατωτέρων τάξεων τοῦ γυμνασίου, ἢ νὰ διατελῶσιν ὡς μὴ ὑπάρχουσαι.

Περαίνων τὸν μικρὸν τοῦτον πρόλογον ὀφείλω νὰ εὐχαριστήσω καὶ δημοσίᾳ τὸν Κ. Β. Τατικιάν, ὅστις ἀναδεχθεὶς ἰδίοις ἀναλώμασι τὴν ἔκδοσιν τοῦ βιβλίου, ἐφιλοτιμήθη νὰ δημοσιεύσῃ αὐτὸ μὲ γερμανικὴν ὄντως φιλοκαλίαν καὶ ἀκρίβειαν, καὶ ταῦτα ἐν χώρᾳ, ἧς οἱ πλεῖστοι τῶν τυπογράφων χάριν κακῶς ἐννοουμένου συναγωνισμοῦ περιέστησαν εἰς τὴν ἀνάγκην νὰ φαίνωνται διαπρέποντες ἐπὶ ἀφιλοκαλίᾳ.

Ἐν Σμύρνῃ, τῇ 21 Ἰουνίου 1880.

Α. ΚΑΡΑΓΙΑΝΝΗΣ.

ΒΙΟΣ ΞΕΝΟΦΩΝΤΟΣ.

Ξενοφῶν ὁ Γρύλλου, Ἀθηναῖος, ἦτο ἐξ Ἐρχείας, δήμου τῆς Αἰγηΐδος φυλῆς. Νεώτατος ἔτι τὴν ἡλικίαν λέγουσιν ὅτι συνήντησεν ἐν στενωπῷ ὁ Σωκράτης, ὅστις διατείνας τὴν βακτηρίαν ὥστε νὰ ἐμφράξῃ τὴν πορείαν αὐτοῦ τὸν ἠρώτησε, ποῦ πωλεῖται ἕκαστον τῶν ἐδωδίμων. Ἀφοῦ δ' ὁ Ξενοφῶν εἶπε τὰ εἰκότα, ἠρώτησε πάλιν ὁ Σωκράτης, Ποῦ δὲ γίνονται ἄνθρωποι καλοὶ κἀγαθοί; Ἐπειδὴ δὲ ὁ Ξενοφῶν ἠπόρει τί ν' ἀποκριθῇ, Ἀκολούθει λοιπόν, εἶπε καὶ μάνθανε. Ἔκτοτε δὲ ἦτο ἀκροατὴς τοῦ Σωκράτους καὶ πρῶτος ἐδημοσίευσε τὴν φιλοσοφίαν τοῦ διδασκάλου, Ἀπομνημονεύματα ἐπιγράψας· λέγεται ὅμως ὅτι ἐμαθήτευσε καὶ παρὰ Προδίκῳ τῷ σοφιστῇ συμμαθητὴν ἔχων Πρόξενον τὸν Βοιώτιον, πρὸς ὃν διέκειτο ἔκτοτε φιλικώτατα.

Μετὰ τὸν Πελοποννησιακὸν πόλεμον Κῦρος ὁ νεώτερος, μένεα πνέων κατὰ τοῦ βασιλεύοντος ἀδελφοῦ του Ἀρταξέρξου (1), ἡτοιμάζετο νὰ ἐκστρατεύσῃ κατ' αὐτοῦ ἔχων συναγωνιστὰς ἐκτὸς 70,000 βαρβάρων καὶ 13,000 περίπου Ἕλληνας μισθοφόρους, ὧν στρατηγὸς πρὸς τοῖς ἄλλοις ἦτο καὶ ὁ Πρόξενος, ὅστις μετακαλεσάμενος ἐξ Ἀθηνῶν συνέστησεν εἰς τὸν Κῦρον τὸν Ξενοφῶντα (2) τῷ 401 π. χ. Ἀλλὰ τοῦ Κύρου φονευθέντος εἰς τὴν παρὰ τὰ Κούναξα μάχην, μετὰ ταῦτα δὲ τοῦ Κλεάρχου καὶ πάντων σχεδὸν τῶν ἄλλων στρατηγῶν δολοφονηθέντων ὑπὸ τοῦ Τισσαφέρνους (3), ὁ Ξενοφῶν, καθ' ὃν χρόνον οἱ ἄλλοι ἀπελπισθέντες οὐδὲ νὰ σκεφθῶσι περὶ σωτηρίας καὶ ἑαυτῶν καὶ τοῦ στρατοῦ ἐπεχείρουν, αὐτὸς ἐνέπνευσε θάρρος πρῶτον εἰς τοὺς λοχαγοὺς τοῦ Προξένου, ἔπειτα δὲ καὶ εἰς ἅπαντα τὸν στρατὸν διὰ πολλῶν καὶ δεινῶν δημηγοριῶν (4), ἕνεκα τῶν ὁποίων καὶ ἀρχισράτηγος μετὰ Χειρισόφου ἐξελέχθη, εἰ καὶ δὲν ἦτο οὔτε στρατηγὸς ἀλλ' οὔτε στρατιώτης (5), παρηκολούθει δέ, φαίνεται, ἵνα αὐτόπτης γενόμενος συγγράψῃ ἐπανελθὼν τὸν πόλεμον, ὃν ἐνόμιζε μέλλοντα νὰ γείνῃ μέγας

(1) Ἴδε Ξενοφ. Ἀνάβ. Α'. ἀ. 1. κ. ἑ. — (2) Αὐτόθι Γ'. ἀ. 4. — (3) Αὐτόθι Β'. ἑ. 31. κ. ἑ. — (4) Γ' ἀ. 15. κ. ἑ. — (5) Αὐτόθ. Γ'. ἀ. 4.

καὶ μνήμης ἄξιος. Καὶ ὅμως ὁ Ξενοφῶν εἶχε πρὸς τὸν Χειρίσοφον οἷον καὶ ὁ Θεμιστοκλῆς πρὸς τὸν Εὐρυβιάδην κατὰ τὴν ἐν Σαλαμῖνι ναυμαχίαν λόγον· διότι ὁ μὲν Χειρίσοφος ἦτο κατ' ἀνάγκην ἀρχιστράτηγος, ἐπειδὴ οἱ πλεῖστοι τῶν στρατιωτῶν, Λακεδαιμόνιοι ὄντες, δὲν ἦτο εὔκολον νὰ ὑπακούωσιν εἰς Ἀθηναῖον, καὶ ταῦτα καθ' ὃν χρόνον εἶχον τὴν ἡγεμονίαν συμπάσης τῆς Ἑλλάδος ([6])· εἰς τὸν Ξενοφῶντα ὅμως ὀφείλονται τὰ στρατηγήματα, δι' ὧν ἐπανῆλθον σῶοι εἰς τὴν Ἑλλάδα, καταπολεμούμενοι οὐ μόνον ὑπὸ ἀπειραρίθμων ἐχθρῶν ([7]), ἀλλὰ καὶ ὑπὸ τῆς πείνης ([8]), τοῦ χειμῶνος ([9]), καὶ τῶν λαῶν, δι' ὧν διήρχοντο, ὧν τινες ἦσαν μαχιμώτατοι· ὁ Ξενοφῶν διέγραψε τὴν ἀρίστην πορείαν ([10])· αὐτὸς διωργάνου τὸν στρατὸν κατὰ τὰς περιστάσεις ([11])· αὐτὸς κατώρθωσε, τοῦ Χειρισόφου ἀποροῦντος, νὰ ἐξασφαλίσῃ ἐν κρισιμωτάτῃ ὥρᾳ τὴν πορείαν τοῦ στρατοῦ καταλαβὼν κορυφὴν ὄρους καὶ ἐκεῖθεν ἀπελάσας τοὺς περὶ Τισσαφέρνην ἐμφράττοντας τὴν ὁδὸν ([12])· αὐτὸς ὡδήγησε τὸν στρατὸν διὰ τῶν Καρδουχείων ὀρέων, ἔνθα οὐδεὶς οὐδεπώποτε στρατὸς ἐτόλμησε νὰ εἰσέλθῃ εἰ μὴ ἅπαξ, ὅτε ἐξ 100,000 οὐδὲ εἷς ηὐτύχησε νὰ σωθῇ ([13])· τῇ συμβουλῇ τούτου ἐκυριεύθη ἡ ἀκρόπολις τῶν Ταόχων καὶ Δρίλλων ([14])· ὁσάκις δὲ ὁ στρατὸς ἀφηνίαζεν, αὐτὸς μόνος ἴσχυε νὰ κατευνάζῃ τὴν ὀργήν του ([15]). Ἐν συντόμῳ δὲ εἰπεῖν, τοσαύτη μὲν ἦτο ἡ πρὸς αὐτόν, ὡς στρατηγόν, πεποίθησις τοῦ στρατοῦ, ὥστε οὗτος δὲν ὤκνησε νὰ τὸν ἀκολουθήσῃ καὶ εἰς Θρᾴκην ὑπὲρ τοῦ Σεύθου ([16]) καὶ εἰς Κορώνειαν τῆς Βοιωτίας ὑπὲρ τοῦ Ἀγησιλάου καὶ τῶν Λακεδαιμονίων πολεμοῦντα ([17]), ὅτε ἡ ἀρχὴ τῆς Σπάρτης ἐκλονίζετο ἐκ θάθρων ὑπὸ τοῦ Ἐπαμινώνδου τῷ 394. Ἀλλὰ καὶ πολὺ πρότερον, ὅτε ὁ στρατὸς ἀπεφάσισεν ἀντὶ δύο νὰ ἐκλέξῃ ἕνα ἀρχιστράτηγον, εἰς τοῦτον προσηνέχθη ἡ μοναρχία· ἣν ὅμως δὲν ἀπεδέχθη, ἐνόσῳ ἔζη ὁ Χειρίσοφος ([18]). Ἦτο δὲ καὶ τοσοῦτον χρηστὸς καὶ φιλάνθρωπος, ὥστε πρὸς τὸν Χειρίσοφον οὐδέποτε ἄλλοτε ὑπὲρ οὐδενὸς ἤρισεν ἢ ὅτε ἐκάκωσεν ἕνα τῶν ὁδηγῶν ([19]), ἐν ᾧ αὐτὸς ἐσυνείθιζε νὰ περιποιῆται φιλανθρωπότατα καὶ τοὺς αἰχμαλώτους ([20])· καὶ οἱ μὲν δυσμενῶς διακείμενοι οὐδὲν ἄλλο κατ' αὐτοῦ νὰ εἴπωσιν εἶχον ἢ ὅτι ἦτο φ ι λ ο σ τ ρ α τ ι ώ τ η ς ([21]), οἱ δὲ στρατιῶται οὐ μόνον ἰσόβιον αὐτῷ εὐγνωμοσύνην ὑπισχνοῦντο, ἀλλὰ καὶ π α τ έ ρ α αὐτὸν ἀπεκάλουν ([22]), διότι πολλάκις χάριν αὐτῶν καὶ ἠγρύπνησε καὶ ἐκινδύνευσε καὶ ἐν μέρει καὶ παρὰ τὸ μέρος, καὶ οὐ μόνον ὑπὸ τοῦ Σεύθου ἐμισήθη, ἀλλὰ καὶ ὕποπτος τοῖς Σπαρτιάταις κατέστη, πρότερον πιστὸς καὶ φίλτατος νομιζόμενος ([23]).

Ἀλλὰ πόσος τὴν ἡλικίαν ἦτο τότε; ἐρωτᾶται ἤδη. Περὶ τούτου μεγάλη ἐπικρατεῖ διαφωνία οὐ μόνον παρὰ τοῖς καθ' ἡμᾶς φιλολόγοις, διατεινομένοις ὅτι ἦτο τοῖς μὲν 44 τοὐλάχιστον, τοῖς δὲ 22—30 ἐτῶν, ἀλλὰ καὶ παρὰ τοῖς ἀρχαίοις, διότι καὶ Διογένης ὁ Λαέρτιος, περὶ τὸ 200 π. χ. ἔτος ἀκμάσας, φαίνεται μὲν πιστεύων ὅτι ἤκμασε τῷ τετάρτῳ ἔτει τῆς 94 ὀλυμπιάδος (400 π χ.), προσθέτει ὅμως ὅτι κατ' ἄλλους ἤκμασε περὶ τὴν 89 ὀλυμπιάδα, τουτέστι 24 τοὐλάχιστον ἔτη πρότερον. Οἱ διατεινόμενοι ὅτι ὁ Ξενοφῶν ἐπὶ τῆς Κύρ ου ἀναβάσεως ἦτο 44 ἐτῶν στηρίζονται πρὸ πάντων ἐπὶ διηγήσεως, καθ' ἣν τὸν Ξενοφῶντα πεσόντα ἐκ τοῦ ἵππου κατὰ τὴν ἐν Δηλίῳ μάχην ἔσωσεν ὁ Σωκράτης ([24])· καὶ ἐπειδὴ μεταξὺ τῆς μάχης ταύτης, τῷ 424 γενομένης, καὶ τῆς Κύρου ἀναβάσεως, τῷ 401 ἀρξαμένης, μεσολαβοῦσι 22 ἔτη, συμπεραίνουσιν ὅτι τότε ὁ Ξενοφῶν ἦτο 44 τοὐλάχιστον ἐτῶν· διότι πρὸ τοῦ 22 ἔτους τῆς ἡλικίας των δὲν ἐξεστράτευον οἱ Ἀθηναῖοι ἔξω τῆς Ἀττικῆς. Κατὰ τῆς γνώμης ταύτης ἀντιστρατεύονται δύο μάλιστα χωρία τῆς Κύρου Ἀναβάσεως, τὸ ἐν Β'. ά. 11, ὅπου ὁ Ξενοφῶν λέγεται ν ε α ν ί σ κ ο ς, καὶ τὸ ἐν Γ'. ά. 25, ὅπου ἀνάγκης οὔσης ἀνδρὸς δυναμένου διὰ τὴν ἡλικίαν καὶ ἐμπειρίαν νὰ ἀναζωπυρήσῃ τὸ φρόνημα τῶν στρατιωτῶν, ἀπηλπισμένων διὰ τὴν δολοφονίαν τοῦ Κλεάρχ ου καὶ τῶν πλείστων στρατηγῶν, ὁ Ξενοφῶν λέγει περὶ ἑαυτοῦ, Ε ἰ δ' ὑ μ ε ῖ ς τ ά τ τ ε τ έ μ ε ή γ ε ῖ σ θ α ι, ο ὐ δ ὲ ν π ρ ο φ α σ ί ζ ο μ α ι τ ὴ ν ἡ λ ι κ ί α ν, ἀ λ λ ὰ κ α ὶ ἀ κ μ ά ζ ε ι ν ἡ γ ο ῦ μ α ι ἐ ρ ύ κ ε ι ν ἀ π ' ἐ μ α υ τ ο ῦ τ ὰ κ α κ ά. Εἶναι δ' ὄντως ἀνοίκειον νὰ λέγηται ν ε α ν ί σ κ ο ς καὶ νὰ ν ο μ ί ζ ῃ ὅτι ἀκμάζει ἀνὴρ μεσῆλιξ ἤδη ὤν. Διὰ ταῦτα λοιπὸν καὶ διότι τὸ μὲν ἐν Δηλίῳ π ά θ η μ α π α ρ' οὐδενὸς ἄλλου μνημονεύεται, ἂν ἐξαιρέσωμεν τὸν Στράβωνα ([25]), ὅστις τὸ παρέλαβε πι-

(6) Ξενοφ. Κ. Ἀν. ΣΤ'. ά. 10, Γ'. β'. 37, ΣΤ'. ά. 26 καὶ 30. — (7) Αὐτ. Β'. έ. 11, Γ'. έ. 1. κ. έ. — (8) Αὐτ. Γ'. β'. 21, 34. — (9) Αὐτ. Δ'. δ'. 11. κ. έ, μάλιστα δὲ Δ'. έ. 3, 7, 16. —(10) Αὐτ. Γ'. β'. 34. — (11) Αὐτ. Γ'. γ'. 20, Δ'. ζ'. 4. — (12) Αὐτ. Γ'. δ'. 45. — (13) Αὐτ. Γ'. έ. 16, Δ'. β'. 9, Δ'. γ'. 10. — (14) Αὐτ. Δ'. ζ'. 5, Ε'. β'. 8. — (15) Αὐτ. ΣΤ'. ς'. 10, Ζ'. ά. 21, β'. 8. — (16) Αὐτ. Ζ'. β'. 32. κ. έ. — (17) Αὐτ. Ε'. γ'. 6, Ξενοφ. Ἀγησιλ. Β'. 9. — (18) ΣΤ'. ά. 18, 20 κ. έ.

(19) ΣΤ. Κ. Ἀν. Δ. ς'. 3. — (20) Αὐτ. Δ'. έ. 28. — (21) Ζ. ς'. 4. — (22) Ζ'. ς'. 38. — (23) Αὐτ. Ζ'. ς'. 33. κ. έ. — (24) Διογ. Λαέρτ. ἐν βίῳ Ξενοφῶντος, Τομ. Β. 6. — (25) Στράβ. Θ'. 1. —

***

θανῶς ἐξ ἐκείνου, ὁ δὲ Πλούταρχος διηγεῖται ([26]) ὅτι ἐν Δηλίῳ ὁ Σωκράτης ἐσώθη ὑπὸ τοῦ Ἀλκιβιάδου, διατείνονται ἄλλοι ὅτι, ἵνα ἀποφύγωμεν τὸ ἀνωτέρω ὑποδειχθὲν ἄτοπον, ἀνάγκη, ἀπορρίπτοντες τὴν ὑπὸ Διογένους τοῦ Λαερτίου διήγησιν, νὰ παραδεχθῶμεν ὅτι ὁ Ξενοφῶν κατὰ τὴν Κύρου Ἀνάβασιν ἦτο 22—30 ἐτῶν. Κατὰ τῆς γνώμης ταύτης φαίνεται ὅτι ἀντιστρατεύεται τὸ ἐν Κύρ Ἀναβάσεως Ζ'. β'. 37 χωρίον, ἔνθα ὁ Σεύθης ὑπισχνεῖται τῷ Ξενοφῶντι, ἂν ἔχει θυγατέρα, νὰ τὴν νυμφευθῇ αὐτός. Ἀλλὰ κατὰ Θρᾷκας, καὶ 26 ἐτῶν ἂν ἦτο, ἠδύνατο νὰ ἔχῃ ἐπίγαμον θυγατέρα ὁ Ξενοφῶν ([27]). Ἂν δέ τις νομίζει ὅτι τόσον νέος δὲν θὰ ἠδύνατο νὰ ἐπιτελέσῃ τοιαῦτα καὶ τηλικαῦτα ἔργα, ἂς ἐνθυμηθῇ ὅτι ὁ μέγας Ἀλέξανδρος δεκαοκταέτης ἡγεῖτο τοῦ ἀριστεροῦ κέρατος κατὰ τὴν ἐν Χαιρωνείᾳ μάχην, ἔνθα ἐκρίνετο ἡ τύχη τῆς Ἑλλάδος καὶ τῆς Μακεδονίας, μόνῳ τῷ πατρὶ παραχωρῶν τὰ πρωτεῖα.

Ἡ κατάβασις τῶν μυρίων εἶναι ἱστορικὸν γεγονός, ὅπερ διεγείρει τὴν προσοχὴν καὶ τὸν θαυμασμὸν τοῦ ἀναγνώστου οὐ μόνον διὰ τὴν χάριν καὶ τὴν σαφήνειαν τοῦ λεκτικοῦ, ἀλλὰ καὶ διότι ἀπέλυσε ζήτημα σπουδαιότατον, ὅτι δηλαδὴ ὀλίγαι χιλιάδες ἐλευθέρως τεθραμμένων ἀνδρῶν ἤρκουν νὰ ὑποδουλώσωσιν ἅπαν τὸ τότε περσικὸν κράτος· τὴν δόξαν δὲ τοῦ Ξενοφῶντος ζηλῶν ὁ Ἀγησίλαος ἐπεχείρησε τὴν ὑπὸ τοῦ Ἐπαμεινώνδου παρακωλυθεῖσαν κατάλυσιν τοῦ περσικοῦ κράτους· *δεινὸν γὰρ ἡγεῖτο τοὺς μὲν σὺν Ξενοφῶντι μυρίους ἥκειν ἐπὶ θάλατταν, ὁσάκις ἐξελήθησαν αὐτοί, τοσαυτάκις βασιλέα νενικηκότας, αὐτοῦ δέ, Λακεδαιμονίων ἄρχοντος, ἡγουμένων γῆς καὶ θαλάσσης, μηδὲν ἔργον ἄξιον μνήμης φανῆναι πρὸς τοὺς Ἕλληνας* ([28]). Ἀλλ' ὅ τι δὲν ηὐτύχησε νὰ κατορθώσῃ ὁ Λύσανδρος, τοῦτο ἔφερεν εἰς αἴσιον πέρας ὁ μέγας Ἀλέξανδρος, ἐκ τοῦ Ξενοφῶντος καὶ οὗτος τὸ ἐνδόσιμον λαβών, ὡς λέγεται.

Ἐν τούτοις ὁ Ξενοφῶν, ἀφοῦ κατέσησε τὸν ἀχάριστον Σεύθην εἰς τὴν πατρῴαν δυναστείαν, καὶ βασιλέα ἀπὸ παρασίτου ἀνέδειξε ([29]), πρέσβεις τῶν Λακεδαιμονίων ἐλθόντες ἔπεισαν τὸν στρατὸν ἐπανακάμψας πάλιν εἰς Ἀσίαν νὰ συμπολεμήσῃ ἐκείνοις κατὰ τοῦ Τισσαφέρνους· ὁ στρατὸς ὅμως παρεκάλεσε τὸν Ξενοφῶντα, παρασκευαζόμενον νὰ πλεύσῃ εἰς τὴν πατρίδα, νὰ μὴ καταλίπῃ αὐτόν, πρὶν τοὐλάχιστον τὸν ὁδηγήσῃ εἰς Λυδίαν καὶ τὸν παραδώσῃ εἰς Θίμβρωνα ([30])· ὅπερ καὶ ἐγένετο ([31]). Μετ' οὐ πολὺ ὅμως οἱ Ἀθηναῖοι κατεδίκασαν τὸν Ξενοφῶντα εἰς ἀειφυγίαν, ὡς συμπολεμήσαντα μετὰ Κύρου τοῦ συμμάχου τῶν Λακεδαιμονίων κατὰ Τισσαφέρνους φίλου ὄντος τῶν Ἀθηναίων ([32])· διό, φαίνεται, ἀναλαβὼν πάλιν τὴν στρατηγίαν τῶν *κυρείων* ([33]), ἐπολέμει μετὰ Δερκυλλίδα πρῶτον, ἔπειτα δὲ μετ' Ἀγησιλάου ἐν Ἀσίᾳ κατὰ τῶν Περσῶν ([34])· ἐκεῖθεν δὲ μετ' Ἀγησιλάου διαβὰς συμμετέσχε τῆς κατὰ Θηβαίων μάχης ἐν Κορωνείᾳ τῆς Βοιωτίας ([35]). Διὰ ταῦτα δὲ καὶ διότι ἀνέκαθεν ἦτο φιλολάκων, οἱ Σπαρτιᾶται προτάσει, φαίνεται, τοῦ Ἀγησιλάου ἀπέδωκαν αὐτῷ *προξενίαν*, οἶκον δηλαδὴ καὶ ἀγρὸν ἐν Σκιλλοῦντι πόλει κειμένῃ παρὰ τὴν Ὀλυμπίαν, ὅπου κατῴκει μετὰ τῆς συζύγου Φιλησίας καὶ τῶν δύο υἱῶν του, Γρύλλου καὶ Διοδώρου ([36]), *διοσκούρων* μὲν διὰ τὴν φιλαδελφίαν καλουμένων ἐν Σπάρτῃ δὲ προτάσει τοῦ Ἀγησιλάου ἀνατραφέντων ([37]).

Ἐκ τῶν λαφύρων τοῦ πολέμου τὸ ἀναλογοῦν τῷ Ἀπόλλωνι καὶ τῇ Ἀρτέμιδι παρεδόθη τῷ Ξενοφῶντι· καὶ τὸ μὲν πρῶτον ἀπέστειλεν εἰς τὸν ἐν Δελφοῖς ναόν, ἵνα κατατεθῇ εἰς τὸν θησαυρὸν τῶν Ἀθηναίων, ἐπιγράψας τότε ἑαυτοῦ καὶ τὸ Προξένου ὄνομα· τὸ δὲ δεύτερον ἐνεπιστεύθη τῷ νεωκόρῳ τῆς ἐφεσίας Ἀρτέμιδος Μεγαβύζῳ, ὅτε μετ' Ἀγησιλάου ἐπορεύετο εἰς Βοιωτίαν, ἐπισείλας, ἂν μὲν αὐτὸς πάθῃ τι ἐν πολέμῳ, νὰ τὸ ἀφιερώσῃ ὁ Μεγάβυζος ὅπως αὐτὸς ἤθελε κρίνει καταλληλότερον, ἂν δὲ σωθῇ, νὰ τὸ ἀποστείλῃ εἰς αὐτόν. Τοῦτο λοιπὸν τὸ ἀργύριον, ὅτε διέτριβεν ἐν Σκιλλοῦντι, ἐλθὼν ὁ Μεγάβυζος παρέδωκεν εἰς τὸν Ξενοφῶντα· οὗτος δὲ ἀγοράσας χωρίον, ἐν ᾧ καὶ λειμὼν καὶ ἄλση καὶ ὄρη σύνδεδρα ὑπῆρχον, ἱκανὰ καὶ σῦς καὶ αἶγας καὶ βοῦς νὰ τρέφωσιν, ἔκτισε βωμὸν καὶ ναὸν ἀπὸ τοῦ ἱεροῦ ἀργυρίου καὶ τοῦ λοιποῦ τὸ μὲν δέκατον τῶν

---

(26) Πλούταρχ. ἐν βίῳ Ἀλκιβ. Ζ'. — (27) *Οὐ μόνον παρὰ βαρβάροις, ἀλλὰ καὶ παρ' Ῥωμαίοις πολλοὶ γάμοι συνίσαντο τόσον πρώϊμα, ὥστε ἐδέησε νὰ τεθῶσι νόμοι ἀπαγορεύοντες τοῦτο· ἡ δὲ προθεσμία τοῖς μὲν ἄῤῥεσιν ἐν τῷ τεσσαρεσκαιδεκάτῳ ὥρισται ἔτει, ταῖς δὲ θηλείαις ἐν τῷ δωδεκάτῳ* Ἴδε τῶν καθ' Ὅμηρον Ἀρχαιοτήτων σελ. 125. *Τοιοῦτό τι συνέβαινε καὶ παρὰ τοῖς ἀρχαιοτέροις Ἕλλησιν.* Ἴδε Ἰλ. Α. 222. Πινδρ. Ὀλ. Α.—(28) Πλουτάρχ. Ἀγησιλ. 9. 2.

(29) Ξενοφ. Κ. Ἀν. Ζ'. ξ'. 21. κ. ἑ. Ζ'. β'. 33. — (30) Αὐτ. Ζ'. ζ'. 57. — (31) Αὐτ. Ζ'. ἡ. 24. Περὶ δὲ τῶν πόλεων, δι' ὧν διῆλθεν, ἴδε Ζ'. ἡ. 1. 7 8. — (32) Παυσαν. Ε'. ς'. 5. — (33) Ἐν Ξενοφ. Ἑλληνικῶν Γ'. β'. 7. ἀναγινώσκεται, Ὁ τῶν κυρείων προεστηκὼς ἀπεκρίνατο κτλ. προεσηκώς δ' ἐνταῦθα κατὰ τοὺς σχολιαστὰς οὐδεὶς ἄλλος εἶναι ἢ αὐτὸς ὁ Ξενοφῶν. — (34) Krügerus De Xenophontis vita quaestt. critt. Hadis Saxon. 1822. σελ. 21.—(35) Ξεν. Κυο. Ἀν. Ε'. γ'. 6. (36) Διογ. Λαέρτ. §. 52. Ξενοφ. Κυρ. Ἀν. Ε'. γ'. 7. (37) Πλουτάρχ. Ἀγησιλ. 20.

προσόδων ἐδαπάνα εἰς θυσίας, τὸ δὲ λοιπὸν εἰς ἐπισκευὴν τοῦ ναοῦ· παρεῖχε δὲ τοῖς προσερχομένοις ὁ ναὸς ἄλφιτα, οἶνον, τραγήματα καὶ ζῶα ἄγρια, σῦς καὶ δορκάδας καὶ ἐλάφους ([38]). Ἐνταῦθα δὲ οἰκῶν καὶ ἡσυχίας ἀπολαύων συνέγραψε τὰ πλεῖστα τῶν συγγραμμάτων αὐτοῦ. Ἀλλὰ τῷ 371 οἱ Ἠλεῖοι, τῶν Λακεδαιμονίων ἡττηθέντων ἐν Λεύκτροις, ἀνέκτησαν τὸν Σκιλλοῦντα, ὃν πρό τινων ἐτῶν εἶχον ἀφαιρεθῆ([39]), ὁ δὲ Ξενοφῶν μετὰ τῶν περὶ αὐτὸν κατέφυγεν εἰς Κόρινθον. Καὶ ἄδηλον μὲν εἶναι ἂν ἐπανέκαμψε καὶ πάλιν εἰς Σκιλλοῦντα, ὁ Παυσανίας ὅμως ([40]) λέγει ὅτι, καθ' ἃ τῷ ἔλεγον οἱ ἐξηγηταὶ τῶν Ἠλείων, ἐδικάσθη μὲν ἐν τῇ Ὀλυμπιακῇ βουλῇ, τυχὼν ὅμως συγγνώμης κατῴκει ἐν Σκιλλοῦντι ἀδεῶς. Ἐν τούτοις, ὅτε οἱ Ἀθηναῖοι ἀπεφάσισαν νὰ βοηθήσωσι τοὺς Λακεδαιμονίους κατὰ τῶν Θηβαίων (369. π. χ.), ὁ Ξενοφῶν ἔπεμψε τοὺς υἱούς του εἰς Ἀθήνας, ἵνα ἐκστρατεύσωσιν ὑπὲρ τῶν Λακεδαιμονίων. Ἀλλ' ὁ Γρύλλος ἰσχυρῶς ἀγωνισάμενος ἐτελεύτησεν ἐν Μαντινείᾳ, ὅπου καὶ ὁ Ἐπαμινώνδας ἔπεσε. Ὅτε ἡ ἀγγελία ἔφθασεν εἰς Ἀθήνας, ὁ Ξενοφῶν, ὅστις ἔτυχε προσφέρων θυσίαν, ἀφῄρεσε τὸν στέφανον ἀπὸ τῆς κεφαλῆς· ἔπειτα ὅμως μαθὼν ὅτι γενναίως ἐτελεύτησεν, ἐπέθηκε πάλιν τὸν στέφανον· τινὲς δὲ λέγουσιν ὅτι οὐδ' ἐδάκρυσεν, ἀλλ' εἶπεν, Ἤδειν θνητὸν γεγεννηκώς ([41]). Τῷ 369 ἠμνηστεύθη· δὲν ἐπανῆλθεν ὅμως εἰς τὴν πατρίδα, ἀλλὰ μακρὰν αὐτῆς διῆλθε κατὰ τὰς ὑσάτας τοῦ βίου του ἡμέρας.

Τὰ συγγράματα τοῦ Ξενοφῶντος διαιροῦνται εἰς πολεμικά, πολιτικά, ἱστορικὰ καὶ φιλοσοφικά· καὶ πολεμικὰ μὲν εἶναι ὁ Ἱππαρχικός, ὁ Ἱππικός, ὁ Κυνηγετικός· πολιτικὰ δὲ ἡ Λακεδαιμονίων καὶ Ἀθηναίων πολιτεία, τὸ Περὶ προσόδων τῆς Ἀττικῆς· ἱστορικὰ δὲ τὰ Ἑλληνικά, ἡ Κύρου Ἀνάβασις, τὸ Ἀγησιλάου ἐγκώμιον καὶ ἡ Κύρου Παιδεία· φιλοσοφικὰ δὲ τὸ Συμπόσιον φιλοσόφων, Ἱέρων ἢ τύραννος, ὁ Οἰκονομικός, ἡ Σωκράτους Ἀπολογία καὶ τὰ Ἀπομνημονεύματα Σωκράτους· ἅπαντα δέ εἰσι γεγραμμένα εἰς ἀττικὴν διάλεκτον μετὰ σπανίας σαφηνείας, εὐκρινείας καὶ χάριτος· ἐκλέγει δὲ τὰ ὀνόματα συνήθη καὶ προσφυῆ τοῖς πράγμασι καὶ συντίθησιν αὐτὰ ἡδέως πάνυ καὶ κεχωρισμένως ([42])· διὸ καὶ Ἀττικὴ Μέλισσα ἐπωνομάσθη.

(38) Ξενοφ. Κ. Ἀν. Ε. γ. 4. ἕως νεφ. δ. — (39) Ὁ Παυσανίας ἐν Ε. ς. 6. λέγει Λακεδαιμόνιοι δὲ ὕστερον Σκιλλοῦντα ἀποτεμόμενοι τῆς Ἠλείας Ξενοφῶντι ἔδοσαν τῷ Γρύλλῳ, φυγάδι ἤδη γεγονότι ἐξ Ἀθηνῶν. — (40) Αὐτόθι. — (41) Διογ. Λαερτ. §. 53. 54. — (42) Διον. Ἁλικαρν.

ΓΕΝΙΚΑΙ ΣΗΜΕΙΩΣΕΙΣ.

Α'.

Εἰμὶ ἢ γίγνομαι ἔκ τινος = πηγάζω, προσέρχομαι.
" " " ἀπό τινος = κατάγομαι.
" " " ὑπό τινος = γεννῶμαι.
" " " τινος = εἰμὶ τεκνον ἢ κτῆμα ἢ ἔργον τινός.
" " " ἔν τινι = ἐξαρτῶμαι.
" " " ὑπό τινι = εἰμὶ εἰς τὴν ἐξουσίαν τινός.
" " " μετά τινος = συμφωνῶ, συμμαχῶ.
" " " εἴς τι = πορεύομαι, φθανω.
" " " ὑπέρ τινος = ἀναβαίνω ὑψηλότερόν τινος.
" " " ἐν ἐμαυτῷ = συνέρχομαι εἰς ἐμαυτόν.
" " " ἐν ὀργῇ, ἐν ὅπλοις, ἐν αἰτίᾳ = ὀργίζομαι, ὁπλίζομαι, αἰτιῶμαί τινα.

Ἔστιν ἢ γίγνεται πρός τινος = συνᾴδει, ἴδιόν ἐστιν.
" " " μοι τοῦτο = ἔχω τοῦτο.
" " " μετ' ἀπαρεμφάτου = δύναται ἢ ἐπιτρέπεται.

Β'.

Ἔχω μετ' αἰτιατικῆς προσώπου = μέ.
" μετ' ἀπαρεμφάτου = δύναμαι, ἠμπορῶ.
" μετ' ἐπιρρήματος = εἰμὶ ἢ διάκειμαι.
" μετὰ δοτικῆς καὶ αἰτιατικῆς = παρέχω, προσφέρω.

Γ'.

Ἡ εὐκτικὴ ά. ἁπλῆ σημαίνει εὐχήν, ὡς Γένοιτο = εἴθε νὰ γείνῃ. — β'. μετὰ τοῦ ἄν σημαίνει τὸ δυνατὸν γενέσθαι, ὡς Εἴποι τις ἄν = δύναταί τις νὰ εἴπῃ, ἤθελε τις εἰπεῖ. — γ'. εἰς τὰς διηγήσεις σημαίνει τι, ὅπερ ἠδύνατο νὰ λεχθῇ καὶ διὰ παρωχημένης τῆς ὁριστικῆς· ἀλλ' ἐν ᾧ ἡ ὁριστικὴ ἐκφέρει τὸ πρᾶγμα ὡς βέβαιον, ἡ εὐκτικὴ ὑπεμφαίνει ὅτι τὸ πρᾶγμα ὑποκειται εἰς ἀμφιβολίαν, ὡς γνώμη τοῦ λέγοντος. Ἴδε Ἀσ. 419. 233. — δ'. ἐν τοῖς ἀναφορικοῖς καὶ χρονικοῖς λογοις ἡ εὐκτικὴ σημαίνει πρᾶξιν γενομένην εἰς τὸ παρελθον ὑπὸ ἀορίστου προσώπου ἢ εἰς ἀόριστον χρόνον, ὡς Ὅς εἴποι = ὅστις δήποτε εἶπε, Ὅτε εἴποι = ὁσάκις εἶπεν ἢ ἔλεγεν. Ἴδε Ἀσ. 388. 129. 393. 148. 394. 149.

Δ'.

Τὰ ἑξῆς ῥήματα συντάσσονται μετὰ μετοχῆς συνήθως· ἀλλ' ἡ μὲν μετοχὴ ἐπέχει τόπον ῥήματος, τὸ δὲ ῥῆμα τύπον ἐπιῤῥήματος. Τότε δέ

Τυγχάνω ὤν = κατὰ τύχην ἢ τυχαίως εἰμί.
Ἐλαθέ με φυγών = ἔφυγε λάθρα, χωρὶς νὰ ἐννοηθῇ.
Διατελῶ λέγων = ἀδιαλείπτως λέγω.

Χαίρω ἰδών = μὲ χαρὰν εἶδον.
Φθάνω, ἔφθην εἶπων = πρότερον ἢ προλαβόντως εἶπον.
Λαγχάνω ὤν = διὰ κλήρου ἢ κατ' ἐκλογὴν εἰμι.
Οἴχομαι φευγων = ταχέως ἢ παραυτα φεύγω.
Διάγω παίζων = διατελῶ, ἀδιαλείπτως παίζω.
Διαγίγνομαι πολεμῶν = διατελῶ, ἀδιαλείπτως πολεμῶ.

Ε'.

Ὃ ἄν ἐν μέσῳ λόγου λέγεται δυνητικός· σημαίνει δὲ μετ' εὐκτικῆς μὲν τὸ δυνατὸν γενέσθαι, ὡς Εἶποιμι ἄν = δύναμαι νὰ εἶπω ἢ ἤθελον εἰπεῖ· μετὰ παρῳχημένων δὲ τῆς ὁριστικῆς τὸ ἀδύνατον γενέσθαι ἢ τὸ ἀποφατικῶς βέβαιον, ὡς *Ἔδιδον ἄν* = θα ἔδιδον = δὲν ἔδιδα. *Μετὰ ὑποτακτικῆς ἐπιτείνει τὴν ἀοριστίαν, ὡς Ὅς ἄν εἴπῃ* = ὅστις δήποτε καὶ ἂν εἴπῃ *Μετ' ἀπαρεμφάτου σημαίνει ἢ τὸ δυνατὸν ἢ τὸ ἀδύνατον γενέσθαι. Μετὰ μετοχῆς ἔχει μίαν τῶν ἀνωτέρω σημασιῶν. Ἐνίοτε μεταχειρίζονται εὐκτικὴν μετὰ τοῦ ἄν ἐπὶ βεβαιωτάτων μέν, ἀγενῶν ὅμως ἢ φαύλων πραξεων ἵνα ἀποφυγωσι βάναυσον ἢ ἀπότομον ἔκφρασιν. Ἴδε Ξενοφ. Κ. Ἀν. Α. γ'. 17. ὁκνοίην ἄν.*

ΣΤ'.

Δίκην ἐπιτίθημί τινι = τιμωρῶ.
,, *ἔχω ὑπό τινος* = τιμωροῦμαι.
,, *διδωμι* = τιμωροῦμαι.
,, *ὑπέχω* = εἰσάγομαι εἰς δίκην ἢ καὶ καταδικάζομαι.
,, *διώκω* = ἐνάγω εἰς δίκην.
,, *ἀποπέφευγα* = ἀθωοῦμαι.
,, *λαμβάνω* = ζητῶ νὰ λάβω ἱκανοποίησιν.
τῆς δίκης τυχεῖν ἢ λαχεῖν = τιμωρηθῆναι.

Ζ'.

Ἔστιν ὅς = τίς.	*Οὐκ ἔστιν ὅς* = οὐδείς.
,, *οἵ* = τινές.	,, ,, *ὅτε* = οὐδέποτε.
,, *ὅτε* = ἐνίοτε.	,, ,, *ὅπως* = οὐδαμῶς.
,, *ὅπως* = πως.	,, ,, *ὅστις οὗ* = πάντες.

οὐκ ἔστιν ὅπως οὗ = πάντως κτλ.

ΕΞΗΓΗΣΙΣ ΤΩΝ ΣΥΝΤΕΤΜΗΜΕΝΩΝ ΛΕΞΕΩΝ.

Ἀσ. = *Ἀσωπίου Περὶ Ἑλληνικῆς Συντάξεως Περίοδος Δευτέρα, Ἔκδοσις Δευτέρα.*
Γ. Σ. Α'. Β'. κτλ. = *Γενικῶν σημειώσεων Α'. Β'. κτλ.*

ΚΥΡΟΥ ΑΝΑΒΑΣΙΣ.

ΞΕΝΟΦΩΝΤΟΣ

ΚΥΡΟΥ ΑΝΑΒΑΣΙΣ

ΒΙΒΛΙΟΝ ΠΡΩΤΟΝ.

Δαρείου καὶ Παρυσάτιδος γίγνονται παῖδες δύο, 1
πρεσβύτερος μὲν Ἀρταξέρξης, νεώτερος δὲ Κῦρος. ἐπεὶ
δὲ ἠσθένει Δαρεῖος καὶ ὑπώπτευε τελευτὴν τοῦ βίου,
ἐβούλετο τὼ παῖδε ἀμφοτέρω παρεῖναι. ὁ μὲν οὖν πρε- 2
σβύτερος παρὼν ἐτύγχανε· Κῦρον δὲ μεταπέμπεται ἀπὸ
τῆς ἀρχῆς, ἧς αὐτὸν σατράπην ἐποίησε, καὶ στρατηγὸν
δὲ αὐτὸν ἀπέδειξε πάντων, ὅσοι εἰς Καστωλοῦ πεδίον
ἀθροίζονται. ἀναβαίνει οὖν ὁ Κῦρος λαβὼν Τισσαφέρ-
νην ὡς φίλον, καὶ τῶν Ἑλλήνων δὲ ἔχων ὁπλίτας ἀνέβη
τριακοσίους, ἄρχοντα δὲ αὐτῶν Ξενίαν Παρράσιον.

§. 1. *Δαρείου.. γίγνονται*] ὁ Δαρεῖος εἶχεν· ἐνεστὼς ἀντὶ ἀορίστου. Ἴδε Ἀσ. 494. 13.—*παῖδες δύο*] ἐκ 30 τέκνων τοῦ Δαρείου δύο οὗτοι ἔχουσιν ἱστορικὴν ἀξίαν.—*Τὼ παῖδε*] οἱ δύο παῖδες· δυϊκὸς ἀριθμός.

§. 2. *Σατράπης*] ὁ σήμερον ἐλληνιστὶ μὲν νομάρχης, τουρκιστὶ δὲ πασσᾶς ἢ βαλῆς. — *ἐποίησε*] εἶχε διορίσει ἢ καταστήσει· ἀόρ. ἀντὶ ὑπερσ. Ἴδε Ἀσ. 501. 37. — *καὶ . . . δὲ*] προσέτι δὲ καί. — *ἀπέδειξε*] ποιῶ ἢ ἀποδεικνύω τινὰ τοιοῦτον = καθιστῶ τινα τοιοῦτον.—*Καστωλοῦ πεδίον*] ἑκάστου νομοῦ τῆς Περσίας τὰ στρατεύματα χάριν γενικῶν γυμνασίων συνήρχοντο κατ' ἔτος εἰς εὐρεῖαν πεδιάδα· ἦν δὲ ὁ Καστωλὸς πόλις τῆς Λυδίας. — *ἀναβαίνει*] πορεία ἐκ τῶν παραλίων μερῶν λέγεται ἀνάβασις μὲν κατὰ ξηράν, ἀνάπλους δὲ κατὰ θάλασσαν.—*ἔχων ὁπλίτας*] μὲ ὁπλίτας· ταύτην τὴν σημασίαν ἔχει μετὰ αἰτ. προσώπου συντασσόμενον.

3 ἐπεὶ δὲ ἐτελεύτησε Δαρεῖος καὶ κατέστη εἰς τὴν βασιλείαν Ἀρταξέρξης, Τισσαφέρνης διαβάλλει τὸν Κῦρον πρὸς τὸν ἀδελφόν, ὡς ἐπιβουλεύοι αὐτῷ. ὁ δὲ πείθεταί τε καὶ συλλαμβάνει Κῦρον ὡς ἀποκτενῶν· ἡ δὲ μήτηρ ἐξαιτησαμένη αὐτὸν ἀποπέμπει πάλιν ἐπὶ τὴν ἀρ-
4 χήν. ὁ δ', ὡς ἀπῆλθε κινδυνεύσας καὶ ἀτιμασθείς, βουλεύεται, ὅπως μήποτε ἔτι ἔσται ἐπὶ τῷ ἀδελφῷ, ἀλλ', ἢν δύνηται, βασιλεύσει ἀντ' ἐκείνου. Παρύσατις μὲν δὴ ἡ μήτηρ ὑπῆρχε τῷ Κύρῳ, φιλοῦσα αὐτὸν μᾶλλον ἢ
5 τὸν βασιλεύοντα Ἀρταξέρξην. ὅστις δ' ἀφικνεῖτο τῶν παρὰ βασιλέως πρὸς αὐτόν, πάντας οὕτω διατιθεὶς ἀπεπέμπετο, ὥστε αὐτῷ μᾶλλον φίλους εἶναι ἢ βασιλεῖ. καὶ τῶν παρ' ἑαυτῷ δὲ βαρβάρων ἐπεμελεῖτο, ὡς πολε-
6 μεῖν τε ἱκανοὶ εἴησαν καὶ εὐνοϊκῶς ἔχοιεν αὐτῷ. τὴν δὲ Ἑλληνικὴν δύναμιν ἤθροιζεν ὡς μάλιστα ἐδύνατο ἐπικρυπτόμενος, ὅπως ὅτι ἀπαράσκευότατον λάβοι βασιλέα. ὧδε οὖν ἐποιεῖτο τὴν συλλογήν· ὁπόσας εἶχε φυλακὰς ἐν ταῖς πόλεσι παρήγγειλε τοῖς φρουράρχοις ἑκάστοις λαμβάνειν ἄνδρας Πελοποννησίους ὅτι πλείστους καὶ βελτίστους, ὡς ἐπιβουλεύοντος Τισσαφέρνους ταῖς πόλεσι· καὶ γὰρ ἦσαν αἱ Ἰωνικαὶ πόλεις Τισσαφέρνους τὸ ἀρχαῖον ἐκ βασιλέως δεδομέναι, τότε δ' ἀφειστήκεσαν

§. 3. Ὡς ἐπιβουλεύοι] ἴδε Γ. Σ. Γ.—Ὡς ἀποκτενῶν] ἵνα τὸν φονεύσῃ· τίθεται δὲ κυρίως τὸ ὡς μετὰ μέλλοντος ὡς μετοχῆς εἰς δήλωσιν τελικοῦ τοῦ ἢ σκοποῦ ἐπὶ τῶν ῥημάτων τῶν σημαινόντων προπαρασκευήν τινα. Ἰδε. Ἀσ. 533. 143.

§. 4. Ὅπως μὴ ἔσται ἐπὶ τῷ ἀδελφῷ] πῶς νὰ μὴ εἶναι ὑπὸ τὴν ἐξουσίαν τοῦ ἀδελφοῦ. Γ. Σ. Α'. περὶ δὲ τοῦ ὅ π ω ς μετὰ μέλλοντος ὁριστικῆς μὲ τροπικὴν σημασίαν ἴδε Ἀσ. 734. 14.—ὑπῆρχε τῷ Κύρῳ] συνέπραττεν (ὡς λέγει κατωτέρω §. 8.) ἢ ὑπεστήριζεν.

§. 5. Ὡς . . ἱκανοὶ εἴησαν] ἵνα γείνωσιν ἱκανοί· ἀλλ' ἴδε Ἀσ. 732. 6. καὶ 9.

§. 6. Ὡς ἠδύνατο μάλιστα ἐπικρυπτόμενος] μεθ' ὅσον τὸ δυνατὸν πλείστης ἐπιφυλάξεως. — ὅτι ἀπαρασκευότατον] ὅσον ἦτο δυνατὸν τὰ μάλιστα ἀπαράσκευον· τὸ ὅ τ ι καὶ ὡ ς μετὰ τῶν ἐπιθέτων καὶ ἐπιρρημάτων ἰσοδυναμεῖ τῷ, ὅσον εἶναι δυνατόν.—Ὁπόσας εἶχε φυλακὰς κτλ.] παρήγγειλεν ἑκάστῳ φρουράρχῳ τῶν φυλακῶν (φρουρῶν) ὁπόσας εἶχεν ἐν ταῖς πόλεσιν. — ὡς ἐπιβουλεύοντος] διότι (ὡς ἔλεγεν) ἐπεβουλεύετο· τὸ ὡ ς μετὰ μετοχῆς, ὄχι μέλλοντος χρόνου, σημαίνει αἰτίαν, ἥτις ἂν ἀληθεύει, ἀγνοεῖ ὁ ἀκούων.

πρὸς Κῦρον πᾶσαι πλὴν Μιλήτου· ἐν Μιλήτῳ δὲ Τισ- 7
σαφέρνης, προαισθόμενος τὰ αὐτὰ ταῦτα βουλευομένους [ἀποστῆναι πρὸς Κῦρον], τοὺς μὲν αὐτῶν ἀπέκτεινε, τοὺς δ' ἐξέβαλεν. ὁ δὲ Κῦρος ὑπολαβὼν τοὺς φεύγοντας, συλλέξας στράτευμα, ἐπολιόρκει Μίλητον καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν καὶ ἐπειρᾶτο κατάγειν τοὺς ἐκπεπτωκότας. καὶ αὕτη αὖ ἄλλη πρόφασις ἦν αὐτῷ τοῦ ἀθροίζειν στράτευμα. πρὸς δὲ βασιλέα πέμπων ἠξίου, ἀδελ- 8
φὸς ὢν αὐτοῦ, σωθῆναι οἱ ταύτας τὰς πόλεις μᾶλλον ἢ Τισσαφέρνην ἄρχειν αὐτῶν, καὶ ἡ μήτηρ συνέπραττεν αὐτῷ ταῦτα· ὥστε βασιλεὺς τὴν μὲν πρὸς ἑαυτὸν ἐπιβουλὴν οὐκ ᾐσθάνετο, Τισσαφέρνει δὲ ἐνόμιζε πολεμοῦντα αὐτὸν ἀμφὶ τὰ στρατεύματα δαπανᾶν· ὥστε οὐδὲν ἤχθετο, αὐτῶν πολεμούντων· καὶ γὰρ ὁ Κῦρος ἀπέπεμπε τοὺς γιγνομένους δασμοὺς βασιλεῖ ἐκ τῶν πόλεων, ὧν Τισσαφέρνης ἐτύγχανεν ἔχων. ἄλλο δὲ στράτευμα 9
αὐτῷ συνελέγετο ἐν Χερρονήσῳ τῇ κατ' ἀντιπέρας Ἀβύδου τόνδε τὸν τρόπον· Κλέαρχος Λακεδαιμόνιος φυ-

§. 7. Τπολαβὼν] λαβὼν ὑπὸ τὴν προστασίαν του.—τοὺς φεύγοντας] ἐλέγοντο οὗτοι καὶ φυγάδες καὶ ἐκπεπτωκότες· ἡμεῖς τοὺς λέγομεν πρόσφυγας καὶ ἐξορίστους· ἐπὶ τούτων δὲ κυριολεκτοῦνται τὰ ῥήματα ἐ κ β ά λ λ ω καὶ κ α τ ά γ ω, ἀντίθετα ἀλλήλοις.

§. 8. Δοθῆναι οἱ] νὰ δοθῶσιν εἰς αὐτόν, τὸν Κῦρον δηλαδή. τὰ οὗ, οἷ, ἕ, σφεῖς, σφέα, σφῶν, σφίσι, σφᾶς τίθενται ἀντὶ τοῦ προσώπου, ὅπερ λαλεῖ ἢ πράττει τι ἀμέσως ἢ ἐμμέσως. Ἴδε Ἀσ. 101. 13—17 καὶ 106. 33.— Τισσαφέρνει δὲ ἐνόμιζε κτλ.] ἐνόμιζε δὲ πολεμοῦντα αὐτὸν (τὸν Κῦρον) Τισσαφέρνει δαπανᾶν ἀμφὶ τὰ στρατεύματα. — οὐδὲν ἤχθετο] οὐδόλως δυσηρεστεῖτο — Τοὺς γιγνομένους δασμούς . . . ἐκ τῶν πόλεων] τοὺς φόρους τοὺς πηγάζοντας ἀπὸ τῶν πόλεων. Γ. Σ. Α'. — ὧν Τισσαφέρνης] ἂς Τισσαφέρνης· ἔλξις τοῦ ἀναφορικοῦ εἰς τὴν πτῶσιν τοῦ ἀναφερομένου· γίνεται δὲ τοῦτο μάλιστα ὅταν παραλείπηται τὸ ἀναφερόμενον. — ἐτύγχανεν ἔχων] εἶχε· τὸ τυγχάνω τίθεται πολλάκις ἀντὶ τοῦ ε ἰ μ ι . Ἴδε Ἀσ. 192 7.

§. 9. Τῇ κατ' ἀντιπέρας Ἀβύδου] τῇ ἀπέναντι τῆς Ἀβύδου· ἐννοεῖ ἄρα τὴν Θρακικὴν Χερρόνησον· διότι ἡ Ἄβυδος ἔκειτο παρὰ τὸ σήμερον Τσανακαλέ. — συγγίγνομαί τινι] ἔρχομαι εἰς λόγους ἢ συνεννόησιν μέ τινα καὶ ἁπλῶς συναναστρέφομαι. — Δαρεικὸς] χρυσοῦν τοῦ Δαρείου νόμισμα ἰσοδυναμοῦν 20 ἀττικαῖς δραχμαῖς. — ἐλάνθανε τρεφόμενον] ἐν ἀγνοίᾳ τοῦ βασιλέως συνετηρεῖτο. Ἴδε Γ. Σ. Ε'.

γὰς ἦν· τούτῳ συγγενόμενος ὁ Κῦρος ἠγάσθη τε αὐτὸν καὶ δίδωσιν αὐτῷ μυρίους δαρεικούς. ὁ δέ, λαβὼν τὸ χρυσίον, στράτευμα συνέλεξεν ἀπὸ τούτων τῶν χρημάτων καὶ ἐπολέμει, ἐκ Χερρονήσου ὁρμώμενος, τοῖς Θρᾳξὶ τοῖς ὑπὲρ Ἑλλήσποντον οἰκοῦσι καὶ ὠφέλει τοὺς Ἕλληνας· ὥστε καὶ χρήματα συνεβάλλοντο αὐτῷ εἰς τὴν τροφὴν τῶν στρατιωτῶν αἱ Ἑλλησποντιακαὶ πόλεις ἐκοῖ-
10 σα. τοῦτο δ' αὖ οὕτω τρεφόμενον ἐλάνθανεν αὐτῷ τὸ στράτευμα. Ἀρίστιππος δὲ ὁ Θετταλὸς ξένος ὢν ἐτύγχανεν αὐτῷ καί, πιεζόμενος ὑπὸ τῶν οἴκοι ἀντιστασιωτῶν, ἔρχεται πρὸς τὸν Κῦρον καὶ αἰτεῖ αὐτὸν εἰς δισχιλίους ξένους καὶ τριῶν μηνῶν μισθόν, ὡς οὕτω περιγενόμενος ἂν τῶν ἀντιστασιωτῶν. ὁ δὲ Κῦρος δίδωσιν αὐτῷ εἰς τετρακισχιλίους καὶ ἓξ μηνῶν μισθόν. καὶ δεῖται αὐτοῦ μὴ πρόσθεν καταλῦσαι πρὸς τοὺς ἀντιστασιώτας, πρὶν ἂν αὐτῷ συμβουλεύσηται. οὕτω δὲ αὖ τὸ ἐν Θετταλίᾳ ἐλάνθανεν αὐτῷ τρεφόμενον στρά-
11 τευμα. Πρόξενον δὲ τὸν Βοιώτιον ξένον ὄντα αὐτῷ ἐκέλευσε, λαβόντα ἄνδρας ὅτι πλείστους, παραγενέσθαι, ὡς εἰς Πισίδας βουλόμενος στρατεύεσθαι, ὡς πράγματα παρεχόντων τῶν Πισιδῶν τῇ ἑαυτοῦ χώρα. Σοφαίνετον δὲ τὸν Στυμφάλιον καὶ Σωκράτην τὸν Ἀχαιόν, ξένους ὄντας καὶ τούτους, ἐκέλευσεν ἄνδρας λαβόντας ἐλθεῖν ὅτι πλείστους, ὡς πολεμήσων Τισσαφέρνει σὺν τοῖς φυγάδι τῶν Μιλησίων. καὶ ἐποίουν οὕτως οὗτοι.

1 β'. Ἐπεὶ δ' ἐδόκει ἤδη πορεύεσθαι αὐτῷ ἄνω, τὴν

§. 10. Ἐτύγχανεν ὢν] ἴδε ἀνωτέρω § 8. ἐτύγχανεν ἔχων. — εἰς δισχιλίους] δισχιλίους περίπου. Ἰδε Ἀσ. 602. 70.—ὑπὸ τῶν οἴκοι ἀντιστασιωτῶν] ὑπὸ τῶν ἐν τῇ ἑαυτοῦ πατρίδι ἀντεπαναστατῶν· στασιῶται μὲν οἱ ἐπαναστᾶται, ἀντιστασιῶται δὲ οἱ ἀντιπολιτευόμενοι τούτους ἀντίπαλοι. — ὡς οὕτω περιγενόμενος ἂν] διότι οὕτως, ἂν δηλαδὴ ὑπεστήριζεν αὐτὸν ὁ Κῦρος, ἤθελε καταβάλει, ὡς ἔλεγε, τοὺς ἀντεπαναστάτας. Ἰδε καὶ §. 6. ὡς ἐπιβουλεύοντος.—μὴ πρόσθεν ... πρὶν] = μὴ ... παρ' ἀφοῦ.

§. 11. Ὅτι πλείστους] ἴδε §. 6. ὅτι ἀπαρασκευότατον.—ὡς βουλόμενος ... ὡς πράγματα παρεχόντων ... ὡς πολεμήσων] ἴδε §. 6. ὡς ἐπιβουλεύοντος.

Κεφ. β'. §. 1. Ὡς Πισίδας βουλόμενος] ὡς εἰ ἤθελε· ταύτην δὲ τὴν σημασίαν ἔχει μάλιστα μετὰ τοῦ ὥσπερ ἡ μετοχή, ἐκ ταύτης δὲ προκύπτει καὶ ἡ ψευδὴς αἰτία, περὶ ἧς εἴπομεν ἐν ἀ. § 6. — ὡς ἐπὶ τούτους] ὡς ἂν ἔμελλε νὰ στρατεύσῃ κατ' αὐτῶν.—συναλλαγέντι πρὸς τοὺς οἴκοι] ἐννοεῖται ἀντιστασιώτας· ἴδε ἀ. § 6.—τοῦ ἐν ταῖς πόλεσι ξενικοῦ] ἴδε ἀ. § 6.

§ 2 Καλῶς καταπράξειεν] ἂν ἤθελε φέρει εἰς αἴσιον πέρας. —μὴ πρόσθεν ... πρὶν] ἴδε Α'. § 10.—καταγάγοι] ἴδε ἀ. § 7. — πιστεύω τινί] = ἔχω εἰς τινα ἐμπιστοσύνην. —παρῆσαν εἰς Σάρδεις]=ἦλθον εἰς Σάρδεις· τὸ πάρειμι, κατὰ τοὺς ἄλλους μάλιστα χρόνους, τίθεται πολλάκις ἀντὶ τοῦ παραγίγνομαι=ἔρχομαι.

§ 3. Μὲν δὴ] ὁ μὲν λοιπὸν· τοῦτο δὲ ἡ λαλουμένη ἐκφέρει διὰ τοῦ τώρα ἐν ἀρχῇ συλλογιστικῶς· οὐδόλως, μοὶ φαίνεται, ἁρμόζει ἡ ἀποδιδομένη σημασία τοῦ, ὡς δὴ λόνεστι.—εἰς τετρακισχιλίους] ὡς ἔγγιστα.—ὁπλῖται] οἱ βαρέως ὡπλισμένοι.—γυμνῆται] οἱ ἐλαφρῶς ὡπλισμένοι· διηροῦντο δὲ εἰς τοξότας, ἀκοντιστὰς καὶ σφενδονήτας· οἱ αὐτοί, φαίνεται, ἐλέγοντο καὶ ψιλοί. — Πελτασταὶ] οὗτοι διέφερον τῶν ὁπλιτῶν, ὅτι ἔφερον βραχυτέραν ἀσπίδα, σχῆμα κισσοῦ ἔχουσαν καὶ πέλτην καλουμένην.

μὲν πρόφασιν ἐποιεῖτο ὡς Πισίδας βουλόμενος ἐκβαλεῖν παντάπασιν ἐκ τῆς χώρας· καὶ ἀθροίζει ὡς ἐπὶ τούτους τό τε βαρβαρικὸν καὶ τὸ Ἑλληνικόν. ἐνταῦθα καὶ παραγγέλλει τῷ τε Κλεάρχῳ λαβόντι ἥκειν ὅσον ἦν αὐτῷ στράτευμα, καὶ τῷ Ἀριστίππῳ, συναλλαγέντι πρὸς τοὺς οἴκοι, ἀποπέμψαι πρὸς ἑαυτὸν ὃ εἶχε στράτευμα· καὶ Ξενίᾳ τῷ Ἀρκάδι, ὃς αὐτῷ προειστήκει τοῦ ἐν ταῖς πόλεσι ξενικοῦ, ἥκειν παραγγέλλει λαβόντα τοὺς ἄνδρας, πλὴν ὁπόσοι ἱκανοὶ ἦσαν τὰς ἀκροπόλεις φυλάττειν. ἐκάλεσε δὲ καὶ τοὺς 2
Μίλητον πολιορκοῦντας καὶ τοὺς φυγάδας ἐκέλευσε σὺν αὐτῷ στρατεύεσθαι, ὑποσχόμενος αὐτοῖς, εἰ καλῶς καταπράξειεν, ἐφ' ἃ ἐστρατεύετο, μὴ πρόσθεν παύσεσθαι, πρὶν αὐτοὺς καταγάγοι οἴκαδε. οἱ δὲ ἡδέως ἐπείθοντο· ἐπίστευον γὰρ αὐτῷ· καὶ λαβόντες τὰ ὅπλα παρῆσαν εἰς Σάρδεις. Ξενίας μὲν δὴ τοὺς 3
ἐκ τῶν πόλεων λαβὼν παρεγένετο εἰς Σάρδεις ὁπλίτας εἰς τετρακισχιλίους, Πρόξενος δὲ παρῆν ἔχων ὁπλίτας μὲν εἰς πεντακοσίους καὶ χιλίους, γυμνῆτας δὲ πεντακοσίους, Σοφαίνετος δὲ ὁ Στυμφάλιος ὁπλίτας ἔχων χιλίους, Σωκράτης δὲ ὁ Ἀχαιὸς ὁπλίτας ἔχων ὡς πεντακοσίους, Πασίων δὲ ὁ Μεγα-

ρεὺς τριακοσίους μὲν ὁπλίτας, τριακοσίους δὲ πελταστὰς ἔχων παρεγένετο. ἦν δὲ καὶ οὗτος καὶ ὁ Σωκράτης τῶν ἀμφὶ Μίλητον στρατευομένων. 4 οὗτοι μὲν εἰς Σάρδεις αὐτῷ ἀφίκοντο. Τισσαφέρνης δὲ κατανοήσας ταῦτα, καὶ μείζονα ἡγησάμενος εἶναι ἢ ὡς ἐπὶ Πισίδας τὴν παρασκευήν, πορεύεται ὡς βασιλέα ᾗ ἐδύνατο τάχιστα ἱππέας ἔχων ὡς πεντακο- 5 σίους. καὶ βασιλεὺς μὲν δή, ἐπεὶ ἤκουσε Τισσαφέρνους τὸν Κύρου στόλον, ἀντιπαρεσκευάζετο.

Κῦρος δὲ ἔχων οὓς εἴρηκα ὡρμᾶτο ἀπὸ Σάρδεων· καὶ ἐξελαύνει διὰ τῆς Λυδίας σταθμοὺς τρεῖς παρασάγγας εἴκοσι καὶ δύο ἐπὶ τὸν Μαίανδρον ποταμόν. τούτου τὸ εὖρος δύο πλέθρα· γέφυρα δὲ ἐπῆν ἐζευγ- 6 μένη πλοίοις ἑπτά. τοῦτον διαβὰς ἐξελαύνει διὰ Φρυγίας σταθμὸν ἕνα παρασάγγας ὀκτὼ εἰς Κολοσσάς, πόλιν οἰκουμένην, εὐδαίμονα καὶ μεγάλην. ἐνταῦθα ἔμεινεν ἡμέρας ἑπτά· καὶ ἦκε Μένων ὁ Θετταλὸς ὁ- πλίτας ἔχων χιλίους καὶ πελταστὰς πεντακοσίους, 7 Δόλοπας καὶ Αἰνιᾶνας καὶ Ὀλυνθίους. ἐντεῦθεν ἐξε- λαύνει σταθμοὺς τρεῖς παρασάγγας εἴκοσιν εἰς Κε- λαινάς, τῆς Φρυγίας πόλιν οἰκουμένην, μεγάλην καὶ

§. 4. *Αὐτῷ ἀφίκοντο*] χάριν αὐτοῦ. Ἴδε Ἀσ. 221. 62.—*μείζονα ἢ ἐπὶ Πισίδας εἶναι τὴν παρασκευήν*] ὅτι ἡ παρασκευὴ εἶναι μείζων ἐκείνης, ἧς θὰ εἶχεν ἀνάγκην, ἂν ἔμελλε νὰ ἐκστρατεύσῃ κατὰ τῶν Πισιδῶν. Ἴδε Ἀσ. 66. 74.

§. 5. *Στόλος*] ὁ στρατός, ὡς ἐν Β'. β'. 12, καὶ ἡ ἐκστρατεία, κατὰ ξηρὰν μάλιστα· ἀλλὰ καὶ ἡ πρὸς ἐκστρατείαν προπαρασκευή, ὡς ἐδῶ. — *ἐξελαύνω*] μεταβατικῶς μὲν ἀποδιώκω, ἀμεταβάτως δὲ ἐξέρχομαι ἢ διατρέχω, ὡς ἐδῶ — *Σταθμός*] τὸ τουρκιστὶ κονάκι λεγόμενον, τόπος δηλαδή, ἐν ᾧ διανυκτερεύουσιν οἱ ὁδοιπόροι.—*Παρασάγγης*] 30 στάδια ἢ 5555 γαλλικὰ μέτρα.— *Στάδιον*] ὡς ἔγγιστα 185 γαλλικὰ μέτρα. —*Πλέθρον*] 1/6 σταδίου ἢ 30. 90 γαλλικὰ μέτρα.

§ 6. *Εὐδαίμονα*] εὔφορον, πλησίαν. Ἴδε Ε'. δ'. 32. — *Δόλοπες*] κατῴκουν εἰς τὰ νότια τῆς Ἠπείρου.—*Αἰνιᾶνες*] κατῴκουν εἰς τὰ νότια τῆς Θεσσαλίας παρὰ τὴν Οἴτην καὶ τὸν Σπερχειόν.— *Ὀλυνθος*] πόλις τῆς Χαλκιδικῆς χερσονήσου.

§ 7. *Βασίλεια*] ἀνάκτορα ἢ μέγαρα. — *Παράδεισος*] κῆπος μέγας καὶ πολυτελής.—*ἀπὸ ἵππου*] ἔφιππος. Ἴδε Ἀσ. 588. 16.— *ὁπότε . . . βούλοιτο*] ὁσάκις. Ἴδε Γ. Σ. Γ'.

εὐδαίμονα. ἐνταῦθα Κύρῳ βασίλεια ἦν καὶ παράδεισος μέγας ἀγρίων θηρίων πλήρης, ἃ ἐκεῖνος ἐθήρευεν ἀπὸ ἵππου, ὁπότε γυμνάσαι βούλοιτο ἑαυτόν τε καὶ τοὺς ἵππους. διὰ μέσου δὲ τοῦ παραδείσου ῥεῖ ὁ Μαίανδρος ποταμός· αἱ δὲ πηγαὶ αὐτοῦ εἰσιν ἐκ τῶν βασιλείων· ῥεῖ δὲ καὶ διὰ τῆς Κελαινῶν πόλεως. ἔστι δὲ 8 καὶ μεγάλου βασιλέως βασίλεια ἐν Κελαιναῖς ἑρυμνὰ ἐπὶ ταῖς πηγαῖς τοῦ Μαρσύου ποταμοῦ ὑπὸ τῇ ἀκροπόλει· ῥεῖ δὲ καὶ οὗτος διὰ τῆς πόλεως καὶ ἐμβάλλει εἰς τὸν Μαίανδρον· τοῦ δὲ Μαρσύου τὸ εὖρός ἐστιν εἴκοσι καὶ πέντε ποδῶν. ἐνταῦθα λέγεται Ἀπόλλων ἐκδεῖραι Μαρσύαν νικήσας ἐρίζοντά οἱ περὶ σοφίας, καὶ τὸ δέρμα κρεμάσαι ἐν τῷ ἄντρῳ, ὅθεν αἱ πηγαί· διὰ δὲ τοῦτο ὁ ποταμὸς καλεῖται Μαρσύας. ἐνταῦθα Ξέρξης, ὅτε 9 ἐκ τῆς Ἑλλάδος ἡττηθεὶς τῇ μάχῃ ἀπεχώρει, λέγεται οἰκοδομῆσαι ταῦτά τε τὰ βασίλεια καὶ τὴν Κελαινῶν ἀκρόπολιν. ἐνταῦθα ἔμεινε Κῦρος ἡμέρας τριάκοντα· καὶ ἦκε Κλέαρχος ὁ Λακεδαιμόνιος φυγὰς ἔχων ὁπλίτας χιλίους καὶ πελταστὰς Θρᾷκας ὀκτακοσίους καὶ τοξότας Κρῆτας διακοσίους. ἅμα δὲ καὶ Σῶσις παρῆν ὁ Συρακόσιος ἔχων ὁπλίτας τριακοσίους, καὶ Σοφαίνετος ὁ Ἀρκὰς ἔχων ὁπλίτας χιλίους. καὶ ἐνταῦθα Κῦρος ἐξέτασιν καὶ ἀριθμὸν τῶν Ἑλλήνων ἐποίησεν ἐν τῷ παραδείσῳ, καὶ ἐγένοντο οἱ σύμπαντες ὁπλῖται μὲν μύριοι καὶ χίλιοι, πελτασταὶ δὲ ἀμφὶ τοὺς δισχιλίους. ἐντεῦθεν ἐξελαύνει σταθμοὺς δύο παρασάγγας δέκα εἰς 10

§. 8. *Ἑρυμνόν*] τὸ φύσει ἢ τέχνῃ ὀχυρόν.—*Ποῦς*] 1/3 περίπου τοῦ γαλλικοῦ μέτρου. — *ἐρίζοντά οἱ περὶ σοφίας*] περὶ τοῦ οἶδε ἀ. 8. Σοφία δὲ ἐνταῦθα ἡ μουσικὴ τέχνη· διότι κατὰ Σουΐδαν σοφία ἁπάντων κοινῶς μάθησις, καὶ τέχνη καὶ ἐπιστήμη καὶ φρόνησις καὶ νοῦς.

§. 9. *Τῇ μάχῃ*] ἔναρθρος, διότι εἶναι γνωστή, ἡ ἐν Σαλαμῖνι. — *ἐξέτασις*] ἡ σήμερον λεγομένη ἐπιθεώρησις, ὅτε οἱ ἀξιωματικοὶ ἐξετάζουσιν ἂν οἱ στρατιῶται εἶναι καλῶς ὡπλισμένοι καὶ συνεσκευασμένοι. — *ἀριθμὸς*) ἡ σήμερον ἀρίθμησις λεγομένη.

§. 10. *Τὰ λύκαια ἔθυσε*) Ἀρκαδικὴ ἑορτὴ ἐκ τοῦ Λυκαίου, ὄρους τῆς Ἀρκαδίας, ἀφιερωμένου εἰς τὸν Λύκαιον Δία.—*Ἆθλα*] ἆθλος μὲν καὶ ἆθλοι οἱ ἀθλητικοὶ μάλιστα ἀγῶνες, ἆθλον δὲ καὶ ἆθλα τὰ ἐν αὐτοῖς διδόμενα βρα-

Πέλτας, πόλιν οἰκουμένην. ἐνταῦθ' ἔμεινεν ἡμέρας τρεῖς, ἐν αἷς Ξενίας ὁ Ἀρκὰς τὰ Λύκαια ἔθυσε καὶ ἀγῶνα ἔθηκε· τὰ δὲ ἆθλα ἦσαν στλεγγίδες χρυσαῖ· ἐθεώρει δὲ τὸν ἀγῶνα καὶ Κῦρος. ἐντεῦθεν ἐξελαύνει σταθμοὺς δύο παρασάγγας δώδεκα εἰς Κεράμων ἀγοράν, πόλιν
11 οἰκουμένην, ἐσχάτην πρὸς τῇ Μυσίᾳ χώρᾳ. ἐντεῦθεν ἐξελαύνει σταθμοὺς τρεῖς παρασάγγας τριάκοντα εἰς Καΰστρου πεδίον, πόλιν οἰκουμένην. ἐνταῦθ' ἔμεινεν ἡμέρας πέντε· καὶ τοῖς στρατιώταις ὠφείλετο μισθὸς πλέον ἢ τριῶν μηνῶν, καὶ πολλάκις ἰόντες ἐπὶ τὰς θύρας ἀπῄτουν. ὁ δὲ ἐλπίδας λέγων διῆγε καὶ δῆλος ἦν ἀνιώμενος· οὐ γὰρ ἦν πρὸς τοῦ Κύρου τρόπου ἔ-
12 χοντα μὴ ἀποδιδόναι. ἐνταῦθα ἀφικνεῖται Ἐπύαξα ἡ Συεννέσιος γυνὴ τοῦ Κιλίκων βασιλέως παρὰ Κῦρον· καὶ ἐλέγετο Κύρῳ δοῦναι χρήματα πολλά. τῇ δ' οὖν στρατιᾷ τότε ἀπέδωκε Κῦρος μισθὸν τεττάρων μηνῶν. εἶχε δὲ ἡ Κίλισσα καὶ φύλακας περὶ αὐτὴν Κίλικας καὶ Ἀσπενδίους· ἐλέγετο δὲ καὶ συγγενέσθαι Κῦρον τῇ Κι-
13 λίσσῃ. ἐντεῦθεν δὲ ἐξελαύνει σταθμοὺς δύο παρασάγγας δέκα εἰς Θύμβριον, πόλιν οἰκουμένην. ἐνταῦθα ἦν παρὰ τὴν ὁδὸν κρήνη ἡ Μίδου καλουμένη τοῦ Φρυγῶν βασιλέως, ἐφ' ᾗ λέγεται Μίδας τὸν Σάτυρον
14 θηρεῦσαι οἴνῳ κεράσας αὐτήν. ἐντεῦθεν ἐξελαύνει

βεῖα.— στλεγγίδες] ξύστραι παραπλήσιαι κοχλιαρίοις, δι' ὧν οἱ ἀγωνιζόμενοι καὶ λουόμενοι ἀπέξεον τὰ λίπα.

§. 11. Ἐπὶ τὰς θύρας] εἰς τὴν αὐλὴν ἢ εἰς τὰ πρόθυρα.— ἐλπίδας λέγων διῆγε] πάντοτε τοὺς προέτρεπε νὰ ἐλπίζωσιν. Ἴδε Γ. Σ. Α'.—δῆλος ἦν ἀνιώμενος] δῆλον ἦν ὅτι ἠνιᾶτο. Ἴδε Ἀσ. 449. 98. δυνατὸν ὅμως καὶ δῆλος ἦν = ἐφαίνετο. — οὐ γὰρ ἦν πρὸς τοῦ Κύρου τρόπου] δὲν συνῆδε μὲ τὰ ἤθη τοῦ Κύρου. Ἴδε Γ. Σ. Α'.

§. 12. Τῇ δ' οὖν στρατιᾷ κτλ.] ἀλλ' ὅπως καὶ ἂν ἔχῃ τοῦτο, ἀπέδωκεν εἰς τὴν στρατιάν ταύτην τὴν σημασίαν ἔχει ὁ οὖν, ὅταν ἀπὸ ἐννοίας ἀμφιβητησίμου μεταβαίνωμεν εἰς ἔννοιαν ἀναμφιβητήτως ἀληθῆ. — Ἀσπενδίους] ἐξ Ἀσπένδου τῆς Παμφυλίας.— συγγίγνομαι] ἢ ὁμιλῶ γυναικὶ = συγκατακλίνομαι.

§. 13. Οἴνῳ κεράσας αὐτήν) τὴν κρήνην ἀντὶ τὸ ἐν αὐτῇ ὕδωρ. τὸ περιέχον ἀντὶ τοῦ περιεχομένου.

§. 14. Πόλιν οἰκουμένην] συχνὰ ἀναφέρει ἂν πόλις κατοικεῖται, διότι ὑπῆρχον καὶ τινες ἔρημοι, ὡς ἐν Γ. Δ. 7.

σταθμοὺς δύο παρασάγγας δέκα εἰς Τυριάϊον, πόλιν οἰκουμένην. ἐνταῦθα ἔμεινεν ἡμέρας τρεῖς. καὶ λέγεται δεηθῆναι ἡ Κίλισσα Κύρου ἐπιδεῖξαι τὸ στράτευμα αὐτῇ· βουλόμενος οὖν ἐπιδεῖξαι, ἐξέτασιν ποιεῖται ἐν τῷ πεδίῳ τῶν Ἑλλήνων καὶ τῶν βαρβάρων. ἐκέλευσε δὲ τοὺς Ἕλληνας, ὡς νόμος αὐτοῖς εἰς μά- 15
χην, οὕτω ταχθῆναι καὶ στῆναι, συντάξαι δ' ἕκαστον τοὺς ἑαυτοῦ. ἐτάχθησαν οὖν ἐπὶ τεττάρων· εἶχε δὲ τὸ μὲν δεξιὸν Μένων καὶ οἱ σὺν αὐτῷ, τὸ δὲ εὐώνυμον Κλέαρχος καὶ οἱ ἐκείνου, τὸ δὲ μέσον οἱ ἄλλοι στρατηγοί. ἐθεώρει οὖν ὁ Κῦρος πρῶτον μὲν τοὺς 16
βαρβάρους· οἱ δὲ παρήλαυνον τεταγμένοι κατ' ἴλας καὶ κατὰ τάξεις· εἶτα δὲ τοὺς Ἕλληνας, παρελαύνων ἐφ' ἅρματος καὶ ἡ Κίλισσα ἐφ' ἁρμαμάξης. εἶχον δὲ πάντες κράνη χαλκᾶ καὶ χιτῶνας φοινικοῦς καὶ κνημῖδας καὶ τὰς ἀσπίδας ἐκκεκαλυμμένας. ἐπειδὴ δὲ πάντας 17
παρήλασε, στήσας τὸ ἅρμα πρὸ τῆς φάλαγγος μέσης, πέμψας Πίγρητα τὸν ἑρμηνέα παρὰ τοὺς στρατηγοὺς τῶν Ἑλλήνων, ἐκέλευσε προβαλέσθαι τὰ ὅπλα καὶ ἐπιχωρῆσαι ὅλην τὴν φάλαγγα. οἱ δὲ ταῦτα προεῖπον

§. 15. Ὡς νόμος αὐτοῖς] ἐστιν = ὡς συνειθίζουσι νὰ τάσσωνται· διότι νόμοι λέγονται καὶ τὰ ἔθιμα, ὡς ἄγραφοι νόμοι — ἐτάχθησαν ἐπὶ τεσσάρων] οὕτω δηλαδή, ὥστε πλεῖστοι μὲν νὰ εἶναι κατὰ μέτωπον, τέσσαρες δὲ κατὰ βάθος. Ἴδε Ἀσ. 619. 132.

§. 16. Κατ' ἴλας καὶ κατὰ τάξεις] ἴλη μὲν λόχος ἱππέων· τάξις δὲ δύο λόχοι πεζῶν, διλοχία σήμερον καλουμένη.—ἐφ' ἅρματος ... ἁρμαμάξης] ἅρμα μὲν ὁ πολεμικὸς δίφρος, ἁρμάμαξα δὲ ὄχημα περιπεφραγμένον, δι' οὗ ἐφέροντο αἱ γυναῖκες τῶν Περσῶν.— Φοινικοῦς] ἐρυθρούς· ἀπὸ τῶν Λακεδαιμονίων δὲ παρέλαβον τούτους βραδύτερον καὶ οἱ ἄλλοι Ἕλληνες καὶ οἱ Πέρσαι. — ἐκκεκαλυμμένας] καὶ τἆλλα ὅπλα καὶ τὰς ἀσπίδας, ἅτε ἐκ μετάλλων ἐξειργασμένας, ἐκάλυπτον τοῖς λεγομένοις σάγμασιν, ἐλύτροις, θήκαις.

§. 17. Πρὸ μέσης τῆς φάλαγγος] ἀντὶ πρὸ τοῦ μέσου τῆς φάλαγγος. Ἴδε Ἀσ. 546. 35.—προβάλλομαι] ἢ εἰς προβολὴν καθίεμαι τὰ ὅπλα = προτείνω. — ἐπιχωρῆσαι]=τῷ κατωτέρω ἐπιέναι=χωρῶ κατά τινος· ἐπειδὴ δὲ ἐχθροὶ δὲν ὑπῆρχον, δῆλον ὅτι διετάχθησαν νὰ ὁρμήσωσι κατὰ τοῦ βαρβαρικοῦ στρατοῦ τοῦ Κύρου παιδιᾶς χάριν, οἱ δὲ μετὰ μείζονος τοῦ δέοντος ταχύτητος ἔσπευδον. — ἀπὸ τοῦ αὐτομάτου] αὐτομάτως, ἄνευ ῥητῆς διαταγῆς. Ἴδε Ἀσ. 589. 22.

τοῖς στρατιώταις· καὶ ἐπεὶ ἐσάλπιγξε, προβαλλόμενοι τα ὅπλα ἐπῆσαν. ἐκ δὲ τούτου, θᾶττον προϊόντων σὺν κραυγῇ, ἀπὸ τοῦ αὐτομάτου δρόμος ἐγένετο τοῖς στρα-
18 τιώταις ἐπὶ τὰς σκηνάς, τῶν δὲ βαρβάρων φόβος πολύς, καὶ ἥ τε Κίλισσα ἔφυγεν ἐπὶ τῆς ἁρμαμάξης καὶ οἱ ἐκ τῆς ἀγορᾶς καταλιπόντες τὰ ὤνια ἔφυγον· οἱ δὲ Ἕλληνες σὺν γέλωτι ἐπὶ τὰς σκηνὰς ἦλθον. ἡ δὲ Κίλισσα ἰδοῦσα τὴν λαμπρότητα καὶ τὴν τάξιν τοῦ στρατεύματος ἐθαύμασε. Κῦρος δὲ ἥσθη τὸν ἐκ τῶν
19 Ἑλλήνων εἰς τοὺς βαρβάρους φόβον ἰδών. ἐντεῦθεν ἐξελαύνει σταθμοὺς τρεῖς παρασάγγας εἴκοσιν εἰς Ἰκόνιον, τῆς Φρυγίας πόλιν ἐσχάτην. ἐνταῦθα ἔμεινε τρεῖς ἡμέρας. ἐντεῦθεν ἐξελαύνει διὰ τῆς Λυκαονίας σταθμοὺς πέντε παρασάγγας τριάκοντα. ταύτην τὴν χώραν ἐπέτρεψε διαρπάσαι τοῖς Ἕλλησιν ὡς πολεμίαν οὖσαν.
20 ἐντεῦθεν Κῦρος τὴν Κίλισσαν εἰς τὴν Κιλικίαν ἀποπέμπει τὴν ταχίστην ὁδόν· καὶ συνέπεμψεν αὐτῇ στρατιώτας, οὓς Μένων εἶχε, καὶ αὐτόν. Κῦρος δὲ μετὰ τῶν ἄλλων ἐξελαύνει διὰ Καππαδοκίας σταθμοὺς τέτταρας παρασάγγας εἴκοσι καὶ πέντε πρὸς Λάνα, πόλιν οἰκουμένην, μεγάλην καὶ εὐδαίμονα. ἐνταῦθα ἔμειναν ἡμέρας τρεῖς· ἐν ᾧ Κύρος ἀπέκτεινεν ἄνδρα Πέρσην Μεγαφέρνην, φοινικιστὴν βασίλειον, καὶ ἕτερόν τινα τῶν ὑπάρχων δυνάστην, αἰτιασάμενος ἐπιβουλεύειν
21 αὐτῷ. ἐντεῦθεν ἐπειρῶντο εἰσβάλλειν εἰς τὴν Κιλικίαν·

§. 18. Ἔφυγεν ἐκ τῆς ἁρμαμάξης] καταβᾶσα ἀπὸ τῆς ἁρμαμάξης ἑτράπη εἰς φυγήν· τοῦτο δὲ διότι ἡ ἁρμάμαξα, ἅτε ὑπὸ βοῶν ἑλκομένη, ἧττό πως δυσκίνητος.—οἱ ἐκ τῆς ἀγορᾶς . . ἔφυγον] οἱ ἐν τῇ ἀγορᾷ ὄντες ἔφυγον ἐξ αὐτῆς. Ἀσ. 872. 38.

§. 20. Τὴν ταχίστην ὁδὸν] διὰ τῆς τάχιστα φερούσης ὁδοῦ, διὰ τῆς συντομωτάτης ὁδοῦ. Ἀλλ' αἰτιατικὴ εἰς ἔκφρασιν τόπου, δι' οὗ, εἶναι ἀσυνήθης. — Φοινικιστὴν] φοινικισταὶ ταξις μεγιστάνων ἀπὸ τῆς φοινικίδος, ἣν ἐφόρουν, οὕτω καλούμενοι, ὅπως παραλουργεῖς ἐκαλοῦντο ἄλλη τάξις, φέρουσα ἀλουργίδα ἐν τῇ παρυφῇ. — τῶν ὑπάρχων δυνάστην] δυνάσται μὲν οἱ οἱανδήποτε διοικητικὴν ἀρχὴν μετερχόμενοι, ἐπομένως οἱ σατράπαι, οἱ ἡγεμόνες, οἱ ὕπαρχοι· ὕπαρχοι δὲ οἱ ὑπὸ τοὺς σατράπας διοικηταί. Ἴδε Α'. ἡ. 5.

§. 21. Εἰσβολὴ] εἴσοδος ἢ μᾶλλον ἡ ὁδός, δι' ἧς εἰσήρχοντο εἰς Κιλικίαν· ἐννοεῖ δὲ τὰς πύλας τῆς Κιλικίας· πύλαι δὲ τὰ τουρκιστὶ δερβένια. — ἰσχυρῶς] λίαν· συνηθέστατον τοῦτο. — καὶ ἀμήχανος εἰσελθεῖν στρατεύματι] καὶ τοιαύτη, ὥστε ἀδύνατον νὰ εἶναι νὰ τὴν διέλθῃ στράτευμα· οὕτως ἑρμηνευτέον τὸ χωρίον κατὰ τὸ ἐν Α'. ά. 24. Δυνατὴν καὶ ὑποζυγίοις πορεύεσθαι. Ἴδε καὶ Ἀσ. 449. 98.—ἐπεὶ ἤσθετο . . καὶ ὅτι ἤκουσε] τὸ ὅτι = διότι πλεονάζει διὰ τὸν παρεμπεσόντα εἰδικὸν ὅτι· ἡ δὲ σύνταξις = ἤκουε Ταμῶν ἔχοντα τὰς Λακεδαιμονίων καὶ Κύρου τριήρεις περιπλεούσας, ἀντὶ ἤκουε Ταμῶν περιπλέοντα ἔχοντα τὰς Λακεδαιμονίων καὶ αὐτοῦ Κύρου τριήρεις. Ἴδε Ἀσ. 901. 134. Περὶ δὲ Ταμῶ ἴδε Α'. δ'. 2.

ἡ δὲ εἰσβολὴ ἦν ὁδὸς ἁμαξιτὸς ὀρθία ἰσχυρῶς καὶ ἀμήχανος εἰσελθεῖν στρατεύματι, εἴ τις ἐκώλυεν. ἐλέγετο δὲ καὶ Συέννεσις εἶναι ἐπὶ τῶν ἄκρων φυλάττων τὴν εἰσβολήν· διὸ ἔμειναν ἡμέραν ἐν τῷ πεδίῳ. τῇ δ' ὑστεραίᾳ ἦκεν ἄγγελος λέγων, ὅτι λελοιπὼς εἴη Συέννεσις τὰ ἄκρα, ἐπεὶ ἤσθετο, ὅτι τὸ Μένωνος στράτευμα ἤδη ἐν Κιλικίᾳ ἦν εἴσω τῶν ὀρέων, καὶ ὅτι τριήρεις ἥκουε περιπλεούσας ἀπ' Ἰωνίας εἰς Κιλικίαν Ταμῶν ἔχοντα τὰς Λακεδαιμονίων καὶ αὐτοῦ
22 Κύρου. Κῦρος δ' οὖν ἀνέβη ἐπὶ τὰ ὄρη, οὐδενὸς κωλύοντος, καὶ εἶδε τὰς σκηνάς, οὗ οἱ Κίλικες ἐφύλαττον. ἐντεῦθεν δὲ κατέβαινεν εἰς πεδίον μέγα καὶ καλόν, ἐπίρρυτον καὶ δένδρων παντοδαπῶν σύμπλεων καὶ ἀμπέλων· πολὺ δὲ καὶ σήσαμον καὶ μελίνην καὶ κέγχρον καὶ πυροὺς καὶ κριθὰς φέρει· ὄρος δ' αὐτὸ περιέχει ὀχυρὸν καὶ ὑψηλὸν πάντῃ ἐκ θαλάττης εἰς
23 θάλατταν. καταβὰς δὲ διὰ τούτου τοῦ πεδίου ἤλασε σταθμοὺς τέτταρας παρασάγγας πέντε καὶ εἴκοσιν εἰς Ταρσούς, τῆς Κιλικίας πόλιν μεγάλην καὶ εὐδαίμονα. ἐνταῦθα ἦσαν τὰ Συεννέσιος βασίλεια τοῦ Κιλίκων βασιλέως· διὰ μέσου δὲ τῆς πόλεως ῥεῖ ποταμὸς Κύδνος ὄνομα, εὖρος δύο πλέθρων. ταύτην τὴν πόλιν
24

§. 22. Κῦρος δ' οὖν] ἴδε §. 12. τῇ δ' οὖν στρατιᾷ. — ἐπίρρυτον] ἐφ' οὗ ἔρρεον πολλὰ ὕδατα. — μελίνη] τὸ τουρκιστὶ λεγόμενον νταρί, διότι καὶ ἄρτος ἐξ αὐτοῦ κατεσκευάζετο. Ἴδε Α'. ἑ. 10. — ὄρος] ἐννοεῖ τὸν Ταῦρον.

§. 23. Διὰ μέσης τῆς πόλεως] ἴδε § 17. πρὸ μέσης τῆς φάλαγγος.

§. 24. Τὴν πόλιν ἐξέλιπον . . . εἰς χωρίον ὀχυρὸν] κατὰ βραχυλογίαν ἀντί, Ἐκλιπόντες τὴν πόλιν ἔφυγον εἰς χωρίον ὀχυρόν. Ἴδε Ἀσ. 880. 62. —καπηλεῖα] τὰ τουρκιστὶ μπακάλικα, ἐν οἷς

ἐξέλιπον οἱ ἐνοικοῦντες μετὰ Συεννέσιος εἰς χωρίον ὀχυρὸν ἐπὶ τὰ ὄρη πλὴν οἱ τὰ καπηλεῖα ἔχοντες· ἔμειναν δὲ καὶ οἱ παρὰ τὴν θάλατταν οἰκοῦντες ἐν
25 Σόλοις καὶ ἐν Ἰσσοῖς. Ἐπύαξα δὲ ἡ Συεννέσιος γυνὴ πρότερα Κύρου πέντε ἡμέραις εἰς Ταρσοὺς ἀφίκετο· ἐν δὲ τῇ ὑπερβολῇ τῶν ὀρέων τῇ εἰς τὸ πεδίον δύο λόχοι τοῦ Μένωνος στρατεύματος ἀπώλοντο· οἱ μὲν ἔφασαν ἁρπάζοντάς τι κατακοπῆναι ὑπὸ τῶν Κιλίκων, οἱ δὲ ὑπολειφθέντας καὶ οὐ δυναμένους εὑ-
26 ρεῖν τὸ ἄλλο στράτευμα οὐδὲ τὰς ὁδούς, εἶτα πλανωμένους ἀπολέσθαι· ἦσαν δ' οὖν οὗτοι ἑκατὸν ὁπλῖται. οἱ δ' ἄλλοι, ἐπεὶ ἦκον, τήν τε πόλιν τοὺς Ταρσοὺς διήρπασαν, διὰ τὸν ὄλεθρον τῶν συστρατιωτῶν ὀργιζόμενοι, καὶ τὰ βασίλεια τὰ ἐν αὐτῇ. Κῦρος δέ, ἐπεὶ εἰσήλασεν εἰς τὴν πόλιν, μετεπέμπετο τὸν Συέννεσιν πρὸς ἑαυτόν· ὁ δ' οὔτε πρότερον οὐδενί πω κρείττονι ἑαυτοῦ εἰς χεῖρας ἐλθεῖν ἔφη, οὔτε τότε Κύρῳ ἰέναι ἤθελε, πρὶν ἡ γυνὴ αὐτὸν ἔπεισε καὶ πίστεις ἔλαβε.
27 μετὰ δὲ ταῦτα, ἐπεὶ συνεγένοντο ἀλλήλοις, Συέννεσις

καὶ φαγητά τινα παρασκευάζονται.

§. 25. *Προτέρα Κύρου*] πρότερον Κύρου ἢ πρὸ Κύρου. Ἀσ. 547. 36. — *ἐν τῇ ὑπερβολῇ τοῦ ὄρους*] ἐν ᾧ χρόνῳ ὑπερέβαλλον ἢ διεπέρων τὸ ὄρος. — *εἶτα . . ἀπολέσθαι*] τὰ εἶτα, ἔπειτα, ἤδη, τότε ἤδη, δὴ ἐν τῇ ἀποδόσει μετοχῆς προηγουμένης δεικνύουσιν ὅτι ἡ μετοχὴ αὕτη εἶναι χρονική. Ἀσ. 468. 52.

§. 26. *Ἦσαν δ' οὖν*] ἴδε Α'. β'. 12. *τῇ δ' οὖν στρατιᾷ*. — *μετεπέμπετο*] ἐπανειλημμένως προσεκάλει. Ἀσ. 496. 17. — *οὐδενί πω κρείττονι ἑαυτοῦ εἰς χεῖρας ἐλθεῖν ἔφη*] μὲ κανένα ποτὲ ἰσχυρότερόν του ὄξεν ἐπιάσθη, θὰ μετέφραζε τοῦτο ἄριστα ἡ κοινῶς λαλουμένη, θέλουσα νὰ σημάνῃ οὐ μόνον ὅτι μὲ οὐδένα συνεπλάκη, ὅπερ συνήθως σημαίνει καὶ τὸ εἰς χεῖράς τινι ἰέναι, ἀλλὰ καὶ ὅτι δὲν συνειθίζει νὰ συζητῇ μὲ ἰσχυρότερόν του φοβούμενος μὴ ἐκ τῶν λόγων περιέλθῃ εἰς τὰς χεῖρας, ὅπερ σημαίνει καὶ τὸ εἰς χεῖράς τινι ἰέναι ἐνταῦθα. — *πρὶν ἡ γυνὴ αὐτὸν ἔπεισε καὶ πίστεις ἔλαβε*] ἀνακολούθως ἀντί, Πρὶν ὑπὸ τῆς γυναικὸς ἐπείσθη καὶ πίστεις ἔλαβεν, ἢ πρὶν ἡ γυνὴ αὐτὸν ἔπεισε καὶ πίστεις αὐτῷ παρὰ Κύρου ἔφερε, κατὰ τὸ ἐν Β'. δ'. 1. *Πίστεις δέ*, πληθυντικῶς, ἔνορκος ὑπόσχεσις· πρὸς τοῦτο δὲ ὁ ὑπισχνούμενος ἔδιδε τὴν ἑαυτοῦ δεξιάν, ὡς ἐν Β'. γ'. 28, ὅπερ ὁ Ἰσοκράτης μέγιστον παρὰ Πέρσαις ὅρκον καλεῖ.

§. 27. *Νομίζεται παρὰ βασιλεῖ*] τὸ παρὰ βασιλεῖ εἶναι ποιητικὸν αἴτιον = παρὰ βασιλέως· οὕτω καὶ παρὰ Δίωνι Κασσίῳ 38. 41. *μήτε ἐξήτασται . . παρὰ τῇ βουλῇ* καὶ *παρὰ τῷ δήμῳ μὴ ἐψηφίσται*· ἴδε καὶ Ἀσ. 278. 14. τὸ δὲ ὅλον = ὁποῖα ὁ βασιλεὺς εἴωθε διδόναι· «οὐ γὰρ δὴ ἔξεστιν ἐκεῖ ταῦτα (ψέλια καὶ στρεπτὸν καὶ ἵππον χρυσοχάλινον) ἔχειν, ᾧ ἂν μὴ βασιλεὺς δῷ. Ξενοφ. Κ. Π. Η'. β'. 8. Ἴδε Α'. ἡ. 29 — *Καὶ τὴν χώραν μηκέτι ἁφαρπάζεσθαι*]κατὰ ζεῦγμα βραχυλογίας ἐκ τοῦ προηγουμένου ἔδωκεν ἐννοεῖται ἐνταῦθα κατάλληλον ῥῆμα, ὑπέσχετο. Ἀσ. 876. 50.

Κεφ. γ'. §. 1. Ἰέναι τοῦ πρόσω] τὸ ἄλλως λεγόμενον ἰέναι εἰς τὸ πρόσω. Ἴδε Ε'. δ'. 30. — *ἐβιάζετο*] ἐπεχείρει νὰ βιάσῃ. Ἀσ. 494. 9. καὶ 10.

§. 2. *Μικρὸν ἐξέφυγε*] μόλις διέφυγε.

§. 3. *Χαλεπῶς φέρω*] ἀγανακτῶ ἢ λυποῦμαι σφόδρα. — *δαρεικούς*] ἴδε Α'. ά. 9. — *οὐκ εἰς τὸ ἴδιον κατεθέμην ἐμοί*] τὸ μὲν ἐμοὶ εἶναι δοτ. συντακτικὴ τοῦ ἴδιον. Ἴδε Ἀσ. 86. 116. τὸ δὲ ὅλον, Δὲν κατέθηκα εἰς τὸ ἰδιαίτερόν μου ταμεῖον χάριν τῶν ἀτομικῶν μου ἀναγκῶν. Ἀσ. 298. 29 κ. ἑ. — *οὐδὲ καθηδυπάθησα*] ἐννοεῖται τούτοις = οὐδ' ἐδαπάνησα τούτους εἰς ματαίας ἡδονάς.

μὲν ἔδωκε Κύρῳ χρήματα πολλὰ εἰς τὴν στρατιάν, Κῦρος δὲ ἐκείνῳ δῶρα, ἃ νομίζεται παρὰ βασιλεῖ, τίμια, ἵππον χρυσοχάλινον καὶ στρεπτὸν χρυσοῦν καὶ ψέλια καὶ ἀκινάκην χρυσοῦν καὶ στολὴν Περσικήν, καὶ τὴν χώραν μηκέτι ἁφαρπάζεσθαι· τὰ δὲ ἡρπασμένα ἀνθρώποδα, ἧν που ἐντυγχάνωσιν, ἀπολαμβάνειν.

γ'. Ἐνταῦθα ἔμεινε Κῦρος καὶ ἡ στρατιὰ ἡμέρας 1
εἴκοσιν· οἱ γὰρ στρατιῶται οὐκ ἔφασαν ἰέναι τοῦ πρόσω· ὑπώπτευον γὰρ ἤδη ἐπὶ βασιλέα ἰέναι, μισθωθῆναι δὲ οὐκ ἐπὶ τούτῳ ἔφασαν. πρῶτος δὲ Κλέαρχος τοὺς αὑτοῦ στρατιώτας ἐβιάζετο ἰέναι· οἱ δὲ αὐτόν τε ἔβαλλον καὶ τὰ ὑποζύγια τὰ ἐκείνου, ἐπεὶ ἤρξατο προϊέναι. Κλέαρχος δὲ τότε μὲν μικρὸν ἐξέ- 2
φυγε μὴ καταπετρωθῆναι, ὕστερον δ', ἐπεὶ ἔγνω, ὅτι οὐ δυνήσεται βιάσασθαι, συνήγαγεν ἐκκλησίαν τῶν αὑτοῦ στρατιωτῶν. καὶ πρῶτον μὲν ἐδάκρυε πολὺν χρόνον ἑστώς· οἱ δὲ ὁρῶντες ἐθαύμαζον καὶ ἐσιώπων· εἶτα δὲ ἔλεξε τοιάδε, Ἄνδρες στρατιῶται, μὴ θαυμά- 3
ζετε, ὅτι χαλεπῶς φέρω τοῖς παροῦσι πράγμασιν· ἐμοὶ γὰρ ξένος Κῦρος ἐγένετο καὶ με φεύγοντα ἐκ τῆς πατρίδος τά τε ἄλλα ἐτίμησε καὶ μυρίους ἔδωκε δαρει-

κούς· οὓς ἐγὼ λαβὼν οὐκ εἰς τὸ ἴδιον κατεθέμην ἐμοὶ ἀλλ' οὐδὲ καθηδυπάθησα, ἀλλ' εἰς ὑμᾶς ἐδαπάνων. καὶ πρῶτον μὲν πρὸς τοὺς Θρᾷκας ἐπολέμησα καὶ ὑπὲρ τῆς Ἑλλάδος ἐτιμωρούμην μεθ' ὑμῶν, ἐκ τῆς Χερρονήσου αὐτοὺς ἐξελαύνων, βουλομένους ἀφαιρεῖσθαι τοὺς ἐνοικοῦντας Ἕλληνας τὴν γῆν. ἐπειδὴ δὲ Κῦρος ἐκάλει, λαβὼν ὑμᾶς, ἐπορευόμην, ἵνα, εἴ τι δέοιτο, ὠφελοίην αὐτὸν ἀνθ' ὧν εὖ ἔπαθον ὑπ' ἐκείνου. ἐπεὶ δὲ ὑμεῖς οὐ βούλεσθε συμπορεύεσθαι, ἀνάγκη δή μοι ἢ ὑμᾶς προδόντα τῇ Κύρου φιλίᾳ χρῆσθαι ἢ πρὸς ἐκεῖνον ψευσάμενον μεθ' ὑμῶν ἰέναι. εἰ μὲν δὴ δίκαια ποιήσω, οὐκ οἶδα, αἱρήσομαι δ' οὖν ὑμᾶς καὶ σὺν ὑμῖν ὅ τι ἂν δέῃ πείσομαι. καὶ οὔποτε ἐρεῖ οὐδεὶς ὡς ἐγώ, Ἕλληνας ἀγαγὼν εἰς τοὺς βαρβάρους, προδοὺς τοὺς Ἕλληνας, τὴν τῶν βαρβάρων φιλίαν εἱλόμην· ἀλλ' ἐπεὶ ὑμεῖς ἐμοὶ οὐκ ἐθέλετε πείθεσθαι οὐδὲ ἕπεσθαι, ἐγὼ σὺν ὑμῖν ἕψομαι καὶ ὅ τι ἂν δέῃ πείσομαι. νομίζω γὰρ ὑμᾶς ἐμοὶ εἶναι καὶ πατρίδα καὶ φίλους καὶ συμμάχους, καὶ σὺν ὑμῖν μὲν ἂν οἶμαι εἶναι τίμιος, ὅπου ἂν ὦ, ὑμῶν δὲ ἔρημος ὢν οὐκ ἂν ἱκανὸς εἶναι οἶμαι οὔτ' ἂν φίλον ὠφελῆσαι

§. 4. Ἐτιμωρούμην] ἐννοεῖται τοὺς Θρᾷκας· σημαίνει δὲ τὸ τιμωροῦμαι, μετ' αἰτιατικῆς, ὅ τι σχεδὸν παρ' ἡμῖν τὸ τιμωρῶ· τὸ δ' ἐνεργητικόν, μετὰ δοτικῆς καὶ αἰτιατικῆς, = λαμβάνω ἐκδίκησιν ὑπὲρ τοῦ κατὰ δοτικὴν ἐκφερομένου διά τι, ὅπερ ὑπεμφαίνει ἡ αἰτιατική, ὡς ἐν Πλάτ. Ἀπολ. Σωκρ. 28. c, Εἰ τιμωρήσεις Πατρόκλῳ τὸν φόνον. — ἀφαιρεῖσθαι τοὺς Ἕλληνας τὴν γῆν] ν' ἀφαιρέσωσιν ἀπὸ τῶν Ἑλλήνων τὴν χώραν. Ἀσ. 264. 24. γ'. — ἀνθ' ὧν εὖ ἔπαθον] ἀντὶ τῶν εὐεργεσιῶν, ἃς μοι παρέσχε. Τὸ εὖ πάσχω = εὐγετοῦμαι καὶ κακῶς πάσχω = κακοποιοῦμαι εἶναι παθητικὰ τῶν εὖ ποιῶ = εὐεργετῶ καὶ κακῶς ποιῶ = βλάπτω.

§. 5. Ἀνάγκη δή] ἀνάγκη ἤδη. — τῇ Κύρου φιλίᾳ χρῆσθαι] νὰ ζητήσω νὰ ἐπωφεληθῶ ἐκ τῆς φιλίας τοῦ Κύρου. ταύτην τὴν σημασίαν ἔχει τὸ χρῆσθαι, ὅταν συντάσσηται δοτικῇ ἁπλῇ ἀφῃρημένου μάλιστα οὐσιαστικοῦ, ἐνίοτε δὲ καὶ κυρίου ὀνόματος. — δ' οὖν] ἴδε Α'. β'. 12. — πείσομαι] μέλλων τοῦ πάσχω.

§. 6. Ἕψομαι] μέλλων τοῦ ἕπομαι = ἀκολουθῶ. — ἐμοὶ εἶναι] δι' ἐμὲ ἢ ὡς πρὸς ἐμέ. Ἴδε Ἀσωπίου Πρώτης Περιόδου Κεφ. ΣΤ. VII. περὶ τὸ τέλος. — καὶ σὺν ὑμῖν μὲν ἂν οἶμαι εἶναι τίμιος] ὁ ἂν ἐτέθη χάριν μετριοφροσύνης. Ἴδε Ἀσ. 362. 40. τὸ δὲ ὅλον, Καὶ μεθ' ὑμῶν μὲν νομίζω ὅτι ἤθελον τιμᾶσθαι (ὑπὸ τῶν ἁπανταχοῦ δυναστῶν). — ὡς ἐμοῦ οὖν ἰόντος . . οὕτω τὴν γνώμην ἔχετε] πιστεύετε λοιπὸν περὶ ἐμοῦ ὅτι θὰ πορευθῶ ἢ θὰ πορεύομαι. ἡ δὲ σύνταξις, οὕτω οὖν περὶ ἐμοῦ ἔχετε τὴν γνώμην, ὡς ἰόντος· ταὐτὸ γίνεται καὶ ἐπὶ τῶν ῥημάτων διανοεῖσθαι, εἰδέναι, ἐπίστασθαι, φροντίζειν, διακεῖσθαι τὴν γνώμην καὶ τῶν τοιούτων. Ἀσ. 477. 84.

§. 7. Ὅτι οὐ φαίη . . πορεύεσθαι] ἐπεξήγησις τοῦ ταῦτα, = ὅτι δὲν θὰ πορευθῇ. Ἴδε Γ. Σ. Γ'.

§. 8. Ὡς κατασκηπτομένων τούτων εἰς τὸ δέον] διότι, ὡς φρονεῖ, θὰ ἔλθωσι τὰ πράγματα εἰς τὴν προσήκουσαν θέσιν των, ὡς ἐν Α'. ἡ. 3, ἑπομένως θὰ διορθωθῶσι προσηκόντως. — μεταπέμπεσθαι δ' ἐκέλευεν αὐτὸν] ἐκέλευε δ' (αὐτῷ, τῷ Κύρῳ) μεταπέμπεσθαι αὐτὸν (τὸν Κλέαρχον). Περὶ τοῦ αὐτὸν ἴδε Ἀσ. 106. 33. Ἴδε καὶ Ξενοφ. Β'. ἐ. 29.

§. 9. Τὰ τοῦ Κύρου] τὰ συμφέροντα τοῦ Κύρου. Ἀσ. 152. 62. τὸ δὲ ὅλον, τὰ συμφέροντα τοῦ Κύρου ἔχουσι τοιοῦτον λόγον πρὸς ἡμᾶς, οἱοῖον καὶ τὰ ἡμέτερα πρὸς ἐκεῖνον· εἶναι δηλαδὴ ἀλληλένδετα.

§. 10. Ὅτι σύνοιδα ἐμαυτῷ πάντα ἐψευσμένος αὐτὸν] διότι συν-

οὔτ' ἂν ἐχθρὸν ἀλέξασθαι. ὡς ἐμοῦ οὖν ἰόντος, ὅπῃ ἂν καὶ ὑμεῖς, οὕτω τὴν γνώμην ἔχετε. ταῦτα εἶπεν· οἱ δὲ στρατιῶται οἵ τε αὐτοῦ ἐκείνου καὶ οἱ ἄλλοι ταῦτα ἀκούσαντες, ὅτι οὐ φαίη παρὰ βασιλέα πορεύεσθαι, ἐπῄνεσαν· παρὰ δὲ Ξενίου καὶ Πασίωνος πλείους ἢ δισχίλιοι, λαβόντες τὰ ὅπλα καὶ τὰ σκευοφόρα, ἐστρατοπεδεύσαντο παρὰ Κλεάρχῳ. Κῦρος δέ, τούτοις ἀπορῶν τε καὶ λυπούμενος, μετεπέμπετο τὸν Κλέαρχον· ὁ δὲ ἰέναι μὲν οὐκ ἤθελε, λάθρᾳ δὲ τῶν στρατιωτῶν πέμπων αὐτῷ ἄγγελον ἔλεγε θαρρεῖν, ὡς καταστησομένων τούτων εἰς τὸ δέον· μεταπέμπεσθαι δ' ἐκέλευεν αὐτόν· αὐτὸς δ' οὐκ ἔφη ἰέναι. μετὰ δὲ ταῦτα, συναγαγὼν τούς θ' ἑαυτοῦ στρατιώτας καὶ τοὺς προσελθόντας αὐτῷ καὶ τῶν ἄλλων τὸν βουλόμενον, ἔλεξε τοιάδε, Ἄνδρες στρατιῶται, τὰ μὲν δὴ Κύρου δῆλον ὅτι οὕτως ἔχει πρὸς ἡμᾶς, ὥσπερ τὰ ἡμέτερα πρὸς ἐκεῖνον· οὔτε γὰρ ἡμεῖς ἐκείνου ἔτι στρατιῶται, ἐπεί γε οὐ συνεπόμεθα αὐτῷ, οὔτε ἐκεῖνος ἔτι ἡμῖν μισθοδότης. ὅτι μέντοι ἀδικεῖσθαι νομίζει ὑφ' ἡμῶν, οἶδα· ὥστε, καὶ μεταπεμπομένου αὐτοῦ, οὐκ ἐθέλω ἐλθεῖν, τὸ μὲν μέγιστον αἰσχυνόμενος, ὅτι σύνοιδα ἐ-

μαυτῷ πάντα ἐψευσμένος αὐτὸν, ἔπειτα καὶ δεδιὼς μὴ λαβών με δίκην ἐπιθῇ, ὧν νομίζει ὑπ' ἐμοῦ ἠδικῆ-
11 σθαι. ἐμοὶ οὖν δοκεῖ οὐχ ὥρα εἶναι ἡμῖν καθεύδειν οὐδ' ἀμελεῖν ἡμῶν αὐτῶν, ἀλλὰ βουλεύεσθαι ὅ τι χρὴ ποιεῖν ἐκ τούτων. καὶ ἕως τε μένομεν αὐτοῦ, σκεπτέον μοι δοκεῖ εἶναι, ὅπως ἀσφαλέστατα μενοῦμεν, εἴ τε ἤδη δοκεῖ ἀπιέναι, ὅπως ἀσφαλέστατα ἅπιμεν, καὶ ὅπως τὰ ἐπιτήδεια ἕξομεν· ἄνευ γὰρ τούτων οὔ-
12 τε στρατηγοῦ οὔτε ἰδιώτου ὄφελος οὐδέν. ὁ δ' ἀνὴρ πολλοῦ μὲν ἄξιος φίλος, ᾧ ἂν φίλος ᾖ, χαλεπώτατος δ' ἐχθρός, ᾧ ἂν πολέμιος ᾖ, ἔχει δὲ δύναμιν καὶ πεζὴν καὶ ἱππικὴν καὶ ναυτικήν, ἣν πάντες ὁμοίως ὁρῶμέν τε καὶ ἐπιστάμεθα· καὶ γὰρ οὐδὲ πόρρω δοκοῦμέν μοι αὐτοῦ καθῆσθαι. ὥστε ὥρα λέγειν ὅ τι

αισθάνομαι ὅτι διέψευσα ἁπάσας αὐτοῦ τὰς προσδοκίας· ψεύδομαι, μετὰ αἰτιατικῆς,=ἀπαιτῶ. —δίκην ἐπιθῇ] δίκην ἐπιτίθημί τινι=τιμωρῶ. Ἴδε Γ. Σ. ΣΤ. — ὧν νομίζει ὑπ' ἐμοῦ ἠδικῆσθαι] ἐκείνων, ἃ νομίζει ὑπ' ἐμοῦ ἠδικῆσθαι· ἕλξις. Ἴδε Α'. ά. 8, ὧν ὁ Τισσαφέρνης ἐτύγχανεν ἔχων.

§. 11. Καθεύδειν] νὰ κοιμώμεθα, ὡς λέγομεν καὶ ἡμεῖς ἀντί, νὰ μένωμεν ἀμέριμνοι· διὸ καὶ ἐπιφέρει ἐκ παραλλήλου πρὸς σαφεστέραν ἐπεξήγησιν, μηδὲ ἀμελεῖν ἡμῶν αὐτῶν. — ὅτι χρὴ ποιεῖν ἐκ τούτων] πλαγία ἐρώτησις ἀντί, τί χρὴ ποιεῖν ἕνεκα τούτων. Ἴδε Ἀσ. 816. 69.—ὅπως . . μένωμεν . . ὅπως ἅπιμεν . . ὅπως ἕξομεν] πάντα ταῦτα ἐξαρτῶνται ἐκ τοῦ σκεπτέον εἶναι· περὶ δὲ τῆς λεπτῆς διαφορᾶς τοῦ ὅπως μεθ' ὑποτακτικῆς καὶ ὅπως μετὰ μέλλοντος τῆς ὁριστικῆς ἴδε Ἀσ. 734. 12. 14. — οὔτε στρατηγοῦ οὔτε ἰδιώτου ὄφελος οὐδέν] οὐδεμίαν ἀξίαν ἔχει ἢ, ὡς λέγει ἡ κοινοτέρα, τίποτε δὲν φελᾷ οὔτε στρατηγὸς οὔτε στρατιώτης· ἴδε καὶ Πλάτ. Ἀπολ. Σωκρ. 28. 13. Καὶ ἰδιώτης μὲν περί τι λέγεται ὁ μὴ λαμβάνων ἢ μὴ δυνάμενος νὰ λάβῃ σπουδαῖον μέρος εἰς αὐτό, ἐπομένως ἐν τοῖς πολιτικοῖς ἰδιώτης εἶναι ὁ μὴ ἄρχων, ἐν τοῖς στρατιωτικοῖς ὁ στρατιώτης, ἐν ἑκάστῃ τῶν τεχνῶν καὶ ἐπιστημῶν ὁ μὴ γινώσκων αὐτήν. Περὶ δὲ τῆς γενικῆς στρατηγοῦ καὶ ἰδιώτου ἴδε Ἀσ. 48. 36. κ. ἑ.

§. 12. Ὁ δ' ἀνὴρ] ὁ Κῦρος. — καὶ γὰρ] διότι μάλιστα ἢ καθόσον μάλιστα· ταύτην δὲ τὴν σημασίαν ἔχει τὸ Καὶ γὰρ ὅταν ὁ καὶ ἐπιτείνῃ ὅλον τὸν αἰτιολογικὸν λόγον καὶ ὄχι μόνον τὴν μετὰ τὸν γὰρ ἐπιφερομένην λέξιν. Ἴδε Ἀσ. 670. 45. — δοκοῦμέν μοι] = δοκεῖ μοι· τὸ ἀπρόσωπον δοκεῖ καὶ προσωπικῶς ἐκφερόμενον φυλάττει τὴν ἀπρόσωπόν του σύνταξιν· διότι δοκῶ ἢ δοκοῦμέν μοι=νομίζω, δοκῶ

τις γιγνώσκει ἄριστον εἶναι. ταῦτα εἰπὼν ἐπαύσατο. ἐκ δὲ τούτου ἀνίσταντο οἱ μὲν ἐκ τοῦ αὐτομάτου, 13
λέξοντες ἃ ἐγίγνωσκον, οἱ δὲ καὶ ὑπ' ἐκείνου ἐγκέλευστοι, ἐπιδεικνύντες οἵα εἴη ἡ ἀπορία ἄνευ τῆς Κύρου γνώμης καὶ μένειν καὶ ἀπιέναι. εἷς δὲ δὴ εἶπε, προσ- 14
ποιούμενος σπεύδειν ὡς τάχιστα πορεύεσθαι εἰς τὴν Ἑλλάδα, στρατηγοὺς μὲν ἑλέσθαι ἄλλους ὡς τάχιστα, εἰ μὴ βούλεται Κλέαρχος ἀπάγειν· τὰ δ' ἐπιτήδεια ἀγοράζεσθαι· ἡ δ' ἀγορὰ ἦν ἐν τῷ βαρβαρικῷ στρατεύματι· καὶ συσκευάζεσθαι· ἐλθόντας δὲ Κῦρον αἰτεῖν πλοῖα, ὡς ἀποπλέοιεν· ἐὰν δὲ μὴ διδῷ ταῦτα, ἡγεμόνα αἰτεῖν Κῦρον, ὅστις διὰ φιλίας τῆς χώρας ἀπάξει. Ἐὰν δὲ μηδὲ ἡγεμόνα διδῷ, συντάττεσθαι τὴν τα- χίστην, πέμψαι δὲ καὶ προκαταληψομένους τὰ ἄκρα, ὅπως μὴ φθάσωσι μήτε Κῦρος μήτε οἱ Κίλικες καταλαβόντες, ὧν πολλοὺς καὶ πολλὰ χρήματα ἔχομεν ἀνηρπακότες. οὗτος μὲν τοιαῦτα εἶπε· μετὰ δὲ τοῦτον Κλέαρχος εἶπε τοσοῦτον, Ὡς μὲν στρατηγή- 15

ἠδοκοῦμένοι=νομίζεις. δοκῶ ἢ δοκοῦμέν τινι=νομίζει τις.

§. 13. Οἱ μὲν ἐκ τοῦ αὐτομάτου . . οἱ δὲ καὶ ὑπ' ἐκείνου ἐγκέλευστοι] ἀντίθετα τὸ Ἐν τῷ ἄλλῳ, = ἄλλοι μὲν αὐθόρμητοι, ὑπ' οὐδενὸς δηλαδὴ προτρεπόμενοι, ἄλλοι δὲ ὑπὸ τοῦ Κλεάρχου προτρεπόμενοι. — λέξοντες . . ἐπιδεικνύντες] τελικαὶ μετοχαὶ ἐξαρτώμεναι ἐκ τοῦ ἀνίσταντο. διατί δὲ ἡ μία μὲν ἐκφέρεται διὰ μέλλοντος, ἡ δ' ἄλλη δι' ἐνεστῶτος. Ἴδε Ἀσ. 533. 144.

§. 14. Προσποιούμενος σπεύδειν] προσποιούμενος ὅτι ἀναγκάζει, θὰ ἔλεγεν ἡ κοινὴ μὲ μεταβατικὴν σημασίαν. — ὡς ἀποπλέοιεν] ἵνα ἀποπλεύσωσιν. Ἴδε Ἀσ. 732. 6. — ἡγεμόνα . . ὅστις ἀπάξει] ὁδηγόν, ἵνα τοὺς ἐπαναφέρῃ. Ἴδε Ἀσ. 504. 48.— διὰ φιλίας τῆς χώρας] διὰ τῆς χώρας φιλίας οὔσης, φιλικῶς δηλαδὴ διακειμένης. Ἴδε Α'. δ'. 15. ὡς φίλου τεύξεσθε Κύρου — καὶ προκαταληψομένους τὰ ἄκρα] καὶ ἄνδρας ἐντεταλμένους νὰ καταλάβωσι τὰ ἄκρα πρὸ τοῦ Κύρου· ἄκρα δὲ κορυφαὶ τῶν ὀρέων φύσει ἢ τέχνῃ ὀχυραί· διὸ καὶ αἱ ἀκροπόλεις ἐνίοτε ἄκρα καλοῦνται. Ἴδε Η'. ά. 20. — ὅπως μὴ φθάσωσι καταλαβόντες] ἵνα μὴ πρότερον ἡμῶν τὰς καταλάβωσιν ὁ Κῦρος καὶ οἱ Κίλικες. Ἴδε Γ. Σ. Δ'.—ἔχομεν ἀνηρπακότες]=ἀνηρπάκαμεν. Ἴδε καὶ Δ'. ζ'. 1, ζ' 27.

§. 15. Ὡς μὲν στρατηγήσοντα ἐμὲ . . μηδεὶς λεγέτω] ὅτι μὲν ἐγὼ θ' ἀναδεχθῶ τοιαύτην στρατηγίαν, ἂς μή το λέγῃ ἢ ἂς μή το πιστεύῃ μηδείς· εἶναι δὲ κυρίως τὸ στρατηγήσοντα δευτέρα αἰτιατικὴ τοῦ λεγέτω. Ἀσ. 265. 24, 463. 36. καὶ Εἰσαγ. εἰς

μαυτῷ πάντα ἐψευσμένος αὐτὸν, ἔπειτα καὶ δεδιὼς μὴ λαβών με δίκην ἐπιθῇ, ὧν νομίζει ὑπ' ἐμοῦ ἠδικῆ-
11 σθαι. ἐμοὶ οὖν δοκεῖ οὐχ ὥρα εἶναι ἡμῖν καθεύδειν οὐδ' ἀμελεῖν ἡμῶν αὐτῶν, ἀλλὰ βουλεύεσθαι ὅ τι χρὴ ποιεῖν ἐκ τούτων. καὶ ἕως τε μένομεν αὐτοῦ, σκεπτέον μοι δοκεῖ εἶναι, ὅπως ἀσφαλέστατα μενοῦμεν, εἴ τε ἤδη δοκεῖ ἀπιέναι, ὅπως ἀσφαλέστατα ἅπιμεν, καὶ ὅπως τὰ ἐπιτήδεια ἕξομεν· ἄνευ γὰρ τούτων οὔ-
12 τε στρατηγοῦ οὔτε ἰδιώτου ὄφελος οὐδέν. ὁ δ' ἀνὴρ πολλοῦ μὲν ἄξιος φίλος, ᾧ ἂν φίλος ᾖ, χαλεπώτατος δ' ἐχθρός, ᾧ ἂν πολέμιος ᾖ, ἔχει δὲ δύναμιν καὶ πεζὴν καὶ ἱππικὴν καὶ ναυτικήν, ἣν πάντες ὁμοίως ὁρῶμέν τε καὶ ἐπιστάμεθα· καὶ γὰρ οὐδὲ πόρρω δοκοῦμέν μοι αὐτοῦ καθῆσθαι. ὥστε ὥρα λέγειν ὅ τι

αισθάνομαι ὅτι διέψευσα ἁπάσας αὐτοῦ τὰς προσδοκίας· ψεύδομαι, μετὰ αἰτιατικῆς,=ἀπαιτῶ. —δίκην ἐπιθῇ] δίκην ἐπιτίθημί τινι=τιμωρῶ. Ἴδε Γ. Σ. ΣΤ'. — ὧν νομίζει ὑπ' ἐμοῦ ἠδικῆσθαι] ἐκείνων, ἃ νομίζει ὑπ' ἐμοῦ ἠδικῆσθαι· ἔλλειψις. Ἴδε Α'. ά. 8, ὧν ὁ Τισσαφέρνης ἐτύγχανεν ἔχων.

§. 11. Καθεύδειν] νὰ κοιμώμεθα, ὡς λέγομεν καὶ ἡμεῖς ἀντί, νὰ μένωμεν ἀμέριμνοι· διὸ καὶ ἐπιφέρει ἐκ παραλλήλου πρὸς σαφεστέραν ἐπεξήγησιν, μηδὲ ἀμελεῖν ἡμῶν αὐτῶν. — ὅτι χρὴ ποιεῖν ἐκ τούτων] πλαγία ἐρώτησις ἀντί, τί χρὴ ποιεῖν ἕνεκα τούτων. Ἴδε Ἀσ. 816. 69.—ὅπως . . μένωμεν . . ὅπως ἅπιμεν . . ὅπως ἕξομεν] πάντα ταῦτα ἐξαρτῶνται ἐκ τοῦ σκεπτέον εἶναι· περὶ δὲ τῆς λεπτῆς διαφορᾶς τοῦ ὅπως μεθ' ὑποτακτικῆς καὶ ὅπως μετὰ μέλλοντος τῆς ὁριστικῆς ἴδε Ἀσ. 734. 12. 14. — οὔτε στρατηγοῦ οὔτε ἰδιώτου ὄφελος οὐδὲν] οὐδεμίαν ἀξίαν ἔχει ἤ, ὡς λέγει ἡ κοινοτέρα, τίποτε δὲν φελᾷ οὔτε στρατηγὸς οὔτε στρατιώτης· ἴδε καὶ Πλάτ. Ἀπολ. Σωκρ. 28. 13. Καὶ ἰδιώτης μὲν περί τι λέγεται ὁ μὴ λαμβάνων ἢ μὴ δυνάμενος νὰ λάβῃ σπουδαῖον μέρος εἰς αὐτό, ἐπομένως ἐν τοῖς πολιτικοῖς ἰδιώτης εἶναι ὁ μὴ ἄρχων, ἐν τοῖς στρατιωτικοῖς ὁ στρατιώτης, ἐν ἑκάστῃ τῶν τεχνῶν καὶ ἐπιστημῶν ὁ μὴ γινώσκων αὐτήν. Περὶ δὲ τῆς γενικῆς στρατηγοῦ καὶ ἰδιώτου ἴδε Ἀσ. 48. 36. κ. ἑ.

§. 12. Ὁ δ' ἀνὴρ] ὁ Κῦρος. — καὶ γάρ] διότι μάλιστα ἢ καθόσον μάλιστα· ταύτην δὲ τὴν σημασίαν ἔχει τὸ Καὶ γὰρ ὅταν ὁ καὶ ἐπιτείνῃ ὅλον τὸν αἰτιολογικὸν λόγον καὶ ὄχι μόνον τὴν μετὰ τὸν γὰρ ἐπιφερομένην λέξιν. Ἴδε Ἀσ. 670. 45. — δοκοῦμέν μοι] = δοκεῖ μοι· τὸ ἀπρόσωπον δοκεῖ καὶ προσωπικῶς ἐκφερόμενον φυλάττει τὴν ἀπρόσωπόν του σύνταξιν· διότι δοκῶ ἢ δοκοῦμέν μοι=νομίζω, δοκῶ ἢ δοκοῦμέν τινι=νομίζει τις.

§. 13. Οἱ μὲν ἐκ τοῦ αὐτομάτου . . οἱ δὲ καὶ ὑπ' ἐκείνου ἐγκέλευστοι] ἀντίθετα τὸ ἓν τῷ ἄλλῳ, = ἄλλοι μὲν αὐθόρμητοι, ὑπ' οὐδενὸς δηλαδὴ προτρεπόμενοι, ἄλλοι δὲ ὑπὸ τοῦ Κλεάρχου προτρεπόμενοι. — λέξοντες . . ἐπιδεικνύντες] τελικαὶ μετοχαὶ ἐξαρτώμεναι ἐκ τοῦ ἀνίσταντο. διατί δὲ ἡ μία μὲν ἐκφέρεται διὰ μέλλοντος, ἡ δ' ἄλλη δι' ἐνεστῶτος. Ἴδε Ἀσ. 533· 144.

§. 14. Προσποιούμενος σπεύδειν] προσποιούμενος ὅτι ἀναγκάζει, θὰ ἔλεγεν ἡ κοινὴ μὲ μεταβατικὴν σημασίαν. — ὡς ἀποπλέοιεν] ἵνα ἀποπλεύσωσιν. Ἴδε Ἀσ. 732. 6. — ἡγεμόνα . . ὅστις ἀπάξει] ὁδηγόν, ἵνα τοὺς ἐπαναφέρῃ. Ἴδε Ἀσ. 504. 48.—διὰ φιλίας τῆς χώρας] διὰ τῆς χώρας φιλίας οὔσης, φιλικῶς δηλαδὴ διακειμένης. Ἴδε Α'. δ'. 15. ὡς φίλου τεύξεσθε Κύρου — καὶ προκαταληψομένους τὰ ἄκρα] καὶ ἄνδρας ἐντεταλμένους νὰ καταλάβωσι τὰ ἄκρα πρὸ τοῦ Κύρου· ἄκρα δὲ κορυφαὶ τῶν ὀρέων φύσει ἢ τέχνῃ ὀχυραί· διὸ καὶ αἱ ἀκροπόλεις ἐνίοτε ἄκρα καλοῦνται. Ἴδε Η'. ά. 20. — ὅπως μὴ φθάσωσι καταλαβόντες] ἵνα μὴ πρότερον ἡμῶν τὰς καταλάβωσιν ὁ Κῦρος καὶ οἱ Κίλικες. Ἴδε Γ. Σ. Δ'.—ἔχομεν ἀνηρπακότες]=ἀνηρπάκαμεν. Ἴδε καὶ Δ'. ζ'. 1, ζ' 27.

§. 15. Ὡς μὲν στρατηγήσοντα ἐμὲ . . μηδεὶς λεγέτω] ὅτι μὲν ἐγὼ θ' ἀναδεχθῶ τοιαύτην στρατηγίαν, ἂς μή το λέγῃ ἢ ἂς μή το πιστεύῃ μηδείς· εἶναι δὲ κυρίως τὸ στρατηγήσοντα δευτέρα αἰτιατικὴ τοῦ λεγέτω. Ἀσ. 265. 24, 463. 36. καὶ Εἰσαγ. εἰς

τις γιγνώσκει ἄριστον εἶναι. ταῦτα εἰπὼν ἐπαύσατο. ἐκ δὲ τούτου ἀνίσταντο οἱ μὲν ἐκ τοῦ αὐτομάτου, 13
λέξοντες ἃ ἐγίγνωσκον, οἱ δὲ καὶ ὑπ' ἐκείνου ἐγκέλευστοι, ἐπιδεικνύντες οἵα εἴη ἡ ἀπορία ἄνευ τῆς Κύρου γνώμης καὶ μένειν καὶ ἀπιέναι. εἷς δὲ δὴ εἶπε, προσ- 14
ποιούμενος σπεύδειν ὡς τάχιστα πορεύεσθαι εἰς τὴν Ἑλλάδα, στρατηγοὺς μὲν ἑλέσθαι ἄλλους ὡς τάχιστα, εἰ μὴ βούλεται Κλέαρχος ἀπάγειν· τὰ δ' ἐπιτήδεια ἀγοράζεσθαι· ἡ δ' ἀγορὰ ἦν ἐν τῷ βαρβαρικῷ στρατεύματι· καὶ συσκευάζεσθαι· ἐλθόντας δὲ Κῦρον αἰτεῖν πλοῖα, ὡς ἀποπλέοιεν· ἐὰν δὲ μὴ διδῷ ταῦτα, ἡγεμόνα αἰτεῖν Κῦρον, ὅστις διὰ φιλίας τῆς χώρας ἀπάξει. Ἐὰν δὲ μηδὲ ἡγεμόνα διδῷ, συντάττεσθαι τὴν τα-
χίστην, πέμψαι δὲ καὶ προκαταληψομένους τὰ ἄκρα, ὅπως μὴ φθάσωσι μήτε Κῦρος μήτε οἱ Κίλικες καταλαβόντες, ὧν πολλοὺς καὶ πολλὰ χρήματα ἔχομεν ἀνηρπακότες. οὗτος μὲν τοιαῦτα εἶπε· μετὰ δὲ 15
τοῦτον Κλέαρχος εἶπε τοσοῦτον, Ὡς μὲν στρατηγή-

σοντα ἐμὲ ταύτην τὴν στρατηγίαν μηδεὶς ὑμῶν λεγέτω· πολλὰ γὰρ ἐνορῶ, δι' ἃ ἐμοὶ τοῦτο οὐ ποιητέον· ὡς δὲ τῷ ἀνδρί, ὃν ἂν ἕλησθε, πείσομαι ᾗ δυνατὸν μάλιστα, ἵνα εἰδῆτε, ὅτι καὶ ἄρχεσθαι ἐπίσταμαι ὡς τις
16 καὶ ἄλλος μάλιστα ἀνθρώπων. μετὰ τοῦτον ἄλλος ἀνέστη ἐπιδεικνὺς μὲν τὴν εὐήθειαν τοῦ τὰ πλοῖα αἰτεῖν κελεύοντος, ὥσπερ πάλιν τὸν στόλον Κύρου ποιουμένου, ἐπιδεικνὺς δέ, ὡς εὔηθες εἴη ἡγεμόνα αἰτεῖν παρὰ τούτου, ᾧ λυμαινόμεθα τὴν πρᾶξιν. εἰ δὲ καὶ τῷ ἡγεμόνι πιστεύσομεν, ὃν ἂν Κῦρος διδῷ, τί κωλύει καὶ τὰ ἄκρα ἡμῖν κελεύειν Κῦρον προκατα-
17 λαμβάνειν; ἐγὼ γὰρ ὀκνοίην μὲν ἂν εἰς τὰ πλοῖα ἐμβαίνειν, ἃ ἡμῖν δοίη, μὴ ἡμᾶς αὐταῖς ταῖς τριήρεσι καταδύσῃ, φοβοίμην δ' ἂν τῷ ἡγεμόνι, ᾧ δίοη, ἕπεσθαι, μὴ ἡμᾶς ἀγάγῃ, ὅθεν οὐχ οἷόν τε ἔσται ἐξελθεῖν· βουλοίμην δ' ἄν, ἄκοντος ἀπιὼν Κύρου, λαθεῖν αὐτὸν ἀπελθών· ὃ οὐ δυνατόν ἐστιν. ἀλλ' ἐγώ φημι
18 ταῦτα μὲν φλυαρίας εἶναι· δοκεῖ δέ μοι ἄνδρας ἑλ-

Ἑλλ. Σύντ. 200. 49. — ὡς δὲ τῷ ἀνδρὶ..πείσομαι] ἐννοεῖται ἐκ τῶν ἀνωτέρω πάντες λέγετε=πιστεύετε ὅμως πάντες ὅτι θὰ πείθωμαι. Ἐκ τούτου δὲ δῆλον γίγνεται ὅτι καὶ ἀνωτέρω ἀντὶ ὡς στρατηγήσοντα ἠδύνατο νὰ εἴπῃ ὅτι στρατηγήσω. — ὥς τις καὶ ἄλλος] διαφέρει τοῦ εἴ τις καὶ ἄλλος, ὅτι τοῦτο μὲν ὁμοιότητα = καθὼς καὶ οἱ ἄλλοι, ἐκεῖνο δὲ ἀμφιβολίαν ὑπεμφαίνει=ἀνίσως καὶ ἄλλος τις· ἐν ἀμφοτέροις δ' ἐπικρατεῖ ἡ ἔννοια τῆς ὑπεροχῆς = μᾶλλον ἢ κάλλιον παντὸς ἄλλου.

§. 16. Ἐπιδεικνὺς] προτιθέμενος ν' ἀποδείξῃ. Ἴδε Ἀσ. 534. 144. — Πάλιν] εἰς τὰ ὀπίσω. — τὸν στόλον ποιουμένου] στόλος μὲν ἡ πορεία, ἴδε Α. 6. 5, ποιοῦμαι δὲ τὸν στόλον πάλιν =ἐπιστρέφω. Περὶ δὲ τοῦ ποιουμένου, ὅπερ τινὲς ἀντὶ ποιησομένου εἰρημένον λέγουσιν, ἴδε τὸ ἀνωτέρω ἐπιδεικνύς. — ᾧ λυμαινόμεθα τὴν πρᾶξιν] οὐ σκοποῦμεν νὰ καταστρέψωμεν τὴν ἐπιχείρησιν· πρᾶξιν δὲ λέγει τὴν τιμωρίαν τῶν ἐχθρῶν, καθ' οὓς στρατεύει. Περὶ τῆς δοτικῆς ᾧ ἴδε Ἀσ. 263. 21. ἡ. καὶ 241. 18. —τὰ ἄκρα ἡμῖν..προκαταλαμβάνειν] νὰ προκαταλάβωσι τὰ ἄκρα πρὸς βλάβην ἡμῶν. Ἀσ. 221. 63.

§. 17. Ὀκνοίην ἂν] διστάζω. Ἀσ. 362. 40. γ'. 2.—μὴ ἡμᾶς ἀγάγῃ ὅθεν] μὴ ἀγάγῃ ἡμᾶς εἰς χωρία, ἀφ' ὧν. Πολλάκις τὰ ἐπιρρήματα ὅθεν καὶ ἔνθα τίθενται ἀντὶ ἀναφορικῆς ἀντωνυμίας. Ἀσ. 539. 14.—λαθεῖν αὐτὸν ἀπελθών] ἐν ἀγνοίᾳ αὐτοῦ ν' ἀπέλθω. Γ. Σ. Δ. ν' ἀπέλθω οὕτως, ὥστε ν' ἀγνοῇ αὐτὸς ποῦ πορεύομαι.

§ 18. Οἵτινες ἐπιτήδειοι] ἐνν.

θόντας πρὸς Κῦρον, οἵτινες ἐπιτήδειοι, σὺν Κλεάρχῳ ἐρωτᾶν ἐκεῖνον, τί βούλεται ἡμῖν χρῆσθαι· καὶ ἐὰν μὲν ἡ πρᾶξις ᾖ παραπλησία οἵᾳ περ καὶ πρόσθεν ἐχρῆτο τοῖς ξένοις, ἕπεσθαι καὶ ἡμᾶς καὶ μὴ κακίους εἶναι τῶν πρόσθεν τούτῳ συναναβάντων· ἐὰν δὲ μεί- 19
ζων ἡ πρᾶξις τῆς πρόσθεν φαίνηται καὶ ἐπιπονωτέρα καὶ ἐπικινδυνοτέρα, ἀξιοῦν ἢ πείσαντα ἡμᾶς ἄγειν ἢ πεισθέντα πρὸς φιλίαν ἀφιέναι· οὕτω γὰρ καὶ ἑπόμενοι ἂν φίλοι αὐτῷ καὶ πρόθυμοι ἑποίμεθα καὶ ἀπιόντες ἀσφαλῶς ἂν ἀπίοιμεν· ὅ τι δ' ἂν πρὸς ταῦτα λέγῃ, ἀναγγεῖλαι δεῦρο· ἡμᾶς δ', ἀκούσαντας, πρὸς ταῦτα βουλεύεσθαι. ἔδοξε ταῦτα, καὶ ἄνδρας ἑλόμε- 20
νοι σὺν Κλεάρχῳ πέμπουσιν, οἳ ἠρώτων Κῦρον τὰ δόξαντα τῇ στρατιᾷ. ὁ δ' ἀπεκρίνατο, ὅτι ἀκούοι Ἀβροκόμαν ἐχθρὸν ἄνδρα ἐπὶ τῷ Εὐφράτῃ ποταμῷ εἶναι, ἀπέχοντα δώδεκα σταθμούς· πρὸς τοῦτον οὖν ἔφη βούλεσθαι ἐλθεῖν· κἂν μὲν ᾖ ἐκεῖ, τὴν δίκην ἔφη χρήζειν ἐπιθεῖναι αὐτῷ· ἢν δὲ φύγῃ, ἡμεῖς ἐκεῖ πρὸς ταῦτα βουλευσόμεθα. ἀκούσαντες δὲ ταῦτα οἱ αἱρετοί, 21

εἰσὶν = ὅσοι εἶναι ἁρμόδιοι εἰς τοιαύτην ἐργασίαν. Ἴδε καὶ Β'. γ'. 11.—οἷᾳ περ ἐχρῆτο] καθ' ἕλξιν ἀντὶ πρὸς οἵαν περ ἐχρῆτο. Ἴδε Α'. ά. 8.—κακίους] ἀνανδροτέρους ἢ ὀλιγώτερον ἀνδρείους. Καθὼς ἀγαθὸς = σώφρων ἢ δίκαιος ἢ γενναῖος, οὕτω καὶ κακὸς = ἄφρων ἢ ἄδικος ἢ δειλὸς καὶ ἄνανδρος.

§. 19. Ἀξιοῦν ἢ πείσαντα ἡμᾶς ἄγειν] τὸ μὲν ἄγειν ἐξαρτᾶται ἐκ τοῦ ἀξιοῦν, τοῦτο δὲ ἐκ τοῦ ἀνωτέρω (§. 8.) δοκεῖ δέ μοι· σημαίνει δ' ἐνταῦθα, ὡς καὶ πολλαχοῦ ἄλλοθι, τὸ ἀξιοῦν ὅτι καὶ παρ' ἡμῖν τὸ ἀπαιτεῖν = (μοὶ φαίνεται καλὸν) ν' ἀπαιτήσωσιν (οἱ πρὸς Κῦρον ἐλθόντες) ἢ νὰ ἄγῃ ἡμᾶς, ἀφοῦ μᾶς πείσῃ κτλ. — πρὸς φιλίαν ἀφιέναι] νὰ μᾶς ἀφήσῃ φιλικῶς διακείμενος πρὸς ἡμᾶς. Ἀσ. 635. 189.—πρὸς ταῦτα λέγῃ] ὡς πρὸς ταῦτα. Ἀσ. 635. 186. — πρὸς ταῦτα βουλεύεσθαι] ἀναλόγως τούτων νὰ σκεφθῶμεν. Ἀσ. 635. 186.

§. 20. Ἐπὶ τῷ Εὐφράτῃ] παρὰ τὸν Εὐφράτην, πλησίον τοῦ Εὐφράτου. Ἀσ. 619. 134. — τὴν δίκην ἐπιθεῖναι] δίκην ἐπιτίθημι =τιμωρῶ. Ἴδε Α'. γ'. 10. Ἀλλὰ τὴν δίκην ἐπιτίθημι=τιμωρῶ ἐπαξίως ἢ ἐπιβάλλω τὴν προσήκουσαν τιμωρίαν. Ἀσ. 142. 26.

§. 21. Ἡμιόλιον] τρία ἡμιδαρεικὰ ἀνθ' ἑνός, ὡς λέγει κατωτέρω· ὡς δὲ πάντα τὰ πολλαπλασιαστικά, οὕτω καὶ τοῦτο συντάσσεται γενικῇ, οὗ πρότερον ἔφερον, διότι ἔχει ἐν ἑαυτῷ συγκριτικὴν σημασίαν. Ἡμιόλιον δέ, ἐκ τοῦ ἥμισυς καὶ ὅλος, = κατὰ ἥμισυ μείζων τοῦ ὅλου, ἑπο-

ἀναγγέλλουσι τοῖς στρατιώταις· τοῖς δὲ ὑποψία μὲν ἦν, ὅτι ἄγοι πρὸς βασιλέα, ὅμως δὲ ἐδόκει ἕπεσθαι. προσαιτοῦσι δὲ μισθόν· ὁ δὲ Κῦρος ὑπισχνεῖται ἡμιόλιον πᾶσι δώσειν, οὗ πρότερον ἔφερον, ἀντὶ δαρεικοῦ τρία ἡμιδαρεικὰ τοῦ μηνὸς τῷ στρατιώτῃ· ὅτι δὲ ἐπὶ βασιλέα ἄγοι, οὐδὲ ἐνταῦθα ἤκουσεν οὐδείς ἔν γε τῷ φανερῷ·

1 δ'. Ἐντεῦθεν ἐξελαύνει σταθμοὺς δύο παρασάγγας δέκα ἐπὶ τὸν Ψάρον ποταμόν, οὗ ἦν τὸ εὖρος τρία πλέθρα. ἐντεῦθεν ἐξελαύνει σταθμὸν ἕνα παρασάγγας πέντε ἐπὶ τὸν Πύραμον ποταμόν, οὗ τὸ εὖρος στάδιον. ἐντεῦθεν ἐξελαύνει σταθμοὺς δύο παρασάγγας πεντεκαίδεκα εἰς Ἰσσούς, τῆς Κιλικίας ἐσχάτην πόλιν ἐπὶ τῇ θαλάττῃ οἰκουμένην, μεγάλην καὶ εὐδαί-
2 μονα. ἐνταῦθα ἔμειναν ἡμέρας τρεῖς· καὶ Κύρῳ παρῆσαν αἱ ἐκ Πελοποννήσου νῆες, τριάκοντα καὶ πέντε, καὶ ἐπ' αὐταῖς ναύαρχος Πυθαγόρας Λακεδαιμόνιος. ἡγεῖτο δ' αὐταῖς Ταμῶς Αἰγύπτιος ἐξ Ἐφέσου, ἔχων ναῦς ἑτέρας Κύρου πέντε καὶ εἴκοσιν, αἷς ἐπολιόρκει Μίλητον, ὅτε Τισσαφέρνει φίλη ἦν, καὶ συνεπολέμει
3 Κύρῳ πρὸς αὐτόν. παρῆν δὲ καὶ Χειρίσοφος Λακεδαιμόνιος ἐπὶ τῶν νεῶν, μετάπεμπτος ὑπὸ Κύρου, ἑπτακοσίους ἔχων ὁπλίτας, ὧν ἐστρατήγει παρὰ Κύρῳ. αἱ δὲ νῆες ὥρμουν παρὰ τὴν Κύρου σκηνήν. ἐνταῦθα καὶ οἱ παρ' Ἀβροκόμα μισθοφόροι Ἕλληνες, ἀποστάντες, ἦλθον παρὰ Κῦρον, τετρακόσιοι ὁπλῖται,
4 καὶ συνεστρατεύοντο ἐπὶ βασιλέα. ἐντεῦθεν ἐξελαύνει σταθμὸν ἕνα παρασάγγας πέντε ἐπὶ πύλας τῆς Κι-

μένως ἐνάμισυ, ὡς λέγει ἡ κοινῶς λαλουμένη. — τοῦ μηνὸς τῷ στρατιώτῃ] καθ' ἕκαστον μῆνα εἰς ἕκαστον στρατιώτην. Ἀσ. 142. 26. περὶ τὸ τέλος.

Κεφ. δ'. §. 2. Παρῆσαν] ἦλθαν, ἀφίκοντο, ἴδε Α. β'. 2. παρῆσαν εἰς Σάρδεις. — πρὸς αὐτὸν] κατ' αὐτοῦ (τοῦ Τισσαφέρνους).

§ 3. Μετάπεμπτος] προσκεκλημένος, ἐκ τοῦ μεταπέμπομαι, ὅπερ ἴδε ἐν Α'. ά. 12. — ὧν ἐστρατήγει παρὰ Κύρῳ] ὧν ἦτο στρατηγὸς ὑπὸ τὰς διαταγὰς ἢ ἐν τῇ ὑπηρεσίᾳ τοῦ Κύρου.

§. 4. Ἦσαν δὲ ταῦτα δύο τείχη] αἱ μὲν φυσικαὶ πύλαι ἦσαν, φαίνεται, εὐρύτεραι· διὰ στρατιωτικοὺς δὲ λόγους ἔκτισαν φρού-

λικίας καὶ τῆς Συρίας. ἦσαν δὲ ταῦτα δύο τείχη, καὶ τὸ μὲν ἔσωθεν τὸ πρὸ τῆς Κιλικίας Συέννεσις εἶχε καὶ Κιλίκων φυλακή, τὸ δὲ ἔξω τὸ πρὸ τῆς Συρίας βασιλέως ἐλέγετο φυλακὴ φυλάττειν. διὰ μέσου δὲ ῥεῖ τούτων ποταμὸς Κάρσος ὄνομα, εὖρος πλέθρου. ἅπαν δὲ τὸ μέσον τῶν τειχῶν ἦσαν στάδιοι τρεῖς· καὶ παρελθεῖν οὐκ ἦν βίᾳ· ἦν γὰρ ἡ πάροδος στενὴ καὶ τὰ τείχη εἰς τὴν θάλατταν καθήκοντα, ὕπερθεν δ' ἦσαν πέτραι ἠλίβατοι· ἐπὶ δὲ τοῖς τεί- 5
χεσιν ἀμφοτέροις ἐφειστήκεσαν πύλαι. ταύτης ἕνεκα τῆς παρόδου Κῦρος τὰς ναῦς μετεπέμψατο, ὅπως ὁπλίτας ἀποβιβάσειεν εἴσω καὶ ἔξω τῶν πυλῶν, καί, βιασάμενοι τοὺς πολεμίους, παρέλθοιεν, εἰ φυλάττοιεν ἐπὶ ταῖς Συρίαις πύλαις, ὅπερ ᾤετο ποιήσειν ὁ Κῦρος τὸν Ἀβροκόμαν, ἔχοντα πολὺ στράτευμα. Ἀβροκόμας δὲ οὐ τοῦτ' ἐποίησεν, ἀλλ', ἐπεὶ ἤκουσε Κῦρον ἐν Κιλικίᾳ ὄντα, ἀναστρέψας ἐκ Φοινίκης παρὰ βασιλέα ἀπήλαυνεν, ἔχων, ὡς ἐλέγετο, τριάκον- 6
τα μυριάδας στρατιᾶς. ἐντεῦθεν ἐξελαύνει διὰ Συρίας σταθμὸν ἕνα παρασάγγας πέντε εἰς Μυρίανδον, πόλιν οἰκουμένην ὑπὸ Φοινίκων ἐπὶ τῇ θαλάττῃ· ἐμπόριον δ' ἦν τὸ χωρίον καὶ ὥρμουν αὐτόθι ὁλ-

ρια (τείχη) μέχρι θαλάσσης καθήκοντα, ἵνα πολλῷ δυσκολώτερον διέρχωνται δι' αὐτῶν οἱ ἐχθροί. Διὸ πολὺ καλῶς, φαίνεταί μοι, συμβουλεύει ὁ Weiskius ἀντὶ τοῦ ἦσαν δὲ ταῦτα ν' ἀναγινώσκωμεν ἦσαν δ' ἐνταῦθα.— πλέθρου] ἴδε Α'. β'. 5. — στάδιοι] ἴδε Α'. β'. 5.—παρελθεῖν οὐκ ἦν] νὰ περάσωσι δὲν ἦτο δυνατόν. Ἴδε Γ. Σ. Α'. — ὕπερθεν δὲ . . πέτραι ἠλίβατοι] ἄνωθεν δὲ (τοῦ φρουρίου τοῦ πρὸς τὴν Κιλικίαν, καὶ τούτου πάλιν κατὰ τὸ μέρος ἐκεῖνο, ὅπερ ἦτο τετραμμένον ὄχι πρὸς τὴν θάλασσαν, ἀλλὰ πρὸς τὴν ξηράν) πέτραι ὑψηλαί. — ἐπὶ δὲ τοῖς τοίχεσι] πλησίον δὲ τῶν φρουρίων. Ἐνταῦθα ἡ σημασία τοῦ ἐπάνω μόλις φαίνεται. Ἴδε §. 20.

§. 5. Εἴσω καὶ ἔξω τῶν τειχῶν] μεταξὺ τῶν δύο φρουρίων καὶ ἔξω αὐτῶν· ἔξω δὲ τῶν τειχῶν λέγων, ἐπειδὴ εὑρίσκετο ἐν Κιλικίᾳ, ἐννοεῖ τὴν Συρίαν ἀναμφιβόλως. — καὶ βιασάμενοι τοὺς πολεμίους παρέλθοιεν] καὶ ἀπελάσαντες τοὺς ἐν ταῖς πύλαις πολεμίους κτλ.

§. 6. Ἐμπόριον] ἐμπορικὸς λιμήν. — ὁλκάδες] ἐμπορικὰ μικρὰ πλοῖα, ἃ εἵλκον εἰς τὴν ξηράν, ὅτε προσωρμίζοντό που· γίνεται δὲ ἡ λέξις ἐκ τοῦ ἕλκειν. Τοιαῦτα εἶναι τὰ παρ' ἡμῖν περάματα καὶ καϊκάκια.

7 κάδες πολλαί. ἐνταῦθ' ἔμειναν ἡμέρας ἑπτά· καὶ Ξενίας ὁ Ἀρκὰς στρατηγὸς καὶ Πασίων ὁ Μεγαρεύς, ἐμβάντες εἰς πλοῖον καὶ τὰ πλείστου ἄξια ἐνθέμενοι, ἀπέπλευσαν, ὡς μὲν τοῖς πλείστοις ἐδόκουν, φιλοτιμηθέντες, ὅτι τοὺς στρατιώτας αὐτῶν, τοὺς παρὰ Κλέαρχον ἀπελθόντας ὡς ἀπιόντας εἰς τὴν Ἑλλάδα πάλιν καὶ οἱ πρὸς βασιλέα, εἶα Κῦρος τὸν Κλέαρχον ἔχειν. ἐπεὶ δ' ἦσαν ἀφανεῖς, διῆλθε λόγος, ὅτι διώκοι αὐτοὺς Κῦρος τριήρεσι· καὶ οἱ μὲν ηὔχοντο, 8 ὡς δειλοὺς ὄντας αὐτούς, ληφθῆναι, οἱ δ' ᾤκτειρον, εἰ ἁλώσοιντο. Κῦρος δὲ συγκαλέσας τοὺς στρατηγοὺς εἶπεν, Ἀπολελοίπασιν ἡμᾶς Ξενίας καὶ Πασίων. ἀλλ' εὖ γε μέντοι ἐπιστάσθων, ὅτι οὔτε ἀποδεδράκασιν — οἶδα γὰρ ὅπῃ οἴχονται — οὔτε ἀποπεφεύγασιν· ἔχω γὰρ τριήρεις ὥστε ἑλεῖν τὸ ἐκείνων πλοῖον· ἀλλὰ μὰ τοὺς θεοὺς οὐκ ἔγωγε αὐτοὺς διώξω, οὐδ' ἐρεῖ οὐδείς, ὡς ἐγώ, ἕως μὲν ἂν παρῇ τις, χρῶμαι, ἐπειδὰν δὲ ἀπιέναι βούληται, συλλαβών, καὶ αὐτοὺς κακῶς ποιῶ καὶ τὰ χρήματα ἀποσυλῶ. ἀλ-

§ 7. Ὡς μὲν τοῖς πλείστοις ἐδόκουν] καθὼς μὲν οἱ πλεῖστοι ἐνόμιζον. Ἴδε Α. γ'. 12. Σημειωτέον δ' ὅτι τοῦ λόγου τούτου ἡ ἀπόδοσις παρελείφθη· ἐννοεῖται δ' εὐκόλως, ὡς δὲ τοῖς ἄλλοις ἐδόκουν, ἀπέπλευσαν φοβούμενοι τὸν βασιλέα. — φιλοτιμηθέντες] ζηλοτυπήσαντες ἢ θεωροῦντες τὴν ἑαυτῶν φιλοτιμίαν προσβεβλημένην. — τοὺς παρὰ Κλέαρχον ἀπελθόντας ὡς ἀπιόντας εἰς τὴν Ἑλλάδα πάλιν κτλ.] οἵτινες ἀπῆλθον πρὸς Κλέαρχον (ἴδε Α. γ'. 7.) ἵνα ἐπανέλθωσιν, ὡς ἐνόμιζον, εἰς τὴν Ἑλλάδα.

§ 8. Ἐπιστάσθων] = ἐπιστάσθωσαν· προστακτικὴ τοῦ ἐπίσταμαι = σαφῶς γινώσκω. — οὔτε ἀποδεδράκασιν . . οὔτε ἀποπεφεύγασιν] ἀποδιδράσκω = κρυφίως φεύγω, ὥστε νὰ εἶναι ἄδηλον ποῦ ἐκρύβην, δραπετεύω· ἀποφεύγω δὲ τὸ κοινῶς λεγόμενον γλυτόνω ἤτοι σώζομαι διὰ τῆς φυγῆς καὶ δὲν φοβοῦμαι πλέον νὰ συλληφθῶ. Ἀσ. 590. 26. — ἰόντων]=ἴτωσαν· προσακτικὴ τοῦ εἶμι = πορεύομαι. — κακίους εἰσὶ περὶ ἡμᾶς κτλ] ἐκεῖνοι μᾶλλον πρὸς ἡμᾶς ἢ ἡμεῖς πρὸς ἐκείνους κακοῦ αἴτιοι ἐγενόμεθα. Ἀσ. 614. 120. — καὶ τέκνα]= καὶ τὰ τέκνα. Ἀσ. 146. 40. — τούτων στερήσονται] ἐνν. ὑπ' ἐμοῦ, τουτέστιν ἐγὼ οὐ στερήσω τούτους τὰ τέκνα. Τὰ ῥήματα ὠφελοῦμαι, προτιμοῦμαι, βλάπτομαι, τρέφομαι, περιέπομαι κτλ. ἔχουσιν εὔχρηστον μέσον μέλλοντα μὲ παθητικὴν σημασίαν.

λὰ ἰόντων, εἰδότες, ὅτι κακίους εἰσὶ περὶ ἡμᾶς ἢ ἡμεῖς περὶ ἐκείνους. καίτοι ἔχω γε αὐτῶν καὶ τέκνα καὶ γυναῖκας ἐν Τράλλεσι φρουρούμενα· ἀλλ' οὐδὲ τούτων στερήσονται, ἀλλ' ἀπολήψονται τῆς πρόσθεν ἕνεκα περὶ ἐμὲ ἀρετῆς. καὶ ὁ μὲν ταῦτα εἶπεν· οἱ δὲ 9 Ἕλληνες, εἴ τις καὶ ἀθυμότερος ἦν πρὸς τὴν ἀνάβασιν, ἀκούοντες τὴν Κύρου ἀρετήν, ἥδιον καὶ προθυμότερον συνεπορεύοντο.

Μετὰ ταῦτα Κῦρος ἐξελαύνει σταθμοὺς τέτταρας παρασάγγας εἴκοσιν ἐπὶ τὸν Χάλον ποταμόν, ὄντα τὸ εὖρος πλέθρου, πλήρη δ' ἰχθύων μεγάλων καὶ πραέων, οὓς οἱ Σύροι θεοὺς ἐνόμιζον καὶ ἀδικεῖν οὐκ εἴων, οὐδὲ τὰς περιστεράς. αἱ δὲ κῶμαι, ἐν αἷς ἐσκήνουν, Παρυσάτιδος ἦσαν εἰς ζώνην δεδομέναι. ἐν- 10 τεῦθεν ἐξελαύνει σταθμοὺς πέντε παρασάγγας τριάκοντα ἐπὶ τὰς πηγὰς τοῦ Δάρδατος ποταμοῦ, οὗ τὸ εὖρος πλέθρου. ἐνταῦθα ἦσαν τὰ Βελέσυος βασίλεια τοῦ Συρίας ἄρξαντος, καὶ παράδεισος πάνυ μέγας καὶ καλός, ἔχων πάντα, ὅσα ὧραι φύουσι. Κῦρος δ' αὐτὸν ἐξέκοψε καὶ τὰ βασίλεια κατέκαυσεν. ἐντεῦ- 11 θεν ἐξελαύνει σταθμοὺς τρεῖς παρασάγγας πεντεκαίδεκα ἐπὶ τὸν Εὐφράτην ποταμόν, ὄντα τὸ εὖρος τεττάρων σταδίων· καὶ πόλις αὐτόθι ᾠκεῖτο μεγάλη καὶ εὐδαίμων Θάψακος ὄνομα. ἐνταῦθα ἔμειναν ἡ-

§. 9. Ἰχθύων . . πραέων] ἐξημερωμένων, μὴ πτοουμένων, ὅταν τις ἐπιφαίνηται αὐτοῖς. — οὓς οἱ Σύροι θεοὺς ἐνόμιζον κτλ.] Δερκετὼ ἡ μάγισσα ἐμυθολογεῖτο ὅτι μετεμορφώθη εἰς ἰχθύν· Σεμίραμις δὲ ἡ θυγάτηρ αὐτῆς εἰς περιστεράν· διὸ καὶ ἀπεῖχον τούτων οἱ Σύριοι. Ἴδε Διοδ. II. 4. καὶ 20. ἔτι δὲ Λουκ. Περὶ Συρίης θεοῦ 14. 45. Διατί δὲ λέγει ἐνόμιζον καὶ ὄχι νομίζουσιν, ἴδε Ἀσ. 496. 19. — εἰς ζώνην δεδομέναι] ὁ Πλάτ. ἐν Ἀλκιβ. Ι, 123. Β. λέγει ὅτι πολλοὶ τόποι εὔφοροι καὶ πλούσιοι ἦσαν ἀφιερωμένοι εἰς κοσμήματα τῆς γυναικὸς τοῦ Βασιλέως καὶ ὀνόματα ἔφερον ἀφ' ἑκάστου τῶν κοσμημάτων, ζώνη καὶ καλύπτρα καὶ εἴτι τοιοῦτο καλούμενοι. Καὶ σήμερον δὲ κατὰ τὴν ὀθωμανικὴν αὐτοκρατορίαν πολλαὶ τῶν προσόδων εἶναι ἀφιερωμέναι εἰς κόσμον τῆς βασιλομήτορος.

§. 10. Βασίλεια . . παράδεισος] ἴδε Α'. β'. 6. — ὅσα ὧραι φύουσι] ὅσα αἱ τέσσαρες τοῦ ἔτους ὧραι παράγουσι. Διατί δὲ δὲν ἔχει ἄρθρον, ἴδε Ἀσ. 143. 29.

μέρας πέντε· καὶ Κῦρος, μεταπεμψάμενος τοὺς στρατηγοὺς τῶν Ἑλλήνων, ἔλεγεν, ὅτι ἡ ὁδὸς ἔσοιτο πρὸς βασιλέα μέγαν εἰς Βαβυλῶνα· καὶ κελεύει αὐτοὺς λέγειν ταῦτα τοῖς στρατιώταις καὶ ἀναπείθειν ἕπεσθαι. 12 οἱ δέ, ποιήσαντες ἐκκλησίαν, ἀπήγγελλον ταῦτα· οἱ δὲ στρατιῶται ἐχαλέπαινον τοῖς στρατηγοῖς, καὶ ἔφασαν αὐτούς, πάλαι ταῦτ' εἰδότας, κρύπτειν, καὶ οὐκ ἔφασαν ἰέναι, ἐὰν μή τις αὐτοῖς χρήματα διδῷ, ὥσπερ τοῖς προτέροις μετὰ Κύρου ἀναβᾶσι παρὰ τὸν πατέρα τοῦ Κύρου, καὶ ταῦτα οὐκ ἐπὶ μάχην ἰόντων, 13 ἀλλὰ καλοῦντος τοῦ πατρὸς Κῦρον. ταῦτα οἱ στρατηγοὶ Κύρῳ ἀπήγγελον· ὁ δ' ὑπέσχετο ἀνδρὶ ἑκάστῳ δώσειν πέντε ἀργυρίου μνᾶς, ἐπὴν εἰς Βαβυλῶνα ἥκωσι, καὶ τὸν μισθὸν ἐντελῆ, μέχρι ἂν καταστήσῃ τοὺς Ἕλληνας εἰς Ἰωνίαν πάλιν. τὸ μὲν δὴ πολὺ τοῦ Ἑλληνικοῦ οὕτως ἐπείσθη. Μένων δέ, πρὶν δῆλον εἶναι, τί ποιήσουσιν οἱ ἄλλοι στρατιῶται, πότερον ἔψονται Κύρῳ ἢ οὔ, συνέλεξε τὸ αὑτοῦ στρά- 14 τευμα χωρὶς τῶν ἄλλων καὶ ἔλεξε τάδε, Ἄνδρες, ἐάν μοι πεισθῆτε, οὔτε κινδυνεύσαντες οὔτε πονήσαν-

§. 12. Ἐχαλέπαινον] ἠγανάκτουν κατὰ τῶν στρατηγῶν. — πάλαι ταῦτ' εἰδότας] ἐναντιωματικὴ μετοχή, ἂν καὶ ἐγίνωσκον πρὸ πολλοῦ ταῦτα.— ὥσπερ τοῖς προτέροις . . ἀνοβᾶσι] ὥσπερ ἔδωκε τοῖς προτέροις ἀναβᾶσι· περὶ δὲ τοῦ προτέροις = πρότερον, ἴδε β'. 25. προτέρα Κύρου. — παρὰ τὸν πατέρα] πρὸς τὸν πατέρα. Ἀσ. 626. 159.—καὶ ταῦτα]=καὶ μάλιστα. Τὸ πλῆρες ἦθελεν εἶσθαι, Καὶ ταῦτα ἐγένοντο, δηλαδὴ καὶ ἔδωκεν αὐτοῖς χρήματα· ἐννοεῖται δὲ συνήθως εἰς τὸ καὶ ταῦτα τὸ πάσχω καὶ ποιῶ. Ἴδε Ἀσ. 668. 35.—ἰόντων] γενικὴ ἀπόλυτος ἀνωμάλως· διότι ὤφειλε νὰ συμφωνήσῃ μὲ τὸ ὑποκείμενον αὐτοῖς τοῖς ἀναβᾶσι· ὥστε Καὶ ταῦτα ἰόντων = καὶ ταῦτα ἰοῦσιν = καὶ μάλιστα ἐνῶ ἐπορεύοντο (οἱ πρότερον μετὰ Κύρου ἀναβάντες). Ἀσ. 476. 81. Ἴδε καὶ Β'. δ'. 24, Δ'. ά. 6. 9, Ε'. β'. 24.

§. 13. Μέχρι ἂν καταστήσῃ . . πάλιν] μέχρις οὗ ἐπαναφέρῃ. — πρὶν δῆλον εἶναι] πρὶν γείνῃ φανερόν. Τὸ πρὶν ἀπὸ ἀποφατικῶν λόγων ἐξαρτώμενον εὐκτικῇ ἢ ὑποτακτικῇ συντάσσεται, ἀπο καταφατικῶν δὲ ἀπαρεμφάτῳ. Ἀλλ' ἴδε Ἀσ. 395. 153.

§. 14. Οὔτε κινδυνεύσαντες κτλ.] =οὔτε κινδυνεύσαντες οὔτε πονήσαντες πλέον τῶν ἄλλων στρατιωτῶν, προτιμήσεσθε τούτων ὑπὸ τοῦ Κύρου. Τὸ προτιμήσεσθε = προτιμηθήσεσθε· ἴδε

τες τῶν ἄλλων πλέον προτιμήσεσθε στρατιωτῶν ὑπὸ Κύρου. τί οὖν κελεύω ποιῆσαι; νῦν δεῖται Κῦρος ἕπεσθαι τοὺς Ἕλληνας ἐπὶ βασιλέα· ἐγὼ οὖν φημι ὑμᾶς χρῆναι διαβῆναι τὸν Εὐφράτην ποταμὸν πρὶν δῆλον εἶναι, ὅ τι οἱ ἄλλοι Ἕλληνες ἀποκρινοῦνται Κύρῳ. ἢν μὲν γὰρ ψηφίσωνται ἕπεσθαι, ὑμεῖς δόξετε 15 αἴτιοι εἶναι, ἄρξαντες τοῦ διαβαίνειν, καὶ ὡς προθυμοτάτοις οὖσιν ὑμῖν χάριν εἴσεται Κῦρος καὶ ἀποδώσει· ἐπίσταται δ' εἴ τις καὶ ἄλλος· ἢν δ' ἀποψηφίσωνται οἱ ἄλλοι, ἄπιμεν μὲν ἅπαντες τοὔμπαλιν, ὑμῖν δὲ ὡς μόνοις πειθομένοις πιστοτάτοις χρήσεται καὶ εἰς φρούρια καὶ εἰς λοχαγίας, καὶ ἄλλου, οὑτινος ἂν δέησθε, οἶδα ὅτι ὡς φίλου τεύξεσθε Κύρου. ἀ- 16 κούσαντες ταῦτα ἐπείθοντο καὶ διέβησαν πρὶν τοὺς ἄλλους ἀποκρίνασθαι. Κῦρος δ', ἐπεὶ ἤσθετο διαβεβηκότας, ἥσθη τε καὶ τῷ στρατεύματι πέμψας Γλοῦν εἶπεν, Ἐγὼ μέν; ὦ ἄνδρες, ἤδη ὑμᾶς ἐπαινῶ· ὅπως δὲ καὶ ὑμεῖς ἐμὲ ἐπαινέσετε, ἐμοὶ μελήσει· ἢ μηκέτι με

§. 8. ἀλλ' οὐδὲ τούτων στερήσονται. — πρὶν δῆλον εἶναι] ἴδε §. 13. — ὅ τι . . ἀποκρινοῦνται] ἴδε Α'. γ'. 11. ὅτι χρὴ ποιεῖν.

§. 15. Ὡς προθυμοτάτοις οὖσιν] ἴδε Α'. ά. 6. — χάριν εἴσεται] τὸ μὲν εἴσεται μέλλων τοῦ οἶδα· οἶδα δὲ χάριν ἢ ἔχω σοι χάριν = σοὶ ὀφείλω χάριν ἢ εὐγνωμονῶ· ἀποδίδωμι χάριν = ἀποδίδω χάριν ἀντὶ χάριτος, ἀντευεργετῶ. — εἴ τις καὶ ἄλλος] ἴδε γ'. 15. ὥς τις καὶ ἄλλος. — ἀποψηφίσωνται] ἐπιψηφίζω = θέτω εἰς ψηφοφορίαν γνώμην ἢ ζήτημά τι· ψηφίζομαι =διὰ τῆς ψήφου μου παραδέχομαι τοῦτο, ἀποφασίζω· ἀποψηφίζομαι=δὲν παραδέχομαι, ἀπορρίπτω τὴν πρότασιν. — καὶ ἄλλου, οὑτινος ἂν δέησθε . . τεύξεσθε Κύρου] καθ' ἕλξιν ἀντί, καὶ ἄλλου, οὑτινος ἂν δέησθε, τεύξεσθε Κύρου ὡς φίλου = θὰ τὸ ἀπολαύσητε παρὰ τοῦ Κύρου ὡς παρὰ φίλου. Τὸ τυγχάνειν (=ἀπολαύειν) αἰτιατικῇ καὶ γενικῇ συντάσσεται. Ἴδε ΣΤ'. ς'. 32.

§. 16. Πρὶν ἀποκρίνασθαι] ἴδε §. 13. πρὶν δῆλον εἶναι.— Γλοῦν] τὸν υἱὸν τοῦ Ταμῶ, περὶ οὗ ἴδε Α'. δ'. 2. Οὗτος δὲ μετὰ τὸν θάνατον τοῦ Κύρου ἔμεινε παρὰ τῷ βασιλεῖ, ὑφ' οὗ καὶ ναύαρχος ἀπεδείχθη. Ἴδε Διοδ. XIV. 35. XV. 3, ὅπου ὁ Γλοῦς καὶ Γάως καλεῖται.—ὅπως . . ἐπαινέσετε] ἴδε Α'. ά. 4. — ἢ μηκέτι με Κῦρον νομίζετε] ἢ νὰ μὴ μὲ λένε πλέον Κῦρον, θὰ ἔλεγεν ἡ κοινοτάτη. Τὸ δὲ Ἢ ἐν ἀρχῇ λόγου ἄνευ προηγουμένου ἤτοι ἢ ἢ=εἰ δὲ μὴ. Ἴδε Ἀσ. 682. 11. —ἔδωκε μεγαλοπρεπῶς] ἔδωκε μὲ ἐλευθεριότητα (ἁρμόζουσαν εἰς μεγαλόφρονας ἄνδρας).

17 Κῦρον νομίζετε. οἱ μὲν δὴ στρατιῶται, ἐν ἐλπίσι μεγάλαις ὄντες, ηὔχοντο αὐτὸν εὐτυχῆσαι· Μένωνι δὲ καὶ δῶρα ἐλέγετο πέμψαι μεγαλοπρεπῶς. ταῦτα δὲ ποιήσας, διέβαινε· συνείπετο δὲ καὶ τὸ ἄλλο στράτευμα αὐτῷ ἅπαν. καὶ τῶν διαβαινόντων τὸν ποτα-
μὸν οὐδεὶς ἐβρέχθη ἀνωτέρω τῶν μαστῶν ὑπὸ τοῦ
18 ποταμοῦ. οἱ δὲ Θαψακηνοὶ ἔλεγον, ὅτι οὐπώποθ' οὗτος ὁ ποταμὸς διαβατὸς γένοιτο πεζῇ, εἰ μὴ τότε, ἀλλὰ πλοίοις, ἃ τότε Ἀβροκόμας προϊὼν κατέκαυσεν, ἵνα μὴ Κῦρος διαβῇ. ἐδόκει δὴ θεῖον εἶναι καὶ σαφῶς ὑποχωρῆσαι τὸν ποταμὸν Κύρῳ ὡς βασιλεύσοντι.
19 ἐντεῦθεν ἐξελαύνει διὰ τῆς Συρίας σταθμοὺς ἐννέα παρασάγγας πεντήκοντα· καὶ ἀφικνοῦνται πρὸς τὸν Ἀράξην ποταμόν. ἐνταῦθα ἦσαν κῶμαι πολλαὶ μεσταὶ σίτου καὶ οἴνου. ἐνταῦθα ἔμειναν ἡμέρας τρεῖς καὶ ἐπεσιτίσαντο.

1 ε'. Ἐντεῦθεν ἐξελαύνει διὰ τῆς Ἀραβίας, τὸν Εὐφράτην ποταμὸν ἐν δεξιᾷ ἔχων, σταθμοὺς ἐρήμους πέντε παρασάγγας τριάκοντα καὶ πέντε. ἐν τούτῳ δὲ τῷ τόπῳ ἦν μὲν ἡ γῆ πεδίον ἅπαν ὁμαλές, ὥσπερ θάλαττα, ἀψινθίου δὲ πλῆρες· εἰ δέ τι καὶ ἄλλο ἐνῆν ὕλης ἢ καλάμη, ἅπαντα
2 ἦσαν εὐώδη, ὥσπερ ἀρώματα· δένδρον δ' οὐδὲν ἐνῆν, θηρία δὲ παντοῖα, πλεῖστοι ὄνοι ἄγριοι, πολλοὶ δὲ στρουθοὶ οἱ μεγάλοι· ἐνῆσαν δὲ καὶ ὠτίδες καὶ δορκάδες.

§. 18. Ὑποχωρῆσαι] ἐν μὲν τοῖς πολεμικοῖς ὑποχωρῶ = ὀπισθοχωρῶ, μὴ δυνάμενος ν' ἀντιστῶ εἰς τοὺς πολεμίους· ἀλλ' ὑποχωρῶ τινι = παραμερίζω ἢ ὑποκλίνομαι ἐνώπιον αὐτοῦ χάριν τιμῆς ἢ σεβασμοῦ, προσκυνῶ.

§. 19. Ἐπεσιτίσαντο] ἐπισιτίζομαι = πορίζομαι σῖτα, δηλαδὴ τρόφιμα.

Κεφ. ε. Ἦν ἡ γῆ πεδίον ἅπαν ὁμαλές] = ἡ γῆ ἦν πεδιὰς πανομαλὴς ἢ καθ' ὁλοκληρίαν ὁμαλή. Ἀσ. 165. 111. Ἐπὶ ἐδάφους λέγεται τὸ ὁμαλής, οὐδέτερον ὁμαλές· ἐπὶ δὲ τῶν ἄλλων ὁμαλός.—ἐνῆν] = ἦν ἐν αὐτῇ· παρατ. τοῦ ἔνειμι. — ὕλη] τὸ σήμερον κοινῶς ρουμάνι καλούμενον.

§. 2. Στρουθοὶ οἱ μεγάλοι] = στρουθοκάμηλοι. — ὠτίδες] πτηνὰ μέγεθος ἔχοντα χηνὸς καὶ περὶ τοὺς κροτάφους πτερὰ μεγαλείτερα, ἐξ ὧν καὶ τὸ ὄνομα· ἐν Θεσσαλίᾳ λέγονται δρόμπλια, τουρκιστὶ δὲ τόϊα. Θηρεύονται περὶ τὸν ὄρθρον ὑπὸ τὸ φῶς λαμπάδων καὶ τὸν ἦχον κωδώνων. — ἐπεί τις διώκοι] ἴδε Γ. Σ. Γ'.

ταῦτα δὲ τὰ θηρία οἱ ἱππεῖς ἐνίοτε ἐδίωκον. καὶ οἱ μὲν ὄνοι, ἐπεί τις διώκοι, προδραμόντες ἵσταντο — πολὺ γὰρ τῶν ἵππων ἔτρεχον θᾶττον — καὶ πάλιν, ἐπεὶ πλησιάζοιεν οἱ ἵπποι, ταὐτὸν ἐποίουν, καὶ οὐκ ἦν λαβεῖν, εἰ μή, διαστάντες οἱ ἱππεῖς, θηρῷεν διαδεχόμενοι. τὰ δὲ κρέα τῶν ἁλισκομένων ἦν παραπλήσια τοῖς ἐλαφείοις, ἀπαλώτερα δέ. στρουθὸν δὲ οὐδεὶς 3
ἔλαβεν· οἱ δὲ διώξαντες τῶν ἱππέων ταχὺ ἐπαύοντο· πολὺ γὰρ ἀπεσπᾶτο φεύγουσα, τοῖς μὲν ποσὶ δρόμῳ, ταῖς δὲ πτέρυξιν, αἴρουσα, ὥσπερ ἱστίῳ χρωμένη. τὰς δὲ ὠτίδας, ἄν τις ταχὺ ἀνιστῇ, ἔστι λαμβάνειν· πέτονται γὰρ βραχύ, ὥσπερ πέρδικες, καὶ ταχὺ ἀπαγορεύουσι. τὰ δὲ κρέα αὐτῶν ἥδιστα ἦν. πορευόμενοι 4
δὲ διὰ ταύτης τῆς χώρας ἀφικνοῦνται ἐπὶ τὸν Μάσκαν ποταμόν, τὸ εὖρος πλεθριαῖον. ἐνταῦθα ἦν πόλις ἐρήμη, μεγάλη, ὄνομα δ' αὐτῇ Κορσωτή· περιερρεῖτο δ' αὕτη ὑπὸ τοῦ Μάσκα κύκλῳ. ἐνταῦθ' ἔμειναν ἡμέρας τρεῖς καὶ ἐπεσιτίσαντο. ἐντεῦθεν ἐξελαύ- 5
νει σταθμοὺς ἐρήμους τρισκαίδεκα παρασάγγας ἐνενήκοντα, τὸν Εὐφράτην ποταμὸν ἐν δεξιᾷ ἔχων, καὶ ἀφικνεῖται ἐπὶ Πύλας. ἐν τούτοις τοῖς σταθμοῖς πολλὰ τῶν ὑποζυγίων ἀπώλετο ὑπὸ λιμοῦ· οὐ γὰρ ἦν χόρτος οὐδὲ ἄλλο οὐδὲν δένδρον, ἀλλὰ ψιλὴ ἦν ἅπασα ἡ χώρα· οἱ δὲ ἐνοικοῦντες ὄνους ἀλέτας παρὰ τὸν ποταμὸν ὀρύττοντες καὶ ποιοῦντες εἰς Βα-

§. 3. Τοῖς μὲν ποσὶ δρόμῳ χρωμένη κτλ.] καθὼς χρῶμαι φιλίᾳ = φιλῶ, οὕτω καὶ χρῶμαι δρόμῳ = τρέχω· τὸ δὲ ποσὶ εἶναι δοτικὴ ὀργανικὴ = διὰ μὲν τῶν ποδῶν τρέχουσα, τὰς δὲ πτέρυγας, αἴρουσα αὐτάς, ὡς ἱστίον μεταχειριζομένη. — ἄν τις ταχὺ ἀνιστῇ] ἐνν. τὰς ὠτίδας ἐκ τῆς κοίτης των· ταχὺ δ' ἐνταῦθα, ὡς καὶ παρ' ἡμῖν, = ἐνωρίς, πρωΐ. — ἀπαγορεύουσι] ἀπαγορεύω = ἀπαυδῶ, μέλ. ἀπαγορεύσω ἀόρ. ἀπεῖπον, παρακ. ἀπείρηκα.

§. 5. Τὰς πύλας] ἐννοεῖ τὰς Βαβυλωνίας. Ἴδε Α'. β'. 21. — λιμοῦ] λιμὸς μὲν ἡ πεῖνα, λοιμὸς δὲ ἡ πανώλης ἢ χολέρα. — ψιλή] φαλακρά, γυμνή, ἐστερημένη δένδρων. — ὄνους ἀλέτας ὀρύττοντες καὶ ποιοῦντες] κατὰ βραχυλογίαν ἀντί, ἐξορύττοντες λίθους καὶ ποιοῦντες αὐτοὺς ὄνους ἀλέτας. Καὶ ὄνος μὲν ὁ ἀνώτερος τοῦ μύλου λίθος, τὸ δὲ ἀλέτης ἐκ τοῦ ἀλέω = ἀλέθω παράγεται. Ἄρα ὄνος ἀλέτης = μυλόπετρα.

βυλῶνα ἦγον καὶ ἐπώλουν καὶ ἀνταγοράζοντες σί-
6 τον ἔζων. τὸ δὲ στράτευμα ὁ σῖτος ἐπέλιπε, καὶ πρί-
ασθαι οὐκ ἦν, εἰ μὴ ἐν τῇ Λυδίᾳ ἀγορᾷ ἐν τῷ Κύ-
ρου βαρβαρικῷ, τὴν καπίθην ἀλεύρων ἢ ἀλφίτων
τεττάρων σίγλων. ὁ δὲ σίγλος δύναται ἑπτὰ ὀβολοὺς
καὶ ἡμιωβόλιον Ἀττικούς· ἡ δὲ καπίθη δύο χοίνικας
Ἀττικὰς ἐχώρει. κρέα οὖν ἐσθίοντες οἱ στρατιῶται
7 διεγίγνοντο. ἦν δὲ τούτων τῶν σταθμῶν οὓς πάνυ
μακροὺς ἤλαυνεν, ὁπότε ἢ πρὸς ὕδωρ βούλοιτο διε-
τελέσαι ἢ πρὸς χιλόν. καὶ δή ποτε, στενοχωρίας καὶ
πηλοῦ φανέντος ταῖς ἁμάξαις δυσπορεύτου, ἐπέστη
ὁ Κῦρος σὺν τοῖς περὶ αὐτὸν ἀρίστοις καὶ εὐδαιμο-
νεστάτοις καὶ ἔταξε Γλοῦν καὶ Πίγρητα, λαβόντας
τοῦ βαρβαρικοῦ στρατοῦ, συνεκβιβάζειν τὰς ἁμάξας.
8 ἐπεὶ δ' ἐδόκουν αὐτῷ σχολαίως ποιεῖν, ὥσπερ ὀργῇ
ἐκέλευσε τοὺς περὶ αὐτὸν Πέρσας τοὺς κρατίστους

§. 6. *Καπίθη*] μέτρον χωρητικότητος ἰσοδυναμοῦν μὲ 2 ἀττικὰς χοίνικας· ἡ δὲ χοῖνιξ = 1/48 τοῦ μεδίμνου. Ἐπειδὴ δὲ 1 μέδιμνος = μὲ 38 περίπου ὀκάδας, ἔπεται ὅτι 1 χοῖνιξ = μὲ 315 δράμια σημερινά· ποσὸν ἐπαρκοῦν εἰς τροφὴν ἑνὸς δούλου. — *τεσσάρων σίγλων*] = ἀντὶ τεσσάρων σίγλων. Ἀσ. 258. 13. έ. Σημείωσαι δὲ ὅτι 1 σίγλος = 7. 5 ὀβολοὺς ἀττικοὺς ἢ 1. 25 δραχμάς. ἡ δὲ δραχμὴ ἰσομεγέθης φράγκῳ. — *ἐσθίοντες διεγίγνοντο*] ἐξηκολούθουν νὰ τρώγωσιν. Ἴδε Γ. Σ Δ'.

§. 7. Ἦν δὲ τούτων τῶν σταθμῶν, οὓς] *ἀντὶ ἦσαν δέ (τινες) τούτων τῶν σταθμῶν, οὓς*=τινὰς δὲ τούτων τῶν σταθμῶν· διότι ἦν οὓς=τινάς. Ἴδε Γ. Σ. Η'. —*μακροὺς ἤλαυνεν*] κατὰ βραχυλογίαν ἀντί, τινὲς δὲ τῶν σταθμῶν, οὓς ἤλαυνε τουτέστι διήνυεν, ἦσαν μακροί, ἀπεῖχον δηλαδὴ ἀπ' ἀλλήλων πολύ. Ἴδε καὶ Β'. β'. 12. *Πορευτέον δὲ ἡμῖν τοὺς πρώτους σταθμοὺς ὡς ἂν δυνάμεθα μακροτάτους.* Ἴδε καὶ Ἀσ. 866. 17.—*ὁπότε βούλοιτο*] Γ. Σ. Γ'. δ'. — *διατελέσαι*] ἐνν. τὴν ὁδόν = νὰ περάνωσι τὴν ὁδόν, νὰ φθάσωσιν εἰς τὸν πρὸς ὃν ὅρον. Ἴδε Δ'. έ. 11. *οἱ μὴ δυνάμενοι διατελέσαι τὴν ὁδόν.*—*χιλὸς*] λεπτότατον καὶ μακρὸν ὡς δίπηχυ χόρτον αὐτομάτως φυόμενον εἰς τοὺς λειμῶνας.—*καὶ δή*] διὰ τοῦτο δέ. *Ταύτην τὴν σημασίαν ἔχει ἐν ἀρχῇ λόγου, ὅταν εἰς ἔννοιαν γενικὴν ἐπιφέρηται περίστασις μερική.* — *λαβόντας τοῦ βαρβαρικοῦ*]=μέρος τοῦ βαρβαρικοῦ. Ἴδε τὸ πλῆρες ἐν Α'. ς'. 2.

§. 8. Ὥσπερ ὀργῇ] σὰν μὲ ὀργήν, θὰ ἔλεγεν ἡ κοινῶς λαλουμένη, ὡς ὠργισμένος. — *συνεπισπεῦσαι τὰς ἁμάξας*] κατὰ βραχυλογίαν ἀντί, *συνεπισπεῦσαι, ἵνα συνεκβιβάσωσι τὰς ἁμάξας· συνεπισπεύδω*=μετὰ τῶν ἄλλων

συνεπισπεῦσαι τὰς ἁμάξας. ἔνθα δὴ μέρος τι τῆς εὐταξίας ἦν θεάσασθαι· ῥίψαντες γὰρ τοὺς πορφυροῦς κάνδυς, ὅπου ἔτυχεν ἕκαστος ἑστηκώς, ἵεντο, ὥσπερ ἂν δράμοι τις περὶ νίκης καὶ μάλα κατὰ πρανοῦς γηλόφου, ἔχοντες τούτους τε τοὺς πολυτελεῖς χιτῶνας καὶ τὰς ποικίλας ἀναξυρίδας, ἔνιοι δὲ καὶ στρεπτοὺς περὶ τοῖς τραχήλοις καὶ ψέλια περὶ ταῖς χερσίν· εὐθὺς δὲ σὺν τούτοις εἰσπηδήσαντες εἰς τὸν πηλόν, θᾶττον ἢ ὥς τις ἂν ᾤετο μετεώρους ἐξεκόμισαν τὰς ἁμάξας. τὸ δὲ σύμπαν δῆλος ἦν Κῦ- 9
ρος ὡς σπεύδων πᾶσαν τὴν ὁδὸν καὶ οὐ διατρίβων, ὅπου μὴ ἐπισιτισμοῦ ἕνεκα ἢ τινος ἄλλου ἀναγκαίου ἐκαθέζετο, νομίζων, ὅσῳ μὲν θᾶττον ἔλθοι, τοσούτῳ ἀπαρασκευοτέρῳ βασιλεῖ μαχεῖσθαι, ὅσῳ δὲ σχολαίτερον, τοσούτῳ πλέον συναγείρεσθαι βασιλεῖ στράτευμα. καὶ συνιδεῖν δ' ἦν τῷ προσέχοντι τὸν νοῦν ἡ βασιλέως ἀρχὴ πλήθει μὲν χώρας καὶ ἀνθρώπων ἰσχυρὰ οὖσα, τοῖς δὲ μήκεσι τῶν ὁδῶν καὶ τῷ διεσπᾶσθαι

ἐπιταχύνω. — *ἦν θεάσασθαι*] ἴδε Γ. Σ. Α'.—*κάνδυς*] περσικὴ χλαμὺς μὲ χειρίδας, ἧς λείψανον τὸ σήμερον καφτάνι ἢ ντζουμπὲς παρ' ὀθωμανοῖς καλούμενος. Καὶ τῶν μὲν βασιλέων ἦτο ὁλοπόρφυρος, τῶν δὲ στρατηγῶν ἐρυθρὸς ἢ πορφυροῦς μὲ λευκὰ ποικίλματα, τῶν δὲ στρατιωτῶν οἱ κάνδυς ἦσαν δερμάτινοι.— *ἵεντο*] ἐρίπτοντο (εἰς τὸ ἔργον) ἤ, ὡς λέγει ἡ κοινοτέρα, ἔπεφταν μὲ τὰ μοῦτρα σ' τὴ δουλειά. — *τούτους τοὺς πολυτελεῖς*]=τοὺς πολυτελεῖς ἐκείνους, τοὺς ὁποίους πάντες γινώσκουσι. *Ταύτην τὴν σημασίαν ἔχει κυρίως ἡ ἐκεῖνος.* Ἴδε Ἀσ. Περ. Πρ. Κεφ. Δ'. ἐκεῖνος.—*χιτῶν*] ἀντιστοιχεῖ πρὸς τὰ ὑποκάμισα τῶν μικροβλάχων καὶ χωρικῶν τῆς Ἑλλάδος, τὰ ὁποῖα ζωννύμενα ἐπέχουσι καὶ φστανέλας τόπον· *κατεσκευάζοντο δέ, παρὰ Σπαρτιάταις μάλιστα,* καὶ ἐξ ἐρίου. — *ἀναξυρίς*] τὰ τουρκιστὶ τσακσύρια ἢ καὶ πουντούρια. — *θᾶττον ἢ ὥς τις ἂν ᾤετο*] ταχύτερον πάσης προσδοκίας.

§. 9. *Τὸ δὲ σύμπαν*] καθόλου δέ. — *δῆλος ἦν . . ὡς σπεύδων*] ἴδε Α'. β'. 11. *Τὸ δὲ ὡς φαίνεται ἔχων κολαστικὴν σημασίαν*=τρόπον τινὰ ἢ ὁπωσοῦν. Ἴδε καὶ Λυσ. XII. 90. *δῆλοι ἔσεσθε ὡς ὀργιζόμενοι. Τοιοῦτο καὶ τὸ ἀνωτέρω,* § 8., *ὥσπερ ὀργῇ.*— *ὅπου μὴ . . ἐκαθέζετο*] ἐκτὸς ἂν ἐστρατοπέδευέ που. *Τὰ ὅπου μὴ καὶ ὅτι μὴ*=εἰμὶ ἢ ἐκτός. *Τὸ δὲ κάθημαι καὶ καθέζομαι ἐν τοῖς πολεμικοῖς* = στρατοπεδεύω. —*καὶ συνιδεῖν δ' ἦν . . ἡ ἀρχὴ οὖσα*] προσωπικὴ σύνταξις ἀντὶ

τὰς δυνάμεις ἀσθενής, εἴ τις διὰ ταχέων τὸν πόλε-
10 μον ἐποιεῖτο. πέραν δὲ τοῦ Εὐφράτου ποταμοῦ κατὰ
τοὺς ἐρήμους σταθμοὺς ἦν πόλις εὐδαίμων καὶ με-
γάλη, ὄνομα δὲ Χαρμάνδη· ἐκ ταύτης οἱ στρατιῶται
ἠγόραζον τὰ ἐπιτήδεια, σχεδίαις διαβαίνοντες ὧδε·
διφθέρας, ἃς εἶχον στεγάσματα, ἐπίμπλασαν χόρτου
κούφου, εἶτα συνῆγον καὶ συνέσπων, ὡς μὴ ἅπτεσθαι
τῆς κάρφης τὸ ὕδωρ· ἐπὶ τούτων διέβαινον καὶ ἐ-
λάμβανον τὰ ἐπιτήδεια, οἶνόν τε ἐκ τῆς βαλάνου πε-
ποιημένον τῆς ἀπὸ τοῦ φοίνικος καὶ σῖτον μελίνης·
11 τοῦτο γὰρ ἦν ἐν τῇ χώρᾳ πλεῖστον. ἀμφιλεξάντων
δέ τι ἐνταῦθα τῶν τε τοῦ Μένωνος στρατιωτῶν καὶ
τῶν τοῦ Κλεάρχου, ὁ Κλέαρχος, κρίνας ἀδικεῖν τὸν
τοῦ Μένωνος, πληγὰς ἐνέβαλεν· ὁ δέ, ἐλθὼν πρὸς
τὸ ἑαυτοῦ στράτευμα, ἔλεγεν· ἀκούσαντες δ' οἱ στρα-
τιῶται ἐχαλέπαινον καὶ ὠργίζοντο ἰσχυρῶς τῷ Κλεάρχῳ.
12 τῇ δὲ αὐτῇ ἡμέρᾳ Κλέαρχος, ἐλθὼν ἐπὶ τὴν διάβασιν
τοῦ ποταμοῦ καὶ ἐκεῖ κατασκεψάμενος τὴν ἀγοράν, ἀφιπ-
πεύει ἐπὶ τὴν ἑαυτοῦ σκηνὴν διὰ τοῦ Μένωνος στρα-
τεύματος σὺν ὀλίγοις τοῖς περὶ αὐτόν· Κῦρος δὲ

τῆς ἀπροσώπου, Καὶ συνιδεῖν δ' ἦν τὴν ἀρχὴν οὖσαν. Ἴδε Α'. β'. 11 δῆλος ἦν ἀνιώμενος· Περὶ τοῦ καὶ . . δὲ ἴδε Α'. ά. 2 — ἀσθενής, εἴ τις διὰ ταχέων τὸν πόλεμον ἐποιεῖτο] ἀσθενὴς ὡς πρὸς ἐκεῖνον, ὅστις ἔσπευδε νὰ συνάψῃ ὡς οἷόν τε ταχύτερον μάχην. Περὶ τοῦ εἴ τις=ὅστις Α'. ί. 18. Περὶ δὲ τοῦ διὰ ταχέων=ταχέως. Ἴδε Γ'. β'. δ. διὰ φιλίας.

§. 10. Σχεδίαι] λέμβος αὐτοσχεδίως κατεσκευασμένη — ἃς εἶχον στεγάσματα] ὑφ' αἷς ἐσκήνουν οἱ στρατιῶται, λέγει ὁ Ἀρριαν. III. 29. εἶχον δὲ διφθέρας στεγάσματα=τὰ στεγάσματα (αἱ σκηναί), ἃς εἶχον, διφθέραι ἦσαν. — κάρφη] ξηρὸν ἄχυρον. — συνέσπων] συνέρραπτον λέγει τοῦτο ὁ Ἀρριανὸς ἔνθα ἀνωτέρω· ἡ δὲ λαλουμένη ἐσυμμάζευον θὰ ἔλεγεν. — μελίνης] ἴδε Α'. β'. 22. — οἶνον ἐκ τῆς βαλάνου τῆς ἀπὸ τοῦ φοίνικος] ἴδε περὶ τούτου Β'. γ'. 14 καὶ 15.

§. 11. Ἀμφιλεξάντων δέ τι κτλ] ἴσως, ἀμφιλεξάντων δέ τινος τῶν τοῦ Μένωνος καὶ τῶν τοῦ Κλεάρχου στρατιωτῶν· ὅτι δὲ ὄχι πολλοί, ἀλλ' εἷς τις ἑκατέρωθεν ἦσαν οἱ ἀμφιλέξαντες, δῆλον ἐκ τῶν ἐπιφερομένων. — ἔλεγε] ἐνν. τὸ ἑαυτοῦ πάθημα. — ἐχαλέπαινον] ἴδε δ'. 12.

§. 12. Οὔπω ἦκε] δὲν εἶχεν ἐλθεῖ ἀκόμη. Τὰ οὔπω καὶ μήπω, μετὰ παρωχημένων χρόνων συντασσόμενα, εἶναι ἐν χρήσει ἐπὶ

οὔπω ἦκεν, ἀλλ' ἔτι προσήλαυνε· τῶν δὲ Μένωνος
στρατιωτῶν ξύλα σχίζων τις, ὡς εἶδε Κλέαρχον δι-
ελαύνοντα, ἴσῃ τῇ ἀξίνῃ· καὶ οὗτος μὲν αὐτοῦ ἥμαρτεν·
ἄλλος δὲ λίθῳ καὶ ἄλλος, εἶτα πολλοί, κραυγῆς γενομέ-
νης. ὁ δὲ καταφεύγει εἰς τὸ ἑαυτοῦ στράτευμα, καὶ εὐθὺς 13
παραγγέλλει εἰς τὰ ὅπλα· καὶ τοὺς μὲν ὁπλίτας αὐτοῦ
ἐκέλευσε μεῖναι, τὰς ἀσπίδας πρὸς τὰ γόνατα θέντας,
αὐτὸς δέ, λαβὼν τοὺς Θρᾷκας καὶ τοὺς ἱππέας, οἳ ἦσαν
αὐτῷ ἐν τῷ στρατεύματι πλείους ἢ τετταράκοντα, τούτων
δὲ οἱ πλεῖστοι Θρᾷκες, ἤλαυνεν ἐπὶ τοὺς Μένωνος,
ὥστ' ἐκείνους ἐκπεπλῆχθαι καὶ αὐτὸν Μένωνα, καὶ
τρέχειν ἐπὶ τὰ ὅπλα· οἱ δὲ καὶ ἔστασαν, ἀποροῦν-
τες τῷ πράγματι. ὁ δὲ Πρόξενος — ἔτυχε γὰρ ὕστερος 14
προσιὼν καὶ τάξις αὐτῷ ἑπομένη τῶν ὁπλιτῶν — εὐ-
θὺς οὖν, εἰς τὸ μέσον ἀμφοτέρων ἄγων, ἔθετο τὰ
ὅπλα καὶ ἐδεῖτο τοῦ Κλεάρχου μὴ ποιεῖν ταῦτα. ὁ
δ' ἐχαλέπαινεν, ὅτι, αὐτοῦ ὀλίγου δεήσαντος κατα-

πραγμάτων μελλόντων γενέσθαι. Ἀντίθετα τούτων τὰ οὐκέτι καὶ μηκέτι, περὶ ὧν ἴδε Α'. ζ'. 18. Οὐκ ἄρα ἔτι μαχεῖται. — ἴσῃ τῇ ἀξίνῃ] = ἴσην ἑαυτὸν (ἐχύθη κατὰ τοῦ Κλεάρχου) τῇ ἀξίνῃ (Ἀσ. 251. 55.) ἢ πολλῷ μᾶλλον ἴσῃ βλῆμα τῇ ἀξίνῃ=βάλλει τῇ ἀξίνῃ; Ἀσ. 870. 31. 35 36. — ἄλλος δὲ λίθῳ καὶ ἄλλος] = ἄλλοτε δ' ἄλλος λίθῳ (ἴσῃ). Ἡ κοινὴ θὰ ἔλεγε, ποῦ καὶ ποῦ κανείς.

§. 13. Παραγγέλλει εἰς τὰ ὅπλα] κατὰ βραχυλογίαν ἀντί, παραγγέλλει ἵέναι εἰς τὰ ὅπλα. Ἴδε τὸ πλῆρες ἐν Α'. η'. 3. — αὐτοῦ] ἐπίρρημα τοπικόν. — τὰς ἀσπίδας πρὸς τὰ γόνατα θέντας] τὰς ἀσπίδας εἰς γόνυ προερεισαμένους, λέγει τοῦτο Πολύαινος ἐν II. 1. 2. Ἐκ τούτου καὶ ἔκ τινος χωρίου τοῦ Νέπωτος, XII. 1. 2, φαίνεται ὅτι οἱ ὁπλῖται, ὅτε παρεσκευάζοντο εἰς μάχην, ἀνέμενον τὰς διαταγὰς τοῦ στρατηγοῦ ἔχοντες [τὰς ἀσπίδας ἐστηριγμένας ἐπὶ τῶν γονάτων. — καὶ αὐτὸν Μένωνα] καθὼς καὶ αὐτὸς ὁ Μένων. Ἀσ. 664. 19 καὶ 20. — οἱ δὲ καὶ ἔστασαν] οἱ δὲ = οἱ ἄλλοι, οἵτινες δὲν ἦσαν οὔτε τοῦ Μένωνος οὔτε τοῦ Κλεάρχου στρατιῶται.

§. 14. Εὐθὺς οὖν] πολλάκις, ὅταν διὰ παρενθετικοῦ λόγου διακόπτηται ἡ συνέχεια ἄλλου λόγου, ὡς ἐδῶ, ἡ συνέχεια ἐπιφέρεται μὲ τοὺς συνδέσμους οὖν, τοίνυν καὶ δή. Ἀσ. 922. 200. — ὀλίγου δεήσαντος] ὑποκείμενον τούτου εἶναι τὸ ἡγούμενον αὐτοῦ, τοῦ Κλεάρχου· διὸ καὶ μετεχειρίσθη προσωπικὴν ἀντὶ τῆς ἀπροσώπου συντάξεως ὀλίγου δεῆσαν. Ἴδε Α'. γ'. 12. — πρᾴως λέγοι τὸ πάθος] περὶ τῆς κατ' αὐτοῦ ἐπιθέσεως μετὰ τοσαύτης ἀπαθείας ὁμιλεῖ.

λευσθῆναι, πρᾴως λέγοι τὸ αὐτοῦ πάθος, ἐκέλευσέ
15 τε αὐτὸν ἐκ τοῦ μέσου ἐξίστασθαι. ἐν τούτῳ δὲ ἐπῄει
καὶ Κῦρος καὶ ἐπύθετο τὸ πρᾶγμα· εὐθὺς δ' ἔλαβε
τὰ παλτὰ εἰς τὰς χεῖρας καὶ σὺν τοῖς παροῦσι τῶν
16 πιςῶν ἧκεν ἐλαύνων εἰς τὸ μέσον, καὶ λέγει τάδε, Κλέαρχε
καὶ Πρόξενε καὶ οἱ ἄλλοι οἱ παρόντες Ἕλληνες, οὐκ
ἴστε ὅ τι ποιεῖτε. εἰ γάρ τινα ἀλλήλοις μάχην συνάψετε, νομίζετε ἐν τῇδε τῇ ἡμέρᾳ ἐμέ τε κατακεκόψεσθαι καὶ ὑμᾶς οὐ πολὺ ἐμοῦ ὕστερον· κακῶς γὰρ
τῶν ἡμετέρων ἐχόντων, πάντες οὗτοι, οὓς ὁρᾶτε,
βάρβαροι πολεμιώτεροι ἡμῖν ἔσονται τῶν παρὰ βασιλεῖ
17 ὄντων. ἀκούσας ταῦτα ὁ Κλέαρχος, ἐν ἑαυτῷ ἐγένετο· καὶ παυσάμενοι ἀμφότεροι, κατὰ χώραν ἔθεντο τὰ ὅπλα.

1 ς'. Ἐντεῦθεν προϊόντων, ἐφαίνετο ἴχνη ἵππων καὶ κόπρος· εἰκάζετο δ' εἶναι ὁ στίβος ὡς δισχιλίων ἵππων. οὗτοι προϊόντες ἔκαον καὶ χιλὸν καὶ εἴ τι ἄλλο

§. 15. Ἔλαβε τὰ παλτὰ] παλτὸν μὲν τὸ ἀκόντιον ἢ εἶδος ἀκοντίου (Ξενοφ. Κ. Π. VI. 11. 16.), ἐκ τοῦ πάλλω· ἕφερον δὲ οἱ ἱππεῖς ἐνίοτε μὲν ἓν (ἴδε Ξενοφ. Κ. Π. VI. 2. 16.), ἐνίοτε δὲ δύο, ἵνα τὸ μὲν ῥίπτωσι, διὰ δὲ τοῦ ἑτέρου λογχίζωσιν, ὡς λέγει σήμερον ἡ στρατιωτικὴ τέχνη. Ἴδε Ξενοφ. Κ. Π. 1. 2. 9.

§. 16. Ὅ τι ποιεῖτε] τί ποιεῖτε. Ἴδε Α'. γ'. 11. ὅτι χρὴ ποιεῖν.—νομίζετε] = πιστεύετε. Ταύτην τὴν σημασίαν ἔχει καὶ ἐν τῇ Πλατ. Ἀπολ. Σωκρ. 24. Β. καὶ θεούς, οὓς ἡ πόλις νομίζει, οὐ νομίζοντα. — κατακεκόψεσθαι] μετ' ὀλίγον μέλλων = εὐθὺς θὰ κατασφαγῶ. — πάντες οὗτοι, οὓς ὁρᾶτε, βάρβαροι] = πάντες οὗτοι οἱ βάρβαροι, οὓς ὁρᾶτε. Οὐσιαστικὰ προσδιοριζόμενα ὑπὸ ἀναφορικῆς προτάσεως, ἂν μὲν προτάσσωνται, ἐκφέρονται ἐνάρθρως, ἂν δ' ἐπιτάσσωνται, ἀνάρθρως συνηθέστερον. Ἴδε Θουκυδ. 1. 85, Πλάτ. Πολιτ. 449 ἐ., Ξενοφ. Ἑλλ. VI. 1. 4.

§. 17. Ἐν ἑαυτῷ ἐγένετο] συνῆλθεν εἰς ἑαυτόν· ἐπὶ ἀνθρώπων παρεκτραπέντων μέν, ἐπανερχομένων δὲ εἰς τὴν εὐθεῖαν ὁδόν. ἀντίθετον εἶναι τὸ ἔξω ἑαυτοῦ ἢ ἔξω φρενῶν ἐγένετο.— κατὰ χώραν ἔθεντο τὰ ὅπλα] χωρισὰ ἐςρατοπέδευσαν. Τίθεμαι τὰ ὅπλα=ἀποθέτω τὰ ὅπλα εἰς μέρος τοῦ ςρατοπέδου, ὅπλα καλούμενον, ἴδε Β'. δ'. 15. Ἐν τάξει τίθεμαι τὰ ὅπλα = παρατάσσομαι εἰς μάχην· ἀλλὰ τοῦτο ἐνίοτε λέγεται καὶ ἁπλῶς, τὰ ὅπλα τίθεμαι. Ἀντία τὰ ὅπλα τίθεμαι = ἀντιπαρατάσσομαι, ἴδε Δ'. γ'. 26. τούτου δὲ ἀντίθετον εἶναι χωρὶς τὰ ὅπλα τίθεμαι.

Κεφ. ς'. Στίβος] ἴχνη, ὡς εἶπεν ἀνωτέρω, ἢ πατήματα· ἐκ τοῦ στίβω = πατῶ. — χιλὸν] ἴδε ε. 7. — οὗτοι] ἐννοεῖται ἐκ τῶν

χρήσιμον ἦν. Ὀρόντας δὲ Πέρσης ἀνὴρ γένει τε προσήκων βασιλεῖ καὶ τὰ πολέμια λεγόμενος ἐν τοῖς ἀρίστοις Περσῶν ἐπιβουλεύει Κύρῳ, καὶ πρόσθεν πο- 2
λεμήσας, καταλλαγεὶς δέ. οὗτος Κύρῳ εἶπεν, εἰ αὐτῷ δοίη ἱππέας χιλίους, ὅτι τοὺς προκατακάοντας ἱππέας ἢ κατακάνοι ἂν ἐνεδρεύσας ἢ ζῶντας πολλοὺς αὐτῶν ἕλοι καὶ κωλύσειε τοῦ κάειν ἐπιόντας, καὶ ποιήσειεν ὥστε μήποτε δύνασθαι αὐτούς, ἰδόντας τὸ Κύρου στράτευμα, βασιλεῖ διαγγεῖλαι. τῷ δὲ Κύρῳ, ἀκούσαντι ταῦτα, ἐδόκει ὠφέλιμα εἶναι, καὶ ἐκέλευσεν αὐτὸν λαμβάνειν μέρος παρ' ἑκάστου τῶν ἡγεμόνων. ὁ δ' Ὀρόντας, νομίσας ἑτοίμους εἶναι αὐτῷ 3
τοὺς ἱππέας, γράφει ἐπιστολὴν παρὰ βασιλέα, ὅτι ἥξοι ἔχων ἱππέας, ὡς ἂν δύνηται πλείστους· ἀλλὰ φράσαι τοῖς ἑαυτοῦ ἱππεῦσιν ἐκέλευεν ὡς φίλιον αὐτὸν ὑποδέχεσθαι. ἐνῆν δὲ ἐν τῇ ἐπιστολῇ καὶ τῆς πρόσθεν φιλίας ὑπομνήματα καὶ πίστεως. ταύτην τὴν ἐπιστολὴν δίδωσι πιστῷ ἀνδρί, ὡς ᾤετο. ὁ δέ, λαβών, Κύρῳ δίδωσιν. ἀναγνοὺς δὲ αὐτὴν ὁ Κῦρος, 4
συλλαμβάνει Ὀρόνταν καὶ συγκαλεῖ εἰς τὴν ἑαυτοῦ σκηνὴν Πέρσας τοὺς ἀρίστους τῶν περὶ αὐτὸν ἑπτά, καὶ τοὺς τῶν Ἑλλήνων στρατηγοὺς ἐκέλευεν ὁπλίτας ἀγαγεῖν, τούτους δὲ θέσθαι τὰ ὅπλα περὶ τὴν αὐτοῦ σκηνήν. οἱ δὲ ταῦτα ἐποίησαν, ἀγαγόντες ὡς τρισχι- 5
λίους ὁπλίτας. Κλέαρχον δὲ καὶ εἴσω παρεκάλεσε σύμ-

προηγουμένων οἱ ἵπποι· ἀλλ' ἐν τῇ πολεμικῇ οἱ ἵπποι = οἱ ἱππεῖς, ἡ ἀσπὶς = οἱ ἀσπιδηφόροι, τὰ ὅπλα = οἱ ὁπλῖται κτλ. — τὰ πολέμια] κατὰ τὴν πολεμικὴν τέχνην. — λεγόμενος] νομιζόμενος ἢ συγκαταριθμούμενος. — καὶ πρόσθεν πολεμήσας, καταλλαγεὶς δὲ] εἰ καὶ εἶχε μὲν πολεμήσει πρότερον κατὰ τοῦ Κύρου, εἶχεν ὅμως συνδιαλλαγῆ μὲ αὐτόν. Ἴδε Α'. α'. 2. ἐποίησε.

§. 3. Παρὰ βασιλέα] πρὸς βασιλέα. Ἀσ. 626. 159. — φράσαι τοῖς ἑαυτοῦ ἱππεῦσι] νὰ διατάξῃ (ὁ βασιλεὺς) τοὺς ἱππεῖς του. — ἐνῆν δὲ καὶ ὑπομνήματα] ὑπῆρχον δ' ἐν τῇ ἐπιστολῇ καὶ λόγοι ὑπομιμνήσκοντες.

§. 4. Θέσθαι τὰ ὅπλα] ἴδε ἀνωτέρω ε. 17. — Πέρσας τοὺς ἀρίστους τῶν περὶ αὐτὸν ἑπτά] ἑπτὰ τοὺς ἀρίστους τοῦ ἐπιτελείου του. Ὁ δ' ἀριθμὸς 7 ἦτο ἱερὸς παρὰ Πέρσαις μάλιστα.

§. 5. Καὶ εἴσω παρεκάλεσε σύμ-

βουλον, ὅς γε καὶ αὐτῷ καὶ τοῖς ἄλλοις ἐδόκει προτιμηθῆναι μάλιστα τῶν Ἑλλήνων. ἐπεὶ δ' ἐξῆλθεν, ἐξήγγειλε τοῖς φίλοις τὴν κρίσιν τοῦ Ὀρόντα ὡς ἐγένετο· οὐ γὰρ ἀπόρρητον ἦν. ἔφη δὲ Κῦρον ἄρχειν
6 τοῦ λόγου ὧδε, Παρεκάλεσα ὑμᾶς, ἄνδρες φίλοι, ὅπως, σὺν ὑμῖν βουλευόμενος, ὅ τι δίκαιόν ἐστι καὶ πρὸς θεῶν καὶ πρὸς ἀνθρώπων, τοῦτο πράξω περὶ Ὀρόντου τουτονί. τοῦτον γὰρ πρῶτον μὲν ὁ ἐμὸς πατὴρ ἔδωκεν ὑπήκοον εἶναι ἐμοί· ἐπεὶ δὲ ταχθείς, ὡς ἔφη αὐτός, ὑπὸ τοῦ ἐμοῦ ἀδελφοῦ οὗτος ἐπολέμησεν ἐμοὶ ἔχων τὴν ἐν Σάρδεσιν ἀκρόπολιν καὶ ἐγὼ αὐτὸν προσπολεμῶν ἐποίησα ὥστε δόξαι τούτῳ τοῦ πρὸς ἐμὲ πολέμου παύσασθαι, καὶ δεξιὰν ἔλαβον καὶ
7 ἔδωκα, Μετὰ ταῦτα, ἔφη, ὦ Ὀρόντα, ἔστιν ὅ τι σε ἠδίκησα; ἀπεκρίνατο ὅτι οὔ. πάλιν δὲ ὁ Κῦρος ἠρώτα, Οὐκοῦν ὕστερον, ὡς αὐτὸς σὺ ὁμολογεῖς, οὐδὲν ὑπ'

βουλον] (οὐ μόνον ἐκέλευσεν ὁπλίτας ἀγαγεῖν), ἀλλὰ καὶ ἔνδον τῆς σκηνῆς, ἐν ᾗ διεξήγετο ἡ δίκη, προσεκάλεσεν. Ἀσ. 665. 24. — ὅς γε κτλ.] διότι οὗτος νὰ προτιμηθῇ πάντων τῶν ἄλλων Ἑλλήνων ἐφάνη καλὸν καὶ εἰς αὐτόν, τὸν Κῦρον, καὶ εἰς τοὺς ἄλλους. Πολλάκις ἡ ὅς τίθεται ἀντὶ τοῦ ὅτι οὗτος ἢ διότι οὗτος. Ἀσ. 119. 81. — ἐξήγγειλε . . τὴν κρίσιν . . ὡς ἐγένετο] κατὰ προλήψεως ἰδίωμα ἀντὶ, ἐξήγγειλεν ὡς ἐγένετο ἡ κρίσις. Ἴδε Ἀσ. 916. 179. Περὶ δὲ τοῦ ὡς = πῶς ἴδε Α'. γ'. 11.

§. 6. Πρὸς θεῶν καὶ ἀνθρώπων] μὲ τὴν γνώμην τῶν θεῶν. Ὅπως τὸ θέλουν καὶ οἱ θεοὶ καὶ οἱ ἄνθρωποι, θὰ ἔλεγεν ἡ κοινῶς λαλουμένη. Ἐν γένει δὲ ἡ πρὸς μετὰ γενικῆς προσώπου σημαίνει τι σύμφωνον μὲ τὴν γνώμην, τὸν χαρακτῆρα ἢ τὰ ἤθη αὐτοῦ. Ἀσ. 632. 177. Ἴδε καὶ Α'. β'. 11. πρὸς τοῦ Κύρου. — ἔδωκεν εἶναι] ἔδωκεν, ἵνα ἦ. Ἀσ. 435. 35. — καὶ δεξιὰν ἔλαβον καὶ ἔδωκα] δεξιὰν δίδωμι = ὁρκίζομαι· δεξιὰν δίδωμι καὶ λαμβάνω = ὁρκιζόμεθα ἀμοιβαίως· δεξιὰν ἔλαβον = ἔλαβον ἔνορκον ὑπόσχεσιν, ὁποία τῶν Ἀλβανῶν ἡ λεγομένη μπέσα. Ἴδε καὶ Ἀσ. Α'. β'. 26.

§. 7. Οὐκοῦν] = οὖν· διάφορον τούτου εἶναι τὸ οὔκουν = λοιπὸν δέν. Ἀσ. 805. 28 κ. ἑ. ἔφη ὁ Ὀρόντας] = συνέφη = ὡμολόγησεν. Ἀσ. 820. 88. — ἔγνως τὴν σαυτοῦ δύναμιν] = ἔγνως τὴν σαυτοῦ ἀδυναμίαν. Ἔχει δηλαδὴ ἡ λέξις δύναμις μέσην σημασίαν, σημαίνουσα καὶ δύναμιν καὶ ἀδυναμίαν, ὅπως τύχη = ὁτὲ μὲν εὐτυχία, ὁτὲ δὲ δυστυχία κτλ. — πιστὰ ἔδωκάς μοι καὶ ἔλαβες] ἴδε ἀνωτέρω, § 6, δεξιὰν ἔλαβον καὶ ἔδωκα.

ἐμοῦ ἀδικούμενος, ἀποστὰς εἰς Μυσούς, κακῶς ἐποίεις τὴν ἐμὴν χώραν ὅ τι ἐδύνω; — ἔφη ὁ Ὀρόντας. — Οὐκοῦν, ἔφη ὁ Κῦρος, ὁπότ' αὖ ἔγνως τὴν σεαυτοῦ δύναμιν, ἐλθὼν ἐπὶ τὸν τῆς Ἀρτέμιδος βωμόν, μεταμέλειν τέ σοι ἔφησθα καί, πείσας ἐμέ, πιστὰ πάλιν ἔδωκάς μοι καὶ ἔλαβες παρ' ἐμοῦ; — καὶ ταῦθ' 8 ὡμολόγει ὁ Ὀρόντας. — Τί οὖν, ἔφη ὁ Κῦρος, ἀδικηθεὶς ὑπ' ἐμοῦ νῦν τὸ τρίτον ἐπιβουλεύων μοι φανερὸς γέγονας; εἰπόντος δὲ τοῦ Ὀρόντα, ὅτι οὐδὲν ἀδικηθείς, ἠρώτησεν ὁ Κῦρος αὐτόν, Ὁμολογεῖς οὖν περὶ ἐμὲ ἄδικος γεγενῆσθαι; — Ἦ γὰρ ἀνάγκη, ἔφη ὁ Ὀρόντας. — ἐκ τούτου πάλιν ἠρώτησεν ὁ Κῦρος, Ἔτι οὖν ἂν γένοιο τῷ ἐμῷ ἀδελφῷ πολέμιος, ἐμοὶ δὲ φίλος καὶ πιστός; — ὁ δὲ ἀπεκρίνατο, ὅτι, οὐδ' εἰ γενοίμην, ὦ Κῦρε, σοί γ' ἄν ποτε ἔτι δόξαιμι. πρὸς 9 ταῦτα Κῦρος εἶπε τοῖς παροῦσιν, Ὁ μὲν ἀνὴρ τοιαῦτα μὲν πεποίηκε, τοιαῦτα δὲ λέγει· ὑμῶν δὲ σὺ πρῶτος, ὦ Κλέαρχε, ἀπόφηναι γνώμην, ὅ τι σοι δοκεῖ. Κλέαρχος δὲ εἶπε τάδε, Συμβουλεύω ἐγὼ τὸν ἄνδρα τοῦτον ἐκποδὼν ποιεῖσθαι ὡς τάχιστα, ὡς μηκέτι δέῃ τοῦτον φυλάττεσθαι, ἀλλὰ σχολὴ ἦ ἡμῖν τὸ κατὰ τοῦτον εἶναι τοὺς ἐθελοντὰς φίλους τού-

§. 8. Ἦ γὰρ ἀνάγκη] ὁμολογῶ· διότι ἀνάγκη ὄντως εἶναι νὰ ὁμολογήσω, ὅτι ἄδικος περὶ σὲ ἐγενόμην. Ἀσ. 822. 95. — ὁ δὲ ἀπεκρίνατο ὅτι] εἰς τοὺς ὀρθοὺς λόγους, καθὼς ἐδῶ, ὁ ὅ τι ἐπέχει τόπον εἰσαγωγικῶν σημείων. — σοί γ' ἄν ποτε ἔτι δόξαιμι] ἐνν. φίλος εἶναι = σὺ οὐδέποτε πλέον ἤθελες μὲ θεωρήσει φίλον.

§. 9. Ἀπόφηναι γνώμην] ἀποφαίνομαι ἢ ἀποδείκνυμαι γνώμην = γνωμοδοτῶ. Ἀλλὰ καὶ ἁπλοῦν τὸ ἀποφαίνομαι = γνωμοδοτῶ. Ἀσ. 292. 17. — ὅ τι σοι δοκεῖ] ἴδε Α'. γ'. 11. ὅτι χρὴ ποιεῖν. — ἐκποδὼν ποιεῖσθαι] νὰ τὸν βγάλωμεν ἀπὸ τὴ μέση, θὰ ἔλεγεν ἡ λαλουμένη. Καθὼς δὲ ἐμποδὼν = ἐν χώρῳ ποδῶν, οὕτω καὶ ἐκποδὼν = ἐκ χώρου ποδῶν. Καὶ τὸ μὲν πρῶτον λέγεται ἐπὶ κωλυμάτων (ἐμποδίων), τὰ ὁποῖα παρεμβάλλονται· τὸ δὲ δεύτερον ἐπὶ προσκομμάτων, τὰ ὁποῖα καταστρέφομεν. — τὸ κατὰ τοῦτον εἶναι] ὅσον ἀφορᾷ τοῦτον. Τοῦτο δὲ λέγεται καὶ τὸ κατὰ τοῦτον, ἄνευ τοῦ εἶναι. Ἀσ. 608. 94. περὶ τὸ τέλος — τοὺς ἐθελοντὰς φίλους] τοὺς ἐξ οἰκείας προαιρέσεως (ἀλλ' οὐχὶ ἐξ ἀνάγκης) φίλους, καθὼς ἐθελοντὴς στρατιώτης ὁ θέλων, ἀλλὰ μηδεμίαν ὑποχρέωσιν ἔχων νὰ εἶναι στρατιώτης.

τους εὖ ποιεῖν. ταύτῃ δὲ τῇ γνώμῃ ἔφη καὶ τοὺς
10 ἄλλους προσθέσθαι. μετὰ ταῦτα, κελεύοντος Κύρου,
ἔλαβον τῆς ζώνης τὸν Ὀρόντα ἐπὶ θανάτῳ ἅπαντες
ἀναστάντες καὶ οἱ συγγενεῖς· εἶτα δὲ ἐξῆγον αὐτόν,
οἷς προσετάχθη. ἐπεὶ δὲ εἶδον αὐτόν, οἵπερ πρόσθεν
προσεκύνουν, καὶ τότε προσεκύνησαν, καίπερ εἰδότες, ὅτι
11 ἐπὶ θάνατον ἄγοιτο. ἐπεὶ δὲ εἰς τὴν Ἀρταπάτου σκηνὴν
εἰσήχθη τοῦ πιστοτάτου τῶν Κύρου σκηπτούχων, μετὰ
ταῦτα οὔτε ζῶντα Ὀρόνταν οὔτε τεθνηκότα οὐδεὶς εἶδε
πώποτε οὐδέ, ὅπως ἀπέθανεν, οὐδεὶς εἰδὼς ἔλεγεν. εἴκα-
ζον δὲ ἄλλοι ἄλλως· τάφος δὲ οὐδεὶς πώποτε αὐτοῦ ἐφάνη.

1 ζ'. Ἐντεῦθεν ἐξελαύνει διὰ τῆς Βαβυλωνίας ζαθμοὺς
τρεῖς παρασάγγας δώδεκα. ἐν δὲ τῷ τρίτῳ σταθμῷ
Κῦρος ἐξέτασιν ποιεῖται τῶν Ἑλλήνων καὶ τῶν βαρ-
βάρων ἐν τῷ πεδίῳ περὶ μέσας νύκτας· ἐδόκει γὰρ
εἰς τὴν ἐπιοῦσαν ἕω ἥξειν βασιλέα σὺν τῷ στρατεύ-
ματι μαχούμενον· καὶ ἐκέλευε Κλέαρχον μὲν τοῦ δε-
ξιοῦ κέρως ἡγεῖσθαι, Μένωνα δὲ τὸν Θετταλὸν
2 τοῦ εὐωνύμου, αὐτὸς δὲ τοὺς ἑαυτοῦ διέταξε. μετὰ
δὲ τὴν ἐξέτασιν ἅμα τῇ ἐπιούσῃ ἡμέρᾳ ἥκοντες αὐ-
τόμολοι παρὰ μεγάλου βασιλέως ἀπήγγελλον Κύρῳ

§. 10. Ἔλαβον τῆς ζώνης] Διόδ. ὁ Σικελ. ἐν XVII. 30. λέγει ὅτι ἔθος παρὰ Πέρσαις ἐπεκράτει ἐκ τῆς ζώνης ἕλκοντες νὰ παραδίδωσιν εἰς θάνατον τοὺς τοιούτους. Ἐνταῦθα ὅμως τὸ ὅλον, ἔλαβον τῆς ζώνης ἐπὶ θανάτῳ, = ἐτίμησαν αὐτῷ θανάτου = ἀνεκήρυξαν αὐτὸν ἄξιον θανάτου. Ἴδε καὶ Ἀσ. 620. 139. — οἵπερ πρόσθεν προσεκύνουν] ἀντὶ γὰρ τοῦ προσαγορεύειν ἀλλήλους (οἱ ἴσοι τῶν Περσῶν) φιλέουσι τοῖσι στόμασι· ἢν δὲ ἢ οὗτερος ὑποδεέστερος ὀλίγῳ, τὰς παρειὰς φιλέονται· ἢν δὲ πολλῷ ᾖ οὗτερος ἀγενέστερος, προσπίπτων προσκυνεῖ τὸν ἕτερον. Ἡροδ. 1. 134.

§. 11. Σκηπτούχων] σκηπτοῦχοι ἐλέγοντο σωματοφύλακες τοῦ βασιλέως καὶ τῶν σατραπῶν. Ἴδε Ξενοφ. Κ. Π. VII. 5. 58 κ. ἑ. — ὅπως ἀπέθανεν] ἴδε Α'. γ'. 11 ὅ τ ι χρὴ ποιεῖν. Σημείωσαι δ' ὅτι, ἂν τοὺς τοιούτους ἔθαπτον συνήθως οἱ Πέρσαι ζῶντας, ὡς λέγουσί τινες εἰς τὸ Ἡροδ. VII. 114. στηριζόμενοι, δὲν ἀποδεικνύεται ἐκ τοῦ χωρίου τούτου, ἔνθα οἱ κατορυττόμενοι εἶναι θύματα τοῖς καταχθονίοις θεοῖς προσφερόμενα.

Κεφ. ζ'. §. 1. Ἐξέτασιν] ἴδε Α'. β'. 9. — μαχούμενον] ἵνα πολεμήσῃ. Ἴδε Α'. γ'. 13 λέξοντες.

§. 2. Αὐτόμολοι] λειποτάκται. κυρίως οἱ ἀφ' ἑαυτῶν προσερχόμενοι τοῖς πολεμίοις (αὐτὸς καὶ μολέω=πορεύομαι).

περὶ τῆς βασιλέως στρατιᾶς. Κῦρος δέ, συγκαλέσας
τοὺς στρατηγοὺς καὶ λοχαγοὺς τῶν Ἑλλήνων, συν-
εβουλεύετό τε, πῶς ἂν τὴν μάχην ποιοῖτο, καὶ αὐ-
τὸς παρῄνει θαρρύνων τοιάδε, Ὦ ἄνδρες Ἕλληνες, 3
οὐκ ἀνθρώπων ἀπορῶν βαρβάρων συμμάχους ὑμᾶς
ἄγω, ἀλλά, νομίζων ἀμείνους καὶ κρείττους πολλῶν
βαρβάρων ὑμᾶς εἶναι, διὰ τοῦτο προσέλαβον. ὅπως
οὖν ἔσεσθε ἄνδρες ἄξιοι τῆς ἐλευθερίας, ἣν κέκτη-
σθε καὶ ἧς ὑμᾶς ἐγὼ εὐδαιμονίζω· εὖ γὰρ ἴστε, ὅτι
τὴν ἐλευθερίαν ἑλοίμην ἂν ἀνθ' ὧν ἔχω πάντων καὶ
ἄλλων πολλαπλασίων. ὅπως δὲ καὶ εἰδῆτε, εἰς οἷον 4
ἔρχεσθε ἀγῶνα, ὑμᾶς εἰδὼς διδάξω. τὸ μὲν γὰρ πλῆ-
θος πολὺ καὶ κραυγῇ πολλῇ ἐπίασιν· ἂν δὲ ταῦτα
ἀνάσχησθε, τἆλλα καὶ αἰσχυνεῖσθαί μοι δοκῶ, οἵους
ἡμῖν γνώσεσθε τοὺς ἐν τῇ χώρᾳ ὄντας ἀνθρώπους.

§. 3. Ὅπως οὖν ἔσεσθε] κατὰ παράλειψιν τῆς κυρίας προτάσεως = ὁρᾶτε οὖν, ὅπως ἔσεσθε. Περὶ τοῦ ὅ π ω ς μετὰ μέλλοντος ὁριστικῆς ἴδε Α'. ά. 4. Ἴδε ὅμως καὶ Ἀσ. 407. 190. — ἧς κέκτησθε] καθ' ἕλξιν ἀντί, ἐκείνης, ἣν κέκτησθε. Ἴδε Α'. α'. 8. ὧν ἐ τ ύ γ χ α ν ε ν ἔ χ ω ν. — ἀντὶ ὧν ἔχω ἀγαθῶν] καθ' ἕλξιν ἀντί, τῶν ἀγαθῶν, ἃ ἔχω. Ἴδε Α'. γ'. 4. ἀ ν θ' ὧ ν ε ὖ ἔ π α θ ο ν.

§. 4. Τὸ πλῆθος . . ἐπίασιν] σύνταξις περιληπτικὴ ἀντί, οἱ πολέμιοι . . ἐπίασιν. Τὸ δὲ ὅλον οἱ μὲν πολέμιοι πολλοί εἰσι καὶ μετὰ πολλῆς κραυγῆς ἐπέρχονται. — καὶ αἰσχυνεῖσθαί μοι δοκῶ οἵ ο υ ς ἡ μ ῖ ν γνώσεσθε] νομίζω ὅτι καὶ θὰ αἰσχυνθῶ, διότι γνώσεσθε τοιούτους ὄντας. Καθὼς δηλαδὴ τὸ ὅς = ὅτι οὗτος ἢ διότι οὗτος, οὕτω καὶ ο ἷ ο ς=ὅτι τοιοῦτος (ἴδε Ζ'. δ'. 1) ἢ διότι τοιοῦτος, ὡς ἐδῶ. Ἴδε Α'. ς'. 5 καὶ Ἀσ. 119. 81. — ἀνδρῶν ὄντων] ἄνδρες = παληκάρια, ὡς λέγει ἡ κοινὴ διὸ καὶ Δημοσθένης τὸν Φίλιππον ἄνθρωπον πάντοτε, οὐδέποτε δὲ ἄνδρα ἐκάλεσε. — καὶ εὐτόλμων γενομένων] ἐκ παραλλήλου τοῦτο τεθὲν ἐπεξηγεῖ σαφέστερον τὸ ἀ ν δ ρ ῶ ν ὄ ν τ ω ν = καὶ εὐτόλμων ἀναδειχθέντων· διότι γίγνομαι τοιοῦτος = παρέχω ἐμαυτὸν ἢ ἀναδεικνύω ἐμαυτὸν τοιοῦτον. — τοῖς οἴκοι ζηλωτὸν ποιήσω ἀπελθεῖν] θὰ προσπάθήσω ἢ θὰ κάμω, ὡς λέγει ἡ λαλουμένη, ν' ἀπέλθῃ ζηλούμενος ὑπὸ τῶν συμπατριωτῶν του. Π ο ι ῶ μ ε τ' ἀ π α ρ ε μ φ ά τ ο υ, μ ε σ ο λ α β ο ὺ ν τ ο ς ἢ μ ὴ τ ο ῦ ὥ σ τ ε, = προσπαθῶ, κατορθόνω ἢ γίνομαι αἴτιος, ἵνα γείνῃ τι. Ἴδε Ἀσ. 466. 46.—τὰ παρ' ἐμοὶ . . ἀντὶ τῶν οἴκοι] τὰ παρ' ἐμοὶ ἀγαθὰ ἀντὶ τῶν ἐν τῇ ἑαυτοῦ πατρίδι ἀγαθῶν.

ὑμῶν δὲ ἀνδρῶν ὄντων καὶ εὐτόλμων γενομένων, ἐγὼ ὑμῶν τὸν μὲν οἴκαδε βουλόμενον ἀπιέναι τοῖς οἴκοι ζηλωτὸν ποιήσω ἀπελθεῖν, πολλοὺς δὲ οἶμαι ποιήσειν τὰ παρ' ἐμοὶ ἑλέσθαι ἀντὶ τῶν οἴκοι. ἐνταῦθα Γαυλίτης παρών, φυγὰς Σάμιος, πιστὸς δὲ Κύρῳ, εἶπε, Καὶ μήν, ὦ Κῦρε, λέγουσί τινες, ὅτι πολλὰ ὑπισχνεῖ νῦν διὰ τὸ ἐν τοιούτῳ εἶναι, τοῦ κινδύνου προδιόντος. ἂν δὲ εὖ γένηταί τι, οὐ μεμνήσεσθαί σέ φασιν ἔνιοι δέ, οὐδ' εἰ μεμνῆό τε καὶ βούλοιο, δύνασθαι ἂν ἀποδοῦναι, ὅσα ὑπισχνεῖ. ἀκούσας ταῦτα ἔλεξεν ὁ Κῦρος, Ἀλλ' ἔστι μὲν ἡμῖν, ὦ ἄνδρες, ἡ ἀρχὴ ἡ πατρῴα πρὸς μὲν μεσημβρίαν μέχρι οὗ διὰ καῦμα οὐ δύνανται οἰκεῖν ἄνθρωποι, πρὸς δὲ ἄρκτον μέχρι οὗ διὰ χειμῶνα· τὰ δ' ἐν μέσῳ τούτων πάντα σατραπεύουσιν οἱ τοῦ ἐμοῦ ἀδελφοῦ φίλοι. ἢν δ' ἡμεῖς νικήσωμεν, ἡμᾶς δεῖ τοὺς ἡμετέρους φίλους τούτων ἐγκρατεῖς ποιῆσαι. ὥστε οὐ τοῦτο δέδοικα, μὴ οὐκ ἔχω ὅ τι δῶ ἑκάστῳ τῶν φίλων, ἂν εὖ γένηται, ἀλλὰ μὴ οὐκ ἔχω ἱκανούς, οἷς δῶ. ὑμῶν δὲ τῶν Ἑλλήνων καὶ στέφανον ἑκάστῳ χρυσοῦν δώσω. οἱ δέ, ταῦτα ἀκούσαντες, αὐτοί τε ἦσαν πολὺ προθυμότεροι καὶ τοῖς ἄλλοις

§. 5. *Διὰ τὸ ἐν τοιούτῳ εἶναι*]=διὰ τὸ εἶναί σε ἐν τοιούτῳ = διότι εὑρίσκεσαι εἰς τοιαύτην κατάστασιν. Οὕτω καὶ Ε'. ς'. 22 τῶν στρατιωτῶν ἐν συλλόγῳ ὄντων, καὶ Β'. ά 21. ὁρῶ ἐν εὐδίᾳ ὑμᾶς (ὄντας), — *ἂν δὲ εὖ γένηταί τι*] ἂν δέ σοι ἐπέλθῃ εὐτυχία τις = ἂν δ' ἐπιτύχῃς. Τοιοῦτο καὶ τὸ τῆς Γραφῆς, ἵνα εὖ σοι γένηται.

§. 6. *Ἀλλ' ἔστι μὲν ἡμῖν*] = Ναὶ· ἀλλὰ κτλ. Ὅταν, εἰς τοὺς διαλόγους μάλιστα, λόγος τις εἶναι ἔνστασις λόγου προηγουμένου, ἄρχεται ἀπὸ τοῦ ἀλλὰ· ἀπὸ τοῦ ἀλλὰ ἄρχονται προσέτι καὶ πολλοὶ λόγοι σημαίνοντες εὐχήν, ἀπευχὴν ἢ προτροπήν. Ἀσ. 708. 66. — *μέχρις οὗ διὰ χειμῶνα*] ἐνν. οὐ δύνανται οἰκεῖν ἄνθρωποι. — *πάντα σατραπεύουσι*] πάντων σατράπαι εἰσί. Τὸ σατραπεύω ὡς ἀρχικὸν γενικῇ συντάσσεται, ὡς ἐν Γ'. δ'. 31, εὕρηται ὅμως καὶ μετὰ αἰτιατικῆς, ὅταν μάλιστα τὸ ἀντικείμενον εἶναι ἀντωνυμία ἢ ἀριθμητικὸν ἢ τοιοῦτό τι.

§. 7. *Ἡμᾶς δεῖ*] ἐμὲ δεῖ· πολλάκις ἀντὶ τοῦ ἐγὼ τίθεται τὸ ἡμεῖς. — *ἐγκρατεῖς*] κυρίους. — *οὐκ ἔχω ἱκανοὺς οἷς δῶ*] = μὴ ἐκεῖνοι, οἷς δῶ, οὐχ ἱκανοί μοί εἰσιν.

§. 8. *Ἐμπιπλὰς ἁπάντων τὴν γνώμην*] ἐνν. ἐλπίδων ἢ ὑποσχέσεων = ἁφοῦ ἔκαμεν ὅλων τὴν

ἐξήγγελλον. εἰσῆσαν δὲ παρ' αὐτὸν οἵ τε στρατηγοὶ καὶ τῶν ἄλλων Ἑλλήνων τινὲς ἀξιοῦντες εἰδέναι, τί σφίσιν ἔσται, ἐὰν κρατήσωσιν. ὁ δέ, ἐμπιπλὰς ἁπάντων τὴν γνώμην, ἀπέπεμπε. παρεκελεύοντο δὲ αὐτῷ 9
πάντες, ὅσοι περ διελέγοντο, μὴ μάχεσθαι, ἀλλ' ὄπισθεν ἑαυτῶν τάττεσθαι. ἐν δὲ τῷ καιρῷ τούτῳ Κλέαρχος ὧδέ πως ἤρετο τὸν Κῦρον, Οἴει γάρ σοι μαχεῖσθαι, ὦ Κῦρε, τὸν ἀδελφόν; — Νὴ Δί', ἔφη ὁ Κῦρος, εἴπερ γε Δαρείου καὶ Παρυσάτιδός ἐστι παῖς, ἐμός, δὲ ἀδελφός, οὐκ ἀμαχεὶ ταῦτ' ἐγὼ λήψομαι. 10
ἐνταῦθα δὴ ἐν τῇ ἐξοπλισίᾳ ἀριθμὸς ἐγένετο τῶν μὲν Ἑλλήνων ἀσπὶς μυρία καὶ τετρακόσια, πελτασταὶ δὲ δισχίλιοι καὶ πεντακόσιοι, τῶν δὲ μετὰ Κύρου βαρβάρων δέκα μυριάδες καὶ ἅρματα δρεπανηφόρα ἀμφὶ τὰ εἴκοσι. τῶν δὲ πολεμίων ἐλέγοντο εἶναι 11
ἑκατὸν καὶ εἴκοσι μυριάδες καὶ ἅρματα δρεπανηφόρα διακόσια· ἄλλοι δὲ ἦσαν ἑξακισχίλιοι ἱππεῖς, ὧν Ἀρταγέρσης ἦρχεν· οὗτοι δ' αὖ πρὸ αὐτοῦ βασιλέως τεταγμένοι ἦσαν. τοῦ δὲ βασιλέως στρατεύματος ἦσαν ἄρχοντες, καὶ στρατηγοὶ καὶ ἡγεμόνες, τέτταρες, τριάκοντα 12
μυριάδων ἕκαστος, Ἀβροκόμας, Τισσαφέρνης, Γωβρύας,

γνώμην, θὰ ἔλεγε Μικρασιανὸς σήμερον.

§. 9. *Οἴει γάρ*] νομίζεις λοιπόν. *Ἀλλ'* ἴδ. *Ἀσ.* 726. 54.—*Μὴ μάχεσθαι*] ὁ Πλούταρχος ἐν Βίῳ Ἀρταξ. 8. διηγεῖται ὅτι, προτρέποντι τῷ Κλεάρχῳ νὰ μὴ πολεμήσῃ, ἀπεκρίθη ὁ Κῦρος, Τί λέγεις, Κλέαρχε; σὺ κελεύεις με, τὸν βασιλείας ὀρεγόμενον, ἀνάξιον εἶναι βασιλείας;

§. 10. *Ἐξοπλισία*] ὁ πρὸς πόλεμον ἐξοπλισμός· ἐξωπλισμένος δὲ καὶ τεταγμένος, ὡς δεῖ, ὁ στρατὸς ἐλέγετο συντεταγμένον στράτευμα. — *ἀριθμὸς*] ἴδε Α'. β'. 9. — *ἀσπὶς*] ἴδε Α'. ς'. 1.—*ἅρματα δρεπανηφόρα*] ἴδε τὴν περιγραφὴν τούτων ἐν Α'. ή. 10.

§. 12. *Ἄρχοντες καὶ στρατηγοὶ καὶ ἡγεμόνες*] ἄρχων μὲν καὶ στρατηγός, ἐνικῶς, ὁ ἀρχιστράτηγος κυρίως, ὡς ἐν Ξενοφ. Κ. Π. V. 111. 4. καὶ 48, ἄρχοντες δέ, πληθυντικῶς, οἱ στρατηγοὶ καὶ ἡγεμόνες, ὡς ἐν Ξενοφ. Κ. Π. V. 111. 29 καὶ VI. 11. 13. *Διὸ ἐνταῦθα τὸ καὶ στρατηγοὶ καὶ ἡγεμόνες ἐτέθη ἐκ παραλλήλου πρὸς ἐπεξήγησιν τοῦ ἄρχοντες*. Ἡγεμόνες δ' ἐλέγοντο οὐ μόνον οἱ στρατηγοί, ἀλλὰ καὶ οἱ λοχαγοὶ καὶ ταξίαρχοι κτλ. Ἴδε Ὀνησάνδρου Στρατηγικοῦ κεφ. ΛΔ. Τῶν δὲ ἡγεμόνων τοῖς ἀριστεύσασιν αἱ μείζους ἡγεμονίαι (τιμαὶ ἔστωσαν.) Ἴδε καὶ Δ'. ζ'. 8. — *ὑστέρησε*

Ἀρβάκης. τούτων δὲ παρεγένοντο ἐν τῇ μάχῃ ἐνενήκοντα μυριάδες καὶ ἅρματα δρεπανηφόρα ἑκατὸν καὶ πεντήκοντα· Ἀβροκόμας δὲ ὑστέρησε τῆς μάχης ἡμέραις
13 πέντε, ἐκ Φοινίκης ἐλαύνων. ταῦτα δὲ ἤγγελλον πρὸς Κῦρον οἱ αὐτομολήσαντες ἐκ τῶν πολεμίων παρὰ μεγάλου βασιλέως πρὸ τῆς μάχης, καὶ μετὰ τὴν μάχην, οἳ ὕστερον ἐλήφθησαν τῶν πολεμίων, ταὐτὰ
14 ἤγγελλον. ἐντεῦθεν δὲ Κῦρος ἐξελαύνει σταθμὸν ἕνα παρασάγγας τρεῖς συντεταγμένῳ τῷ στρατεύματι παντὶ καὶ τῷ Ἑλληνικῷ καὶ τῷ βαρβαρικῷ· ᾤετο γὰρ ταύτῃ τῇ ἡμέρᾳ μαχεῖσθαι βασιλέα· κατὰ γὰρ μέσον τὸν σταθμὸν τοῦτον τάφρος ἦν ὀρυκτὴ βαθεῖα, τὸ μὲν
15 εὖρος ὀργυιαὶ πέντε, τὸ δὲ βάθος ὀργυιαὶ τρεῖς. παρετέτατο δὲ ἡ τάφρος ἄνω διὰ τοῦ πεδίου ἐπὶ δώδεκα παρασάγγας μέχρι τοῦ Μηδίας τείχους· [ἔνθα δή εἰσιν αἱ διώρυχες, ἀπὸ τοῦ Τίγρητος ποταμοῦ ῥέουσαι· εἰσὶ δὲ τέτταρες, τὸ μὲν εὖρος πλεθριαῖαι, βαθεῖαι δὲ ἰσχυρῶς, καὶ πλοῖα πλεῖ ἐν αὐταῖς σιταγωγά· εἰσβάλλουσι δὲ εἰς τὸν Εὐφράτην· διαλείπουσι δ' ἑκάστη παρασάγγην· γέφυραι δ' ἔπεισιν.] ἦν δὲ παρὰ τὸν Εὐφράτην πάροδος στενὴ μεταξὺ τοῦ ποταμοῦ
16 καὶ τῆς τάφρου ὡς εἴκοσι ποδῶν τὸ εὖρος· ταύτην δὲ τὴν τάφρον βασιλεὺς ποιεῖ μέγας ἀντὶ ἐρίματος, ἐπειδὴ πυνθάνεται Κῦρον προσελαύνοντα. ταύτην

τῆς μάχης] ὑστερῶ καὶ ὑστερίζω = ὕστερος γίγνομαι ἢ ἔρχομαι. Τστερῶ τῆς μάχης=(ὕστερον ἀπὸ τὴν μάχην) μετὰ τὴν μάχην ἔρχομαι.

§. 13. Οἱ αὐτομολήσαντες] ἴδε ἀνωτέρω ζ'. 2.

§. 14. Συντεταγμένῳ τῷ στρατεύματι] ἴδε ἀνωτέρω §. 10. ἐξοπλισία.

§. 15. Πλεθριαῖαι]=ἑνὸς πλέθρου. Ἴδε Α'. β'. 5. πλέθρον.—βαθεῖαι ἰσχυρῶς] λίαν βαθεῖαι. Ἴδε Α'. β'. 21.—διαλείπουσι δ' ἑκάστη παρασάγγην]=μεταξὺ δ' ἑκάστης ὑπάρχει διάλειμμα ἑνὸς παρασάγγου· διαλείπω=ἀφίνω διάλειμμα, ἐξ οὗ καὶ οἱ διαλείποντες πυρετοί. Περὶ δὲ τοῦ ἑκάστη διαλείπουσι ἴδε Ἀσ. 133. 129. κ. ἑ.

§. 16. Ποιεῖ . . ἐπειδὴ πυνθάνεται] ἱστορικοὶ ἐνεστῶτες ἀντὶ ἀορίστων, = ἐποίησεν . . ἐπειδὴ ἐπύθετο. ποιῶ δέ τι ἀντί τινος = τὸ θεωρῶ ἢ τὸ μεταχειρίζομαι ὡς τοιοῦτο. — ἐρύματος] ἔρυμα = ὀχύρωμα, προμαχὼν ἤτι τοιοῦτο, ἐν γένει δὲ τὸ ἐρυμνόν, περὶ οὗ ἴδε Α'. β'. 8.

δὴ τὴν πάροδον Κῦρός τε καὶ ἡ στρατιὰ παρῆλθε καὶ ἐγένοντο εἴσω τῆς τάφρου. ταύτῃ μὲν οὖν τῇ ἡμέρᾳ 17
οὐκ ἐμαχέσατο βασιλεύς, ἀλλ' ὑποχωρούντων φανερὰ ἦσαν καὶ ἵππων καὶ ἀνθρώπων ἴχνη πολλά. ἐνταῦθα 18
Κῦρος, Σιλανὸν καλέσας τὸν Ἀμβρακιώτην μάντιν, ἔδωκεν αὐτῷ δαρεικοὺς τρισχιλίους, ὅτι τῇ ἑνδεκάτῃ ἀπ' ἐκείνης ἡμέρᾳ θυόμενος εἶπεν αὐτῷ, ὅτι βασιλεὺς οὐ μαχεῖται δέκα ἡμερῶν, Κῦρος δ' εἶπεν, Οὐκ ἄρα ἔτι μαχεῖται, εἰ ἐν ταύταις οὐ μαχεῖται ταῖς ἡμέραις· ἐὰν δ' ἀληθεύσῃς, ὑπισχνοῦμαί σοι δέκα τάλαντα. τοῦτο τὸ χρυσίον τότε ἀπέδωκεν, ἐπεὶ παρῆλθον αἱ δέκα ἡμέραι. ἐπεὶ δ' ἐπὶ τῇ τάφρῳ οὐκ ἐκώλυε βα- 19
σιλεὺς τὸ Κύρου στράτευμα διαβαίνειν, ἔδοξε καὶ Κύρῳ καὶ τοῖς ἄλλοις ἀπεγνωκέναι τοῦ μάχεσθαι· ὥστε τῇ ὑστεραίᾳ Κῦρος ἐπορεύετο ἡμελημένως μᾶλλον. τῇ 20
δὲ τρίτῃ ἐπί τε τοῦ ἅρματος καθήμενος τὴν πορείαν ἐποιεῖτο καὶ ὀλίγους ἐν τάξει ἔχων πρὸ αὐτοῦ, τὸ δὲ πολὺ αὐτῷ ἀνατεταραγμένον ἐπορεύετο καὶ τῶν ὅπλων τοῖς στρατιώταις πολλὰ ἐπὶ ἁμαξῶν ἤγετο καὶ ὑποζυγίων.

§. 17. Ὑποχωρούντων] ἴδε δ'. 18.

§. 18. Τῇ ἑνδεκάτῃ ἡμέρᾳ . . δέκα ἡμερῶν] ἀμφότερα σημαίνουν χρόνον· ἀλλ' ἡ μὲν δοτικὴ ὡρισμένην στιγμὴν χρόνου, ἡ δὲ γενικὴ φυσικὸν διάστημα χρόνου, ἐντὸς τοῦ ὁποίου γίνεταί τι ἀπροσδιορίστως· οὕτω δέκα ἡμερῶν = ἐντὸς δέκα ἡμερῶν. Ἀσ. 214. 32. καὶ 37. — οὐκ ἄρα ἔτι μαχεῖται] = οὐκέτι ἄρα μαχεῖται = δὲν θὰ πολεμήσῃ πλέον. Τὰ οὐκέτι καὶ μηκέτι τίθενται ἐπὶ πραγμάτων, τὰ ὁποῖα δὲν γίνονται ἢ δὲν θὰ γείνωσι πλέον. Ἀντίθετα τούτων τὰ οὔπω καὶ μήπω, περὶ ὧν ἴδε Α'. ε'. 12. — τάλαντα] 1 τάλαντον=6,000 δραχμαῖς ἀττικαῖς.—ἀπέδωκε]ἀποδίδωμι, ἀπαιτῶ, ἀπολαμβάνω καὶ τὰ τοιαῦτα εἶναι ἐν χρήσει ἐπὶ πραγμάτων, τὰ ὁποῖα ὀφείλομεν νὰ δώσωμεν ἢ δικαιούμεθα νὰ ζητήσωμεν ἢ νὰ λάβωμεν.

§. 19. Ἔδοξε τῷ Κύρῳ . . ἀπεγνωκέναι τοῦ μάχεσθαι] ἐνόμισεν ὁ Κῦρος ὅτι ἀπεφάσισεν (ὁ βασιλεὺς) νὰ μὴ πολεμήσῃ. Ἡ ἀπὸ ἐν συνθέσει σημαίνει πολλάκις στέρησιν. Ἴδε Ἀσ. 590. 26. Οὕτω ἀπέγνω = ἔγνω μή, ἀπέδοξε=ἔδοξε μή, ὡς ἐν Β'. γ'. 9. Σημείωσαι δ' ὅτι τὸ ἀπεγνωκέναι συνήθως αἰτιατικῇ συντάσσεται. — ἡμελημένως μᾶλλον] = μᾶλλον ἡμελημένως ἢ ἐν τάξει, ἢ μᾶλλον τοῦ δέοντος ἡμελημένως.

1 η'. Καὶ ἤδη τε ἦν ἀμφὶ ἀγορὰν πλήθουσαν καὶ πλησίον ἦν ὁ σταθμός, ἔνθα ἔμελλε καταλύειν, ἡνίκα Πατηγύας ἀνὴρ Πέρσης τῶν ἀμφὶ Κῦρον πιστῶν προφαίνεται ἐλαύνων ἀνὰ κράτος ἱδροῦντι τῷ ἵππῳ, καὶ εὐθὺς πᾶσιν, οἷς ἐνετύγχανεν, ἐβόα καὶ βαρβαρικῶς καὶ ἑλληνικῶς, ὅτι βασιλεὺς σὺν στρατεύματι πολλῷ προσέρχεται ὡς εἰς μάχην παρεσκευασμένος. 2 ἔνθα δὴ πολὺς τάραχος ἐγένετο· αὐτίκα γὰρ ἐδόκουν οἱ Ἕλληνες, καὶ πάντες δέ, ἀτάκτοις σφίσιν ἐπιπε- 3 σεῖσθαι· Κῦρός τε, καταπηδήσας ἀπὸ τοῦ ἅρματος, τὸν θώρακα ἐνέδυ καί, ἀναβὰς ἐπὶ τὸν ἵππον, τὰ παλτὰ εἰς τὰς χεῖρας ἔλαβε, τοῖς τε ἄλλοις πᾶσι παρήγγελλεν ἐξοπλίζεσθαι καὶ καθίστασθαι εἰς τὴν 4 ἑαυτοῦ τάξιν ἕκαστον. ἔνθα δὴ σὺν πολλῇ σπουδῇ καθίσταντο, Κλέαρχος μὲν τὰ δεξιὰ τοῦ κέρατος ἔχων

Κεφ. η'. Ἀμφὶ ἀγορὰν πλήθουσαν] οἱ ἀρχαῖοι διῄρουν τὴν ἡμέραν ἀγορὰν εἰς 5 μέρη· πρωῒ ἢ πρώ, περὶ ἢ ἀμφὶ πλήθουσαν ἀγοράν, μεσημβρίαν, δείλην καὶ δύσιν. Καὶ ἡ μὲν πλήθουσα ἀγορὰ ἀντιστοιχεῖ πρὸς τὴν καθ' ἡμᾶς 10 ἕως 12 πρὸ μεσημβρίας, ὅτε οἱ πολῖται συνέρρεον εἰς τὴν ἀγοράν, ἵνα ἀγοράσωσι τὰ τρόφιμα ἢ νὰ πράξωσί τι τῶν κοινῶν κτλ. Ἡ μεσημβρία ἐκαλεῖτο καὶ διάλυσις ἀγορᾶς· δείλη δ' ἐκαλεῖτο ἅπας καθόλου ὁ ἀπὸ μεσημβρίας μέχρι δύσεως χρόνος· διῃρεῖτο δὲ εἰς δύο, εἰς δείλην πρωΐαν ἢ ἁπλῶς πρωΐαν = ἀπομεσήμερον, ὡς λέγει ἡ κοινή, καὶ εἰς δείλην ὀψίαν =δειλινόν, ὡς λέγει ἡ κοινή, — καταλύειν] καταλύω, οὐδετέρως, = σταθμεύω ἤ, ὡς λέγει ἡ κοινή, κονεύω· ἐκ τούτου δὲ καὶ τὰ καταλύματα = σταθμοὶ ἢ κονάκια. —τῶν ἀμφὶ Κῦρον πιστῶν] ἐκ τῶν πιστῶν ὑπασπῶν τοῦ Κύρου. Ἡ ἀμφὶ καὶ περὶ μετὰ αἰτιατικῆς κυρίου ὀνόματος σημαίνει αὐτὸ τὸ ὀνομαζόμενον πρόσωπον μετὰ τῶν ὑπηκόων, φίλων, ὑπασπῶν· ἐνίοτε ὅμως αὐτὸ τὸ ὀνομαζόμενον ἢ καὶ μόνους τοὺς φίλους ἢ ὑπασπούς του. Ἀσωπ. 150. 55.

§. 2. *Ἐδόκουν . . ἀτάκτοις σφίσιν ἐπιπεσεῖσθαι]* ἐνόμιζον ὅτι θὰ ἐπιπέσῃ αὐτοῖς, ἀτάκτοις οὖσιν. Περὶ τοῦ σφίσιν ἴδε Α'. ά. 17. οἱ δοθῆναι.

§. 3. *Τὰ παλτὰ]* ἴδε Α'. έ. 15. — *καθίστασθαι εἰς τὴν ἑαυτοῦ τάξιν ἕκαστον]* νὰ ὑπάγῃ ἕκαστος εἰς τὴν θέσιν του· πρὸς στρατηγοὺς δὲ καὶ λοχαγοὺς τοῦτο λεγόμενον σημαίνει οὐ μόνον αὐτοὶ νὰ ἔλθωσιν εἰς τὰς θέσεις των, ἀλλὰ καὶ τοὺς ἑαυτῶν στρατιώτας νὰ τάξωσι.

§. 4. *Πρόξενος δ' ἐχόμενος]* πρόξενος δὲ μετὰ τοῦτον ἐτάχθη. *Ἔχομαί τινος* =ἔρχομαι μετά τινα (οὕτως, ὥστε ν' ἀποτελῶ-

πρὸς τῷ Εὐφράτῃ ποταμῷ, Πρόξενος δὲ ἐχόμενος, οἱ δ' ἄλλοι μετὰ τοῦτον, Μένων δὲ καὶ τὸ στράτευμα τὸ εὐώνυμον κέρας ἔσχε τοῦ Ἑλληνικοῦ. τοῦ δὲ βαρ- 5 βαρικοῦ ἱππεῖς μὲν Παφλαγόνες εἰς χιλίους παρὰ Κλέαρχον ἔστησαν ἐν τῷ δεξιῷ καὶ τὸ Ἑλληνικὸν πελταστικόν, ἐν δὲ τῷ εὐωνύμῳ Ἀριαῖός τε ὁ Κύρου ὕπαρχος καὶ τὸ ἄλλο βαρβαρικόν. Κῦρος δὲ καὶ οἱ 6 ἱππεῖς τούτου ὅσον ἑξακόσιοι ὡπλισμένοι θώραξι μὲν αὐτοὶ καὶ παραμηριδίοις καὶ κράνεσι πάντες πλὴν Κύρου—Κῦρος δὲ ψιλὴν ἔχων τὴν κεφαλὴν εἰς τὴν μάχην καθίστατο [λέγεται δὲ καὶ τοὺς ἄλλους Πέρσας 7 ψιλαῖς ταῖς κεφαλαῖς ἐν τῷ πολέμῳ διακινδυνεύειν]— οἱ δ' ἵπποι πάντες οἱ μετὰ Κύρου εἶχον καὶ προμετωπίδια καὶ προστερνίδια· εἶχον δὲ καὶ μαχαίρας οἱ ἱππεῖς Ἑλληνικάς. καὶ ἤδη τε ἦν μέσον ἡμέρας 8

μεν συνέχειαν). — *Μένων δὲ καὶ τὸ στράτευμα]* Μένων καὶ τὸ ἑαυτοῦ στράτευμα, ἴδε Ἀσ. 141. 25, δηλαδὴ καὶ τὸ στράτευμα, οὗ προῖστατο αὐτός.

§. 5. *Τοῦ δὲ βαρβαρικοῦ κτλ.]* =τοῦ δὲ βαρβαρικοῦ ἐν τῷ δεξιῷ μὲν ἔστησαν ἱππεῖς Παφλαγόνες κτλ. — ὁ Κύρου ὕπαρχος] ἴδε Α'. β'. 20. τῶν ὑπάρχων δυνάστην.

§. 6. *Ὅσον ἑξακόσιοι]* ἑξακόσιοι περίπου· ταύτην τὴν σημασίαν ἔχει τὸ ὅσον μετὰ τῶν ἀριθμητικῶν. Ἴδε καὶ Γ'. δ'. 3. καὶ 37, Δ'. έ. 10. καὶ 7. 16 ς'. δ'. 5. κτλ. — *θώραξι μὲν αὐτοὶ]* = αὐτοὶ μὲν θώραξιν· ἀπόδοσις δὲ τούτου εἶναι τὸ κατωτέρω, οἱ δ' ἵπποι πάντες. — *παραμηριδίοις]* παραμηρίδια ἐλέγοντο καλύμματα οἷον θώρακες τῶν μηρῶν. Ἔφερον δὲ παραμηρίδια καὶ οἱ ἵπποι· ἴδε Κ. Π. VII. 2. —Κῦρος δὲ ψιλὴν ἔχων τὴν κεφαλήν] ψιλὴ μὲν κεφαλὴ ἡ φαλακρὰ ἢ καὶ γυμνή· ἴδε Α'. έ. 5. Ἐπὶ πολεμιστῶν δὲ ψιλὴ λέγεται ἡ κεφαλή, ὅταν δὲν φέρῃ κράνος· ὁ δὲ Κῦρος ἔφερε, φαίνεται, μόνον τὴν τιάραν. — λέγεται δὲ καὶ τοὺς ἄλλους Πέρσας κτλ.] ὁ Ἡρόδ. ἐν V. 49 λέγει ὅτι οἱ Πέρσαι ἔρχονται εἰς τὰς μάχας κυρβασίας ἔχοντες ἐπὶ τῇ κεφαλῇ. Ἴδε καὶ Πλούταρχον ἐν βίῳ Ἀρταξ. κεφ. 11. — λέγεται] ὅπου ὁ Ξενοφῶν ἀναφέρει πράγματα, τὰ ὁποῖα, πρὶν τοὐλάχιστον τὰ ἴδῃ αὐτός, τὰ ἤκουσε παρ' ἄλλων λεγόμενα, μεταχειρίζεται τὰ λέγεται, ἐλέγετο κ. τ. τ. ἴδε καὶ Α'. η'. 9. καὶ 18, Ε'. δ'. 34. κτλ.

§. 7. *Προμετωπίδια καὶ προστερνίδια]* καλύμματα ἢ θώρακας τοῦ μετώπου καὶ τῶν στέρνων. — *μαχαίρας ἑλληνικὰς]* αἱ ἑλληνικαὶ μάχαιραι ἦσαν, λέγεται, κυρταὶ ὡς τὰ τουρκιστὶ γιαταγάνια λεγόμενα· ἀλλὰ περὶ τούτων ἴδε Δ'. ζ'. 16.

§. 8. *Καὶ ἤδη τε ἦν μέσον ἡμέρας καὶ οὔπω καταφανεῖς ἦ-*

καὶ οὔπω καταφανεῖς ἦσαν οἱ πολέμιοι· ἡνίκα δὲ δείλη ἐγίγνετο, ἐφάνη κονιορτός, ὥσπερ νεφέλη λευκή, χρόνῳ δὲ συχνῷ ὕστερον ὥσπερ μελανία τις ἐν τῷ πεδίῳ ἐπὶ πολύ. ὅτε δὲ ἐγγύτερον ἐγίγνοντο, τάχα δὴ καὶ χαλκός τις ἠστραπτε καὶ αἱ λόγχαι καὶ αἱ τάξεις
9 καταφανεῖς ἐγίγνοντο. καὶ ἦσαν ἱππεῖς μὲν λευκοθώρακες ἐπὶ τοῦ εὐωνύμου τῶν πολεμίων· Τισσαφέρνης ἐλέγετο τούτων ἄρχειν· ἐχόμενοι δὲ τούτων γεροφόροι, ἐχόμενοι δὲ ὁπλῖται σὺν ποδήρεσι ξυλίναις ἀσπίσιν· Αἰγύπτιοι δ' οὗτοι ἐλέγοντο εἶναι· ἄλλοι δ' ἱππεῖς, ἄλλοι τοξόται· πάντες δ' οὗτοι κατὰ ἔθνη ἐν πλαισίῳ πλήρει ἀνθρώπων ἕκαστον τὸ ἔθνος ἐπο-

σαν] ἦτο δὲ ἤδη μεσημβρία καὶ ἀκόμη δὲν εἶχον φανῆ. Δύο πράξεις ταὐτοχρόνως γενόμεναι ἐκφέρονται διὰ τοῦ οὐ φθάνω . . καὶ = μόλις . . καί, ἤδη τε . . καί, ἤδη . . καί, ἅμα καί, ὁμοῦ καί. Ἀσ. 663. 14. ἴδε καὶ Β'. ά. 7. Περὶ τοῦ οὔπω ἴδε Α'. έ. 12. — ἡνίκα δὲ] ἅμα δέ. Τὰ πηνίκα, ἡνίκα, τηνικαῦτα, τηνικάδε τίθενται σπανιώτερον μὲν ἐπὶ γενικωτέρου χρόνου, συνηθέστερον δὲ ἐπὶ τῶν διαιρέσεων τοῦ ἡμερονυκτίου, ὁποῖαι ὁ ὄρθρος, ἡ ἠώς, ἡ μεσημβρία, ἡ δείλη. Ἀσ. 542. 22. καὶ 23. — δείλη] ἴδε ή. 1. ἀμφὶ ἀγορὰν πλήθουσαν· ἐννοεῖ δ' ἐνταῦθα προφανῶς τὴν δείλην πρωΐαν = ἀπομεσήμερον· διότι ἄλλως δὲν θὰ ἔμενε χρόνος πρὸς ἔναρξιν καὶ ἀποπεράτωσιν τῆς μάχης. — Χρόνῳ δὲ συχνῷ ὕστερον] κατὰ συνέχειαν δ' ἔπειτα (ἐφαίνετο) ἐπὶ πολὺν χρόνον εἶδος μαυρήλας. Τοιοῦτο δὲ καὶ τὸ τῆς δημώδους ποιήσεως, Πολλὴ μαυρήλα πλάκωσε, μαύρη σὰν καλοιακοῦδα. — μελανία τις] εἶδός τι μαυρήλας. Ἴδε Ἀσ. 124. 95. — τάχα δὴ] τότε πλέον. Ταύτην τὴν σημασίαν ἔχει καὶ τὸ τάχα καὶ τὸ ἐνταῦθα, ὅταν ἀποδίδωνται εἰς τὸ ὅτε· κυρίως δὲ τὸ μὲν τάχα = ταχέως, εὐθύς, τὸ δὲ δὴ = ἤδη. — χαλκός τις] ἠστραπτέ τι σὰν χαλκός· ἴδε ἀνωτέρω μελανία τις.

§. 9. Ἐλέγετο] ἴδε §. 6.—ἐχόμενοι] ἴδε §. 4. — γεροφόροι] οἱ γέρρα φέροντες· γέρρα δὲ ἀσπίδες Περσικαὶ τετραπλεύρου ἐπιμήκους σχῆμα ἔχουσαι. — ποδήρεσι]=μέχρι ποδῶν καλυκνουμέναις. — Αἰγύπτιοι] ἀπὸ τῆς ἐποχῆς Κύρου τοῦ πρεσβυτέρου παρέμενον Αἰγύπτιοι ἐν Ἀσίᾳ, οἳ ἔτι καὶ νῦν, λέγει ὁ Ξενοφῶν, βασιλεῖ πιστοὶ διαμένουσι, Κῦρός τε (ὁ πρεσβύτερος) πόλεις αὐτοῖς ἔδωκε, τὰς μὲν ἄνω, αἳ ἔτι καὶ νῦν πόλεις Αἰγυπτίων καλοῦνται, Λάρισαν δὲ καὶ Κυλλήνην παρὰ Κύμην (Αἰολικὴν πόλιν, τὰ νῦν Τσανταρλὶ) πλησίον θαλάσσης, ἃς ἔτι καὶ νῦν οἱ ἀπ' ἐκείνων ἔχουσι. Ἴδε Ξενοφ. Κ. Π. VII. 1. 45. Τούτους λοιπὸν ἐννοεῖ ἐνταῦθα, ἐπειδὴ ἡ Αἴγυπτος ἤδη εἶχεν ἀποστατήσει ἀπὸ τῶν

ρεύετο. πρὸ δὲ αὐτῶν ἅρματα διαλείποντα συχνὸν 10
ἀπ' ἀλλήλων τὰ δὴ δρεπανηφόρα καλούμενα· εἶχον δὲ τὰ δρέπανα ἐκ τῶν ἀξόνων εἰς πλάγιον ἀποτεταμένα καὶ ὑπὸ τοῖς δίφροις εἰς γῆν βλέποντα, ὡς διακόπτειν, ὅτῳ ἐντυγχάνοιεν. ἡ δὲ γνώμη ἦν ὡς εἰς τὰς τάξεις τῶν Ἑλλήνων ἐλῶντα καὶ διακόψοντα. ὁ μέντοι Κῦρος εἶπεν, ὅτε καλέσας παρεκελεύετο τοῖς 11
Ἕλλησι τὴν κραυγὴν τῶν βαρβάρων ἀνέχεσθαι, ἐψεύσθη τοῦτο· οὐ γὰρ κραυγῇ, ἀλλὰ σιγῇ ὡς ἀνυστὸν καὶ ἡσυχῇ ἐν ἴσῳ καὶ βραδέως προσῇσαν. καὶ ἐν τούτῳ 12
Κῦρος, παρελαύνων αὐτὸς σὺν Πίγρητι τῷ ἑρμηνεῖ καὶ ἄλλοις τρισὶν ἢ τέτταρσι, τῷ Κλεάρχῳ ἐβόα ἄγειν τὸ στράτευμα κατὰ μέσον τὸ τῶν πολεμίων, ὅτι ἐκεῖ βασιλεὺς εἴη, Κἂν τοῦτ', ἔφη, νικῶμεν, πάνθ' ἡμῖν

Περσῶν, Ἴδε Β'. ά. 14 καὶ Β'. έ. 13. — ἐν πλαισίῳ] πλαίσιον εἰς τὴν στρατιωτικὴν γλῶσσαν λέγεται διάταξις στρατιωτῶν τοιαύτη, ὥστε ν' ἀποτελῆται τετράπλευρον ἰσόπλευρον ἢ ἐπίμηκες, ἐντὸς τοῦ ὁποίου ἐφυλάσσοντο οἱ γυμνῆτες, τὰ σκευοφόρα καὶ ὁ ὄχλος τουτέστιν οἱ μὴ λαμβάνοντες ἐνεργὸν μέρος εἰς τὸν πόλεμον, οὓς ἐνταῦθα ἀνθρώπους καλεῖ. Σήμερον τὸ πλαίσιον λέγεται τετράγωνον. — πάντες δ' οὗτοι . . ἕκαστον τὸ ἔθνος] = τούτων δὲ πάντων ἕκαστον ἔθνος. Σχῆμα καθ' ὅλον καὶ μέρος· ἴδε Ἀσ. 862. 116. καὶ 117. Περὶ δὲ τοῦ ὄρθρου ἐν τῷ ἕκαστον τὸ ἔθνος ἴδε Ἀσ. 181. 160.

§. 10. Διαλείποντα] ἴδε ξ'. 15. — συχνὸν] ἴδε §. 8. χρόνῳ δὲ συχνῷ. — Τὰ δὴ δρεπανηφόρα καλούμενα]=ἐννοεῖται τὰ καλούμενα δρεπανηφόρα. Τὸ δὴ=δῆλόν ἐστιν ἢ ἐννοεῖται, ἐπειδὴ τούτων ἔκαμε μνείαν ἐν τοῖς ἔμπροσθεν, ζ'. 11.—ὡς διακόπτειν] = οὕτως, ὥστε νὰ διακόπτωσιν.

Ἀσ. 440. 64.—Ἡ δὲ γνώμη ἦν] ἐνν. τοῖς στρατηγοῖς τοῦ βασιλέως = εἶχον δὲ τὴν γνώμην, ἐπίστευον. Ἴδε καὶ Α'. γ'. 6. — ὡς ἐλῶντα καὶ διακόψοντα] ὅτι θὰ ἐλάσωσιν εἰς τὰς τάξεις τῶν Ἑλλήνων καὶ θὰ διακόψωσιν ἢ θὰ διασπάσωσιν αὐτάς. Εἶναι δὲ τὸ ἐλῶντα καὶ διακόψοντα αἰτιατικὴ ἀπόλυτος ἀντὶ γενικῆς ἀπολύτου. Ἴδε Α'. γ'. 6 ὡς ἐμοῦ οὖν λόντος . . οὕτω τὴν γνώμην ἔχετε.

§. 11. Ὁ μέντοι Κῦρος εἶπε . . ἐψεύσθη τοῦτο] ὡς πρὸς τοῦτο ὅμως, ὃ εἶπε Κῦρος, . . ἠπατήθη. Εἶπε δὲ τοῦτο ἐν Α'. ζ'. 4.—ὡς ἀνυστὸν] καθὼς ὡς δυνατὸν = ὅσον ἐστὶ δυνατόν, οὕτω καὶ ὡς ἀνυστὸν = ὅσον ἐστὶν ἀνυστόν=ὅσον εἶναι κατορθωτόν. —ἐν ἴσῳ] ἐνν. βήματι· τὸ δὲ ἐν ἴσῳ βήματι =ἐν συζυγίᾳ, ὡς λέγει σήμερον ἡ στρατιωτικὴ διάλεκτος ἐπὶ στάσεως· οὕτω δηλαδή, ὥστε πάντες ν' ἀποτελῶσιν εὐθεῖαν γραμμὴν κατὰ μέτωπον.

§. 12. Παρελαύνων] ἐλαύνων

13 πεποίηται. ὁρῶν δὲ ὁ Κλέαρχος τὸ μέσον στῖφος καὶ ἀκούων Κύρου ἔξω ὄντα τοῦ [Ἑλληνικοῦ] εὐωνύμου βασιλέα—τοσοῦτον γὰρ πλήθει περιῆν βασιλεύς, ὥστε, μέσον τὸ ἑαυτοῦ ἔχων, τοῦ Κύρου εὐωνύμου ἔξω ἦν—ἀλλ' ὅμως ὁ Κλέαρχος οὐκ ἤθελεν ἀποσπάσαι ἀπὸ τοῦ ποταμοῦ τὸ δεξιὸν κέρας, φοβούμενος μὴ κυκλωθείη ἑκατέρωθεν, τῷ δὲ Κύρῳ ἀπεκρίνατο, ὅτι
14 αὐτῷ μέλοι, ὅπως καλῶς ἔχοι. καὶ ἐν τούτῳ τῷ καιρῷ τὸ μὲν βαρβαρικὸν στράτευμα ὁμαλῶς προῄει, τὸ δὲ Ἑλληνικόν, ἔτι ἐν τῷ αὐτῷ μένον, συνετάττετο ἐκ τῶν ἔτι προσιόντων. καὶ ὁ Κῦρος παρελαύνων οὐ πάνυ πρὸς αὐτῷ τῷ στρατεύματι κατεθεᾶτο, ἑκατέ-

παρὰ τὰς τάξεις· ἐλαύνω δὲ κυρίως = ἔφιππος βαίνω. — τοῦτο] δηλαδὴ τὸ μέσον ἢ τὸ κέντρον. — πανθ' ἡμῖν πεποίηται] ἡ δουλειά μας ἐτελείωσε, λέγει ἡ κοινοτέρα. Σημαίνει δηλ. ὁ παρακείμενος, καθὼς καὶ παρ' ἡμῖν ὁ ἀόριστος, ἐνέργειαν ἀνυπερθέτως ἐκτελεσθησομένην. Ἀσ. 498. 27.

§. 13. Ὁρῶν τὸ μέσον στῖφος] ἐννοεῖται ἐκ τῶν ἐπομένων μέσον ὄν. στῖφος δὲ = πλῆθος ἢ μᾶλλον τὸ τουρκιστὶ μπουλούκι. — ἀκούων Κύρου ἔξω ὄντα . . βασιλέα] καὶ μαθὼν ἐξ ὧν ἔλεγε Κῦρος (Ἀσ. 240. 14.), ὅτι ὁ βασιλεὺς ὑπερεκεράτισε τοὺς Ἕλληνας. — περιῆν βασιλεὺς] τὸ περιεῖναι καὶ περιγίγνεσθαι προσωπικῶς μέν, ὡς ἐδῶ, = ὑπερβάλλειν τινά, ἀπροσώπως δὲ= ὑπολείπεται ἢ μένει ὡς ὑπόλοιπον ἢ ὡς κέρδος. — ἀλλ' ὅμως ὁ Κλέαρχος οὐκ ἤθελεν] ἀπόδοσις τῶν μετοχῶν ὁρῶν καὶ ἀκούων, αἵτινες τούτου ἕνεκα εἶναι ἐναντιωματικαί, = ἂν καὶ ἔβλεπε μὲν αὐτός, ἔμαθε δὲ καὶ ἐξ ὧν εἶπε Κῦρος. Ἀσ. 470. 60. — ὅτι αὐτῷ μέλοι] ἴδε Γ. Σ. Γ'.— ὅπως καλῶς ἔχοι] ἐνν. τὸ ἔργον= πῶς ν' ἀποβῇ τὸ ἔργον εἰς καλόν, πῶς νὰ λάβῃ καλὴν ἔκβασιν. Τὸ ἔχω μετὰ ἐπιρρήματος μικρὸν διαφέρει πολλάκις τοῦ εἶμὶ μετὰ κατηγορουμένου.

§. 14. Ὁμαλῶς προῄει] ἐν συζυγίᾳ προϋχώρει· τοῦτο ἀνωτέρω, §. 11, ἐν ἴσῳ εἶπεν. — συνετάττετο ἐκ τῶν ἔτι προσιόντων] παρεσκευάζετο εἰς μάχην ἐκ τῶν ἀδιαλείπτως προσερχομένων, δηλαδὴ οἱ ἀεὶ προσερχόμενοι ὡπλισμένοι καλῶς προσήρχοντο εἰς τὴν ἑαυτοῦ τάξιν ἕκαστος. Ἴδε καὶ ζ'. 10. ἐξοπλισία. ἴδε καὶ ἀνωτέρω §. 3. ἐξοπλίζεσθαι καὶ καθίστασθαι εἰς τὴν ἑαυτοῦ τάξιν ἕκαστον.— οὐ πάνυ πρὸς αὐτῷ τῷ στρατεύματι] ὄχι πολὺ πλησίον αὐτοῦ τοῦ στρατεύματος, ὀλίγον μακρὰν αὐτοῦ τοῦ στρατεύματος. τὸ δὲ αὐτῷ δεικνύει ὅτι ἀπεμακρύνθη του στρατεύματος ἐκείνου, οὗ προΐστατο· διὸ καὶ κατωτέρω, §. 17, ἐπιφέρει εἰς τὴν ἑαυτοῦ χώραν ἀπήλαυνεν. Ἴδε Ἀσ. 103. 23.

ρωσε ἀποβλέπων, εἴς τε τοὺς πολεμίους καὶ τοὺς φίλους. ἰδὼν δὲ αὐτὸν ἀπὸ τοῦ Ἑλληνικοῦ Ξενοφῶν 15
Ἀθηναῖος, ὑπελάσας ὡς συναντῆσαι, ἤρετο, εἴ τι παραγγέλλοι· ὁ δ' ἐπιστήσας εἶπε καὶ λέγειν ἐκέλευσε πᾶσιν, ὅτι καὶ τὰ ἱερὰ καλὰ καὶ τὰ σφάγια καλά. ταῦτα 16
δὲ λέγων, θορύβου ἤκουσε διὰ τῶν τάξεων ἰόντος καὶ ἤρετο, τίς ὁ θόρυβος εἴη. ὁ δὲ Κλέαρχος εἶπεν, ὅτι τὸ σύνθημα παρέρχεται δεύτερον ἤδη. καὶ ὃς ἐθαύμασε, τίς παραγγέλλει, καὶ ἤρετο, ὅ τι εἴη τὸ σύνθημα. ὁ δ' ἀπεκρίνατο, Ζεὺς σωτὴρ καὶ Νίκη. ὁ δὲ 17
Κῦρος ἀκούσας, Ἀλλὰ δέχομαί τε, ἔφη, καὶ τοῦτο ἔστω. ταῦτα δ' εἰπὼν εἰς τὴν ἑαυτοῦ χώραν ἀπήλαυνε. καὶ οὐκέτι τρία ἢ τέτταρα στάδια διειχέτην τὼ φάλαγγε ἀπ' ἀλλήλων, ἡνίκα ἐπαιάνιζόν τε οἱ Ἕλληνες

§. 15. Τπελάσας ὡς συναντῆσαι] ὀλίγον κατ' ὀλίγον ἢ μετὰ συστολῆς τινος ἔφιππος δραμὼν ὥστε νὰ τὸν συναντήσῃ. Ἐπειδὴ δὲ ὁ Ξενοφῶν οὔτε στρατηγὸς οὔτε κἂν στρατιώτης ἦτο, (ἴδε Γ'. ά. 4) δῆλον ὅτι αὐθόρμητος ἢ παρ' οὐδενὸς κελευσθεὶς ἔδραμε πρὸς τὸν Κῦρον· διὸ καὶ μετὰ συστολῆς ἔπραττε τοῦτο, ὡς δεικνύει ἡ ὑπὸ ἐν τῷ ὑπελάσας, περὶ ἧς ἴδε Ἀσ. 639. 200. περὶ δὲ τοῦ ὡς μετ' ἀπαρεμφάτου ἴδε §. 10. ὡς διακόπτειν. — ἐπιστήσας] ἐνν. τὸν ἵππον — καὶ τὰ ἱερὰ καλὰ καὶ τὰ σφάγια] ἱερὰ μὲν οἰωνοὶ ἐκ τῶν σπλάγχων, σφάγια δὲ οἰωνοὶ ἐκ τῶν κινήσεων τῶν σφαγιαζομένων ζώων λαμβανόμενοι. Ἆρα τὸ ὅλον = καὶ τὰ σπλάγχνα καὶ αἱ κινήσεις τῶν θυμάτων προμηνύουσιν αἴσιον τέλος.

§. 16. Τὸ σύνθημα παρέρχεται δεύτερον ἤδη] ἵνα ἀναγναρίζωνται οἱ κατά [τινος πολεμοῦντες ἀπὸ τῶν πολεμίων, ὁ στρατηγὸς ἔδιδε λέξεις τινάς, Ζεὺς πατὴρ καὶ νίκη, ὡς ἐδῶ, Ζεὺς σωτὴρ Ἡρακλῆς ἡγεμών, ὡς ἐν ΣΤ'. έ. 16. Τοῦτο ἐλέγετο, Παρεγγυᾶν σύνθημα· τοῦτο δὲ ἐπανελάμβανεν πάντες [οἱ στρατιῶται ἀπὸ τοῦ πρώτου μέχρι τοῦ τελευταίου, καὶ τοῦτο ἐλέγετο, τὸ σύνθημα παρήει· ἔπειτα δέ, ἵνα βεβαιωθῇ ὁ στρατηγὸς ὅτι δὲν ἤκουσέ τις ἄλλο ἀντὶ ἄλλου, ἐπανελάμβανον καὶ δεύτερον αὐτὸ ἀπὸ τοῦ τελευταίου μέχρι τοῦ πρώτου, καὶ τοῦτο ἐλέγετο τὸ σύνθημα παρέρχεται δεύτερον ἤδη. Ἐν δὲ Κ. Π. III. 3. 28. λέγει, Παρεγγύα ὁ Κῦρος σύνθημα, Ζεὺς σύμμαχος καὶ ἡγεμών· ἐπεὶ δὲ πάλιν ἦκε τὸ σύνθημα, ἐξῆρχε. —καὶ ὃς]=καὶ οὗτος. Ἀσ. 140. 19.—ὅ τι εἴη] = τί ἦτο. ἴδε Α'. γ'. Π. ὅτι χρὴ ποιεῖν.

§. 17. Ἀλλὰ δέχομαι κτλ.] τῇ ἀληθείᾳ ἤ, ὡς κοινότερον λέγομεν, μὰ τὸν Θεὸν καὶ δέχομαι τὸ σύνθημα—καὶ τοῦτο ἔστω] καὶ ἔστω τοῦτο, δηλαδὴ σωτὴρ καὶ νίκη·

18 καὶ προήρχοντο ἀντίοι ἰέναι τοῖς πολεμίοις. ὡς δέ, πορευομένων, ἐξεκύμαινέ τι τῆς φάλαγγος, τὸ ὑπολειπόμενον ἤρξατο δρόμῳ θεῖν· καὶ ἅμα ἐφθέγξαντο πάντες, οἷόνπερ τῷ Ἐνναλίῳ ἐλελίζουσι, καὶ πάντες δὲ ἔθεον. [λέγουσι δέ τινες ὡς καὶ ταῖς ἀσπίσι πρὸς
19 τὰ δόρατα ἐδούπησαν φόβον ποιοῦντες τοῖς ἵπποις.] πρὶν δὲ τόξευμα ἐξικνεῖσθαι ἐκκλίνουσιν οἱ βάρβαροι καὶ φεύγουσι. καὶ ἐνταῦθα δὴ ἐδίωκον μὲν κατὰ κρά-

διότι ταῦτα δεικνύει τὸ τοῦτο. — ἀπήλασε]ἐπέστρεψε· ἰδιάζει δὲ ἐπὶ ἐφίππων· — τὸ φάλαγγε] ἀνίκὸς ἀριθμός=αἱ δύο φάλαγγες, ἡ τοῦ Κύρου δηλαδὴ καὶ ἡ τοῦ βασιλέως. — ἡνίκα] ἴδε §. 8. —ἐπαιάνιζον] Παιανίζω = ψάλλω παιᾶνα· παιὰν δὲ ὕμνος εἰς τὸν Ἀπόλλωνα κυρίως πρὸς ἀποτροπὴν μολυσματικῆς ἢ ἐπιδημικῆς νόσου, ἀλλὰ καὶ εἰς τὸν Ἄρην, θεὸν τοῦ πολέμου, καὶ πρὸς ἄλλους θεούς. ἐνταῦθα ἄρα =ἔψαλλον δέησιν πρὸς τὸν Ἄρην. — καὶ ἤρχοντο ἀντίοι ἰέναι τοῖς πολεμίοις] καὶ ἤρχισαν νὰ χωρῶσι κατὰ τῶν πολεμίων. Περὶ δὲ τῆς διαφορᾶς τοῦ ἄρχομαι μετ' ἀπαρεμφάτου καὶ μετοχῆς ἴδε Ἀσ. Εἰσαγ. εἰς Ἑλλ. Σύνταξιν 609. 70.

§. 18. Ὡς δὲ πορευομένων ἐξεκύμαινέ τι τῆς φάλαγγος] ἅμα δέ, ἐνῶ ἤρχισαν νὰ πορεύωνται, μέρος τι τῆς φάλαγγος ἐξέβρασε ὡς κῦμα θαλάσσης. Ὡραία μεταφορά. — καὶ ἅμα ἐφθέγξαντο πάντες οἷόν περ τῷ Ἐνναλίῳ ἐλελίζουσι] = συνάμα δὲ πάντες ἐφώναζον ὡς οἱ ἀλαλάζοντες. Κυρίως ἐφθέγξατο τοιοῦτό τι, ὁποῖόν ἐστιν ἐκεῖνο, ὅ ἐλελίζω. Ἀσ. 118. 78. Καὶ τὸ μὲν Ἐνυάλιος εἶναι ἐπίθετον τοῦ Ἄρεως μεταπεσὸν εἰς οὐσιαστικοῦ σημασίαν=Ἄρης· τὸ δὲ ἐλελίζω ἐκ τοῦ ἐλελεῦ γίνεται· τὸ δὲ ἐλελεῦ κατὰ Σουΐδαν ἀπόφθεγμα πολεμικόν· οἱ προσιόντες γὰρ εἰς πόλεμον τὸ ἐλελεῦ ἐφώνουν μετά τινος ἐμμελοῦς κινήσεως. Τὸ ἐλελίζω λέγεται καὶ ἀλαλάζω καὶ ἀναλαλάζω καὶ ἐπαλαλάζω. ἴδε Ε'. β'. 14.—καὶ πάντες δὲ] ἴδε Α'. ά. 2. Καὶ.. δέ. — λέγουσι] ἴδε §. 6. λέγεται δὲ καὶ τοὺς ἄλλους Πέρσας. — καὶ ταῖς ἀσπίσι πρὸς τὰ δόρατα ἐδούπησαν] καὶ μὲ τὰς ἀσπίδας, κρούσαντες αὐτὰς ἐπὶ τῶν δοράτων, δοῦπον ἐποίησαν. ἴδε καὶ Δ'. έ. 18. — φόβον ποιοῦντες] σκοπὸν προτιθέμενοι νὰ ἐμποιήσωσι φόβον. Ἴδε Α'. γ'. 16. ἐπιδεικνύς.

§. 19. Πρὶν τόξευμα ἐξικνεῖσθαι] ἐνῷ ἔτι ἦσαν ἔξω βέλους, καθὰ λέγει ἐν Ε'. β'. 26. καὶ ἀλλαχοῦ, πρὶν δηλαδὴ πλησιάσωσι, τοσοῦτον, ὥστε νὰ φθάνῃ βέλος πολεμίων. Περὶ δὲ τοῦ πρὶν μετ' ἀπαρεμφ. ἴδε Α'. δ'. 13. πρὶν δῆλον εἶναι.—ἐκκλίνουσι] ἀλλάζουσι διεύθυνσιν.— ἐνταῦθα δή] τότε πλέον. Τὸ ἐνταῦθα καὶ ἔνθα εἶναι ὁτὲ μὲν τοπικά, ὁτὲ δὲ χρονικά· μετὰ τοῦ δὴ εἶναι χρονικά. Ἀσ. 542. 24. ἴδε καὶ §. 8. τάχα δή. — ἐβόων δὲ ἀλλήλοις] παρεκελεύοντο δ' ἀλλήλους.

τος οἱ Ἕλληνες, ἐβόων δὲ ἀλλήλοις μὴ θεῖν δρόμῳ, ἀλλ' ἐν τάξει ἕπεσθαι. τὰ δ' ἅρματα ἐφέρετο τὰ μὲν 20
δι' αὐτῶν τῶν πολεμίων, τὰ δὲ καὶ διὰ τῶν Ἑλλήνων κενὰ ἡνιόχων. οἱ δ', ἐπεὶ προϊδοιεν, διΐσταντο· ἔστι δ' ὅστις καὶ κατελήφθη, ὥσπερ ἐν ἱπποδρόμῳ, ἐκπλαγείς· καὶ οὐδὲν μέντοι οὐδὲ τοῦτον παθεῖν ἔφασαν, οὐδ' ἄλλος δὲ τῶν Ἑλλήνων ἐν ταύτῃ τῇ μάχῃ ἔπαθεν οὐδεὶς οὐδέν, πλὴν ἐπὶ τῷ εὐωνύμῳ τοξευθῆναί τις ἐλέγετο. Κῦρος δ', ὁρῶν τοὺς Ἕλληνας νικῶντας τὸ 21
καθ' αὑτοὺς καὶ διώκοντας, ἡδόμενος καὶ προσκυνούμενος ἤδη [ὡς βασιλεὺς] ὑπὸ τῶν ἀμφ' αὐτόν, οὐδ' ὡς ἐξήχθη διώκειν, ἀλλὰ συνεσπειραμένην ἔχων τὴν τῶν σὺν ἑαυτῷ ἑξακοσίων ἱππέων τάξιν ἐπεμελεῖτο,

§. 20. Τὰ ἅρματα] ἴδε Α'. η'. 20. — ἐπεὶ προϊδοιεν] ὁσάκις ἔβλεπον αὐτὰ φερόμενα πρὶν φθάσωσι. Ἴδε Α'. β'. 7. ὁπότε βούλοιτο. — ἔστι δ' ὅστις] τινὲς δέ. Ἴδε Γ. Σ. Η'.—κατελήφθη] ὑπὸ ἁρμαμάξης· τὸ δὲ ὅλον, τινὰς δὲ καὶ κατέλαβεν (ἐπρόφθασεν) ἁρμάμαξα συγχισθέντας ὡς (συγχίζονται πολλοὶ) ἐν τοῖς ἱπποδρομίοις· διότι ἐν τοῖς ἱπποδρομίοις πολλοί, προσηλούμενοι εἰς ἄλλους, κινδυνεύουσι νὰ καταπατηθῶσιν ὑπὸ ἄλλων ἀγωνιζομένων ἵππων. — Καὶ οὐδὲν μέντοι.. παθεῖν ἔφασαν] καὶ ὅμως, ἢ οὐδὲν ἧττον ἔλεγον ὅτι οὐδὲν ἔπαθεν· κυρίως τὸ Καὶ μέντοι=οὐμὴν ἀλλὰ ἢ οὐδὲν ἧττον Ἀσ. 707. 64. ἴδε καὶ Δ'. ς'. 15. καὶ 16. — Οὐδὲ ἄλλος δὲ] =προσέτι δὲ οὐδὲ ἄλλος. Τὸ οὐδὲ.. δὲ εἶναι τὸ ἀποφατικὸν τοῦ καὶ.. δέ, περὶ οὗ ἴδε Α'. α'. 2.—πλὴν ἐπὶ τῷ εὐωνύμῳ τοξευθῆναί τις ἐλέγετο] κατὰ βραχυλογίαν ἀντί, πλήν τινος, ὃς ἐλέγετο τοξευθῆναι ἐν τῷ εὐωνύμῳ. Οὕτω καὶ ἐν Γ'. α'. 26. πλὴν Ἀπολλωνίδης τις ἦν βοιωτιάζων τὴν φωνὴν=πλὴν Ἀπολλωνίδου τινός, ὃς (ἦν βοιωτιάζων τὴν φωνὴν) ἐβοιωτίαζε τὴν φωνήν. ἴδε καὶ κατωτέρω § 25. πλὴν πάνυ ὀλίγοι. Εἶναι λοιπὸν τὸ πλὴν ἐν τοῖς τοιούτοις προθέσις σημαίνουσα ἐξαίρεσιν, ἀλλ' ὄχι σύνδεσμος ἀντιθετικός.

§. 21. Τὸ καθ' αὑτοὺς] τὸ ἀντικρὺ αὐτῶν τεταγμένον σῶμα τοῦ ἐχθροῦ. ἴδε καὶ Ε'. β'. 21. τοὺς σταυροὺς.. τοὺς καθ' ἑαυτούς. ἴδε καὶ Ἀσ. 608. 93. —ἡδόμενος καὶ προσκυνούμενος] =χαίρων ἢ ἂν καὶ ἔχαιρε διότι καὶ προσεκυνεῖτο ἤδη. Εἶναι δὲ ἡ μετοχὴ ἡδόμενος ἐναντιωματικὴ ὡς δεικνύει καὶ τὸ ἐπιφερόμενον ὡς=οὕτως.—ὑπὸ τῶν ἀμφ' αὐτόν] ἴδε Α'. η'. 1. τῶν ἀμφὶ Κῦρον πιστῶν.—οὐδ' ὡς ἐξήχθη διώκειν](οὔτε διὰ τοῦτο) πάλιν δὲν παρεφέρθη ὥστε νὰ ἐπιδοθῇ εἰς καταδίωξιν. Οὐδ' ὡς = πάλιν μὲ ἐναντιωματικὴν σημασίαν ἴδε καὶ ἐν Γ'. β'. 23. καὶ ΣΤ'. δ'. 22. τοιοῦτο

ὅ τι ποιήσει βασιλεύς. καὶ γὰρ ᾔδει αὐτόν, ὅτι μέσον
22 ἔχοι τοῦ Περσικοῦ στρατεύματος. καὶ πάντες δ' οἱ
τῶν βαρβάρων ἄρχοντες, μέσον ἔχοντες τὸ αὐτῶν,
ἡγοῦνται, νομίζοντες οὕτω καὶ ἐν ἀσφαλεστάτῳ εἶναι,
ἢν ᾖ ἡ ἰσχὺς αὐτῶν ἑκατέρωθεν, καί, εἴ τι παραγγεῖλαι
χρήζοιεν, ἡμίσει ἂν χρόνῳ αἰσθάνεσθαι τὸ στράτευμα.
23 καὶ βασιλεὺς δὴ τότε, μέσον ἔχων τῆς αὐτοῦ στρα-
τιᾶς, ὅμως ἔξω ἐγένετο τοῦ Κύρου εὐωνύμου κέρα-
τος. ἐπεὶ δὲ οὐδεὶς αὐτῷ ἐμάχετο ἐκ τοῦ ἀντίου οὐδὲ
τοῖς αὐτοῦ τεταγμένοις ἔμπροσθεν, ἐπέκαμπτεν ὡς
24 εἰς κύκλωσιν. ἔνθα δὴ Κῦρος, δείσας μή, ὄπισθεν γε-
νόμενος, κατακόψῃ τὸ Ἑλληνικόν, ἐλαύνει ἀντίος· καὶ
ἐμβαλὼν σὺν τοῖς ἑξακοσίοις νικᾷ τοὺς πρὸ βασιλέως
τεταγμένους καὶ εἰς φυγὴν ἔτρεψε τοὺς ἑξακισχιλίους,
καὶ ἀποκτεῖναι λέγεται αὐτὸς τῇ ἑαυτοῦ χειρὶ Ἀρτα-
25 γέρσην τὸν ἄρχοντα αὐτῶν. ὡς δ' ἡ τροπὴ ἐγένετο,
διασπείρονται καὶ οἱ Κύρου ἑξακόσιοι, εἰς τὸ διώκειν
ὁρμήσαντες, πλὴν πάνυ ὀλίγοι ἀμφ' αὐτὸν κατελεί-
26 φθησαν, σχεδὸν οἱ ὁμοτράπεζοι καλούμενοι. σὺν τού-
τοις δὲ ὢν καθορᾷ βασιλέα καὶ τὸ ἀμφ' ἐκεῖνον στῖ-

καὶ τὸ ἐν Θουκιδ. V. 55 *Εἰς τὸ αὐτὸ ξυνελθόντες οὐδ' ὡς ἠδυνήθησαν ξυμβῆναι.* — *Τὴν τῶν ἱππέων τάξιν*] ἴδε §. 6. — *ἐπεμελεῖτο ὅ τι ποιήσει*] *ἐπιμελῶς ἐσκόπει τί θὰ κάμῃ.* — *Καὶ γὰρ*] ἴδε *Α'. γ'.* 12.

§. 22. *Καὶ πάντες δ' οἱ τῶν βαρβάρων*] περὶ τοῦ *καὶ . . δὲ* ἴδε *Α'. α'.* 2. — *νομίζοντες οὕτω κτλ.*]=νομίζοντες ὅτι οὕτως, ἂν δηλαδὴ ἡ στρατιωτικὴ δύναμις εἶναι ἑκατέρωθεν αὐτῶν, καὶ αὐτοὶ ἤθελον εἶναι ἀσφαλέστατοι καὶ τὸ στράτευμα ἤθελε μανθάνει εἰς τὸ ἥμισυ τοῦ χρόνου ὅ τι ἤθελον λαμβάνει ἀνάγκην νὰ παραγγέλλωσιν.

§. 23. *Καὶ βασιλεὺς δὴ*] διὸ καὶ ὁ βασιλεύς. ἴδε *Α'. ε'.* 7. — *οὐδὲ τοῖς αὐτοῦ τεταγμένους ἔμπροσθεν*] οὐδὲ τοὺς τεταγμένους ἔμπροσθεν αὐτοῦ. ἴδε καὶ §. 24.

§. 24. *Ἔνθα δὴ*] τότε πλέον. *Ἴδε* §. 19. *καὶ ἐνταῦθα δή. Σημείωσαι δ' ὅτι τὸ ἔνθα εἶναι ὁτὲ μὲν ἐπίρρημα=τότε, ὡς ἐδῶ, ὁτὲ δὲ σύνδεσμος=ὅπου, ὡς ἐν Β'. γ'.* 19. *Ἀλλ'* ἴδε καὶ *Α'. γ'.* 17. —*ὄπισθεν γενόμενος*] ἐλθὼν (ὁ βασιλεὺς) ἀπὸ πίσω, ὡς λέγει ἡ κοινή. — *ἀντίος*] ἐνν. αὐτῷ, τῷ βασιλεῖ = ἐναντίον αὐτοῦ. *Ἀσ.* 546. 34. κ. ἑ.

§. 25. *Πλὴν πάνυ ὀλίγοι . . κατελείφθησαν*] = *πλὴν πάνυ ὀλίγων, οἳ κατελείφθησαν.* ἴδε *Α'. η'.* 17. — *ὁμοτράπεζοι*] συντράπεζοι καλοῦνται οὗτοι κατωτέρω, *θ'.* 31.

§. 26. *Οὐκ ἠνέσχετο*] δὲν ἐκρα-

φος· καὶ εὐθὺς οὐκ ἠνέσχετο, ἀλλ' εἰπών, *Τὸν ἄν-*
δρα ὁρῶ, ἵετο ἐπ' αὐτὸν καὶ παίει κατὰ τὸ στέρνον
καὶ τιτρώσκει διὰ τοῦ θώρακος, ὥς φησι Κτησίας ὁ
ἰατρὸς καὶ ἰᾶσθαι αὐτὸς τὸ τραῦμά φησι. παίοντα 27
δ' αὐτὸν ἀκοντίζει τις παλτῷ ὑπὸ τὸν ὀφθαλμὸν βι-
αίως· καὶ ἐνταῦθα μαχόμενοι καὶ βασιλεὺς καὶ Κῦρος
καὶ οἱ ἀμφ' αὐτοὺς ὑπὲρ ἑκατέρου, ὁπόσοι μὲν τῶν
ἀμφὶ βασιλέα ἀπέθνησκον, Κτησίας λέγει· παρ' ἐκείνῳ
γὰρ ἦν· Κῦρος δὲ αὐτός τε ἀπέθανε καὶ ὀκτὼ οἱ ἄ-
ριστοι τῶν περὶ αὐτὸν ἔκειντο ἐπ' αὐτῷ. Ἀρταπάτης 28
δ' ὁ πιστότατος αὐτῷ τῶν σκηπτούχων λέγεται, ἐπειδὴ
πεπτωκότα εἶδε Κῦρον, καταπηδήσας ἀπὸ τοῦ ἵππου,
περιπεσεῖν αὐτῷ. καὶ οἱ μέν φασι βασιλέα κελεῦσαί 29
τινα ἐπισφάξαι αὐτὸν Κύρῳ, οἱ δ' ἑαυτὸν ἐπισφά-
ξασθαι, σπασάμενον τὸν ἀκινάκην· εἶχε γὰρ χρυσοῦν·
καὶ στρεπτὸν δ' ἐφόρει καὶ ψέλια καὶ τἆλλα, ὥσπερ
οἱ ἄριστοι Περσῶν· ἐτετίμητο γὰρ ὑπὸ Κύρου δι'
εὔνοιάν τε καὶ πιστότητα.

τήθη· τὸ *ἀνέχομαι* = κρατῶ ἐμαυτοῦ. ταὐτίθετον τούτου ἐλέχθη ἀνωτέρω, §. 21., *ἐξάγομαι*. ἴδε καὶ *Ε'. ς'.* 34. — *ἵετο*] ἴδε *Α'. ε'.* 8. — *Κτησίας*] ὁ ἐκ Κνίδου τῆς Καρίας· μετῆλθε τὸν ἰατρὸν παρ' Ἀρταξέρξῃ 17 ἔτη· συνέγραψε δὲ οὐ μόνον περὶ ἰατρικῆς, ἀλλὰ καὶ περὶ ἱστορίας καὶ γεωγραφίας πολλὰ βιβλία, ὧν τεμάχια περιεσώθησαν.

§. 27. *Παλτῷ*] ἴδε *ς'.* 15. — *παρ' ἐκείνῳ γὰρ ἦν*] διότι ἐν τῇ ὑπηρεσίᾳ ἐκείνου ἦτο· ἴδε καὶ *Α'. δ'.* 3. *παρὰ Κύρῳ.*

§. 28. *Ὁ πιστότατος τῶν σκηπτούχων*] ἴδε *Α'. η'.* 1. *τῶν ἀμφὶ Κῦρον πιστῶν* καὶ *Α'. ς'.* 11. *σκηπτούχων.* — *περιπεσεῖν αὐτῷ*] ὅτι ἔπεσε περὶ αὐτόν, ὅτι πεσὼν τὸν ἐνηγκαλίσθη.

§. 29. *Ἐπισφάξαι αὐτὸν Κύ-*
ρῳ] νὰ τὸν θυσιάσῃ εἰς τὸν Κῦρον· ἡ διαταγὴ αὕτη θὰ ἐδόθη μετὰ εἴρωνος ἀγανακτήσεως· τοιοῦτό τι καὶ τὸ ἐν *Β. δ'.* 27. *Κύρῳ ἐπεγγελῶν.* *Ἴδε* καὶ *Ἀσ.* 263. 21. *ή.* καὶ 233. 28. — *οἱ δὲ ἑαυτὸν ἐπισφάξαι*] = *οἱ δέ φασιν αὐτὸν τὸν Ἀρταπάτην ἐπισφάξαι ἑαυτὸν τῷ Κύρῳ.* — *Ἀκινάκην*] Περσικὸν ξίφος ὡς λέγει Ἡρόδ. VII. 54. *Ἦτο δέ, φαίνεται καὶ ἐξ ὧν ἐνταῦθα λέγει Ξενοφῶν, βραχύτερος πήχεως καὶ εὐθύς· ἔφερον δ' αὐτὸν ὄχι παρὰ τὸν ἀριστερόν, ἀλλὰ παρὰ τὸν δεξιὸν μηρὸν ἀνηρτημένον.* — *σπασάμενον*] σπῶμαι τὸ ξίφος =ξιφουλκῶ. — *στρεπτὸς*] ὅρμος (κορδόνι) περὶ τὸν τράχηλον· τοιούτους φέρουσιν ἔτι καὶ νῦν πολλοὶ τῶν φερόντων τὴν ἀλβανικὴν ἢ καὶ τὴν ἐθνικὴν στολὴν ὀθω-

1 Θ'. Κῦρος μὲν οὖν οὕτως ἐτελεύτησεν, ἀνὴρ ὢν Περ-
σῶν τῶν μετὰ Κῦρον τὸν ἀρχαῖον γενομένων βασιλι-
κώτατός τε καὶ ἄρχειν ἀξιώτατος, ὡς παρὰ πάντων
ὁμολογεῖται τῶν Κύρου δοκούντων ἐν πείρᾳ γενέ-
2 σθαι. πρῶτον μὲν γάρ, ἔτι παῖς ὤν, ὅτ' ἐπαιδεύετο
καὶ σὺν τῷ ἀδελφῷ καὶ σὺν τοῖς ἄλλοις παισί, πάν-
3 των πάντα κράτιστος ἐνομίζετο· πάντες γὰρ οἱ τῶν
ἀρίστων Περσῶν παῖδες ἐπὶ ταῖς βασιλέως θύραις
παιδεύονται, ἔνθα πολλὴν μὲν σωφροσύνην καταμάθοι
ἄν τις, αἰσχρὸν δ' οὐδὲν οὔτ' ἀκοῦσαι οὔτ' ἰδεῖν ἔστι·
4 θεῶνται δ' οἱ παῖδες καὶ τιμωμένους ὑπὸ βασιλέως
καὶ ἀκούουσι καὶ ἄλλους ἀτιμαζομένους· ὥστε, εὐ-
θὺς παῖδες ὄντες, μανθάνουσιν ἄρχειν τε καὶ ἄρχε-
5 σθαι. ἔνθα Κῦρος αἰδημονέστατος μὲν πρῶτον τῶν
ἡλικιωτῶν ἐδόκει εἶναι, τοῖς τε πρεσβυτέροις καὶ τῶν
ἑαυτοῦ ὑποδεεστέρων μᾶλλον πείθεσθαι, ἔπειτα δὲ
φιλιππότατος καὶ τοῖς ἵπποις ἄριστα χρῆσθαι· ἔκρι-
νον δ' αὐτὸν καὶ τῶν εἰς τὸν πόλεμον ἔργων, τοξι-

μανῶν καὶ περὶ τὰ ὅπλα ἀσχο-
λουμένων.— ψέλια] βραχιόνια ἤ,
ὡς λέγει ἡ κοινοτέρα, βραχιόλια.
— ἐπετίμητο ὑπὸ Κύρου] ἐνν.
τούτοις, δηλαδὴ τῷ ἀκινάκῃ
καὶ τῷ στρεπτῷ καὶ τοῖς ψελίοις
ἦσαν ἄρα ταῦτα τίμια, ὡς λέ-
γει ἐν Α'. β'. 27, οὐχὶ ὡς πολυ-
τελῆ ἢ πολυδάπανα, ἀλλὰ ὡς τι-
μητικά, ὡς λέγομεν τὰ νῦν, ἤτοι
τιμὴν παρέχοντα τοῖς λαμβά-
νουσιν.

Κεφ. Θ'. 1. Βασιλικώτατος]
ἔχων τὰ προσόντα ἀρίστου βα-
σιλέως· οὕτως ἐν Β'. ς'. 8. ἀρ-
χικός = ὁ ἔχων τὰ προσόντα
καλοῦ στρατηγοῦ. Σημείωσαι δ' ὅτι
ὁ ἔπαινος οὗτος θεωρεῖται παρὰ
πολλῶν φιλολόγων ὑπερβολικός.
—ἐν πείρᾳ γενέσθαι] ἐν πείρᾳ
γίγνομαι ἢ ἐν πείρᾳ εἰμί
τινος = γινώσκω αὐτὸν ἐκ πεί-
ρας· τοῦτο λέγεται καὶ ἐμπεί-
ρως ἔχωτινός, ὡς ἐν Β'. ς'. 1.

§. 2. Πάντων πάντα] πάντων
κατὰ πάντα. Παρήχησις· ἴδε καὶ
Β'. ε'. 7, ς'. 7, Δ'. ά. 28, Ε'. ς'. 2.

§. 3. Ἐπὶ ταῖς βασιλέως θύ-
ραις]=παρὰ τὰ ἀνάκτορα· τοι-
οῦτο καὶ ἡ παρ' ὀθωμανοῖς
Ὑψηλὴ πύλη. Τὰ εὐρωπαϊκὰ
ἔθνη λέγουσι βασιλικὴν αὐλὴν
τὰνάκτορα. Σημείωσαι δ' ὅτι ἐ-
παιδεύοντο ὄχι ἐντὸς τῶν ἀνα-
κτόρων, ἀλλὰ περὶ τὰ ἀρχεῖα, ἃ
ἔκειντο παρὰ τὰνάκτορα, ἐν τῇ
λεγομένῃ ἐλευθέρᾳ ἀγορᾷ. Ἴδε
Ξενοφ. Κ. Π. 1. 2, 3 καὶ 4. —
ἔνθα] ὅπου = ἐκεῖ δέ. ἴδε Α'. ή.
24. καὶ Ἀσ. 765. 3.

§. 5. Ἔνθα] τότε. Ἴδε Α'. ή.
24. τὸ δὲ ὅλον = τότε ὁ Κῦρος
ἐδόκει εἶναι πρῶτον μὲν (οὕτω)
πάντων τῶν ἡλικιωτῶν αἰδημο-

κῆς τε καὶ ἀκοντίσεως, φιλομαθέστατον εἶναι καὶ με-
λετηρότατον. ἐπεὶ δὲ τῇ ἡλικίᾳ ἔπρεπε, καὶ φιλοθη- 6
ρότατος ἦν καὶ πρὸς τὰ θηρία μέντοι φιλοκινδυνό-
τατος. καὶ ἄρκτον ποτὲ ἐπιφερομένην οὐκ ἔτρεσεν,
ἀλλὰ συμπεσὼν κατεσπάσθη ἀπὸ τοῦ ἵππου, καὶ
τὰ μὲν ἔπαθεν, ὧν καὶ τὰς ὠτειλὰς εἶχε, τέλος δὲ
κατέκανε· καὶ τὸν πρῶτον μέντοι βοηθήσαντα πολ-
λοῖς μακαριστὸν ἐποίησεν. ἐπεὶ δὲ κατεπέμφθη ὑπὸ 7
τοῦ πατρὸς σατράπης Λυδίας τε καὶ Φρυγίας τῆς
μεγάλης καὶ Καππαδοκίας, στρατηγὸς δὲ καὶ πάντων
ἀπεδείχθη, οἷς καθήκει εἰς Καστωλοῦ πεδίον ἀθροί-
ζεσθαι, πρῶτον μὲν ἐπέδειξεν αὐτόν, ὅτι περὶ πλείστου

νέστατος, (ὥστε) μᾶλλον καὶ τῶν
ἑαυτοῦ ὑποδεεστέρων πείθεσθαι
τοῖς πρεσβυτέροις. — αἰδημονέ-
στατος τῶν ἡλικιωτῶν] = ὑπὲρ
πάντας τοὺς συνηλικιώτας του
φιλότιμος· διότι αἰδήμων ὁ οὕτω
φιλότιμος, ὥστε καὶ νὰ ἐρυθριᾷ
ἐξ αἰδοῦς. — τοῖς τε πρεσβυτέ-
ροις] ὁ τὲ οὔτε συμπλεκτικὴν
οὔτε ἄλλην τινὰ εὐκρινῆ ἡμῖν
σημασίαν ἔχει· ἀρχαῖος γραμμα-
τικὸς θὰ τὸν ἔλεγε παραπληρω-
ματικὸν ἢ πλεονάζοντα. Ἴδε Ἀσ.
660. 6. καὶ 9. — πείθεσθαι] ἐξ-
αρτᾶται ἐκ τοῦ αἰδημονέστα-
τος. Ἴδε Ἀσ. 433. 36. καὶ 429.
22.—τοξικῆς τε καὶ ἀκοντίσεως]=
τῆς τε τοξικῆς καὶ ἀκοντίσεως. Ἴδε
Α'. δ'. 10. ὅσα ὧραι φύουσιν.

§. 6. Ἐπεὶ τῇ ἡλικίᾳ ἔπρεπε]
ὅτε δὲ διέπρεπεν ἢ ἤκμαζε τὴν
ἡλικίαν = ὅτε ἐγένετο ἔφηβος·
διότι ἀπὸ τῆς ἐφηβικῆς ἡ-
λικίας, ἀρχομένης ἀπὸ τοῦ δε-
κάτου ἕκτου ἢ δεκάτου ἑβδόμου
ἔτους, ἐπεδίδοντο εἰς τὴν θήραν.
Ἴδε Ξενοφ. Κ. Π. I, 2 8. καὶ 9.
—καὶ πρὸς τὰ θηρία μέντοι]
οὐδὲν δ' ἧττον, ἢ ἀλλὰ καί.
Ἴδε Α'. ή. 20. καὶ μέντοι. —
καὶ ἄρκτον ποτὲ] οὕτω καὶ ἄρ-
κτον ποτέ· μετὰ γενικὴν παρατή-
ρησιν γενικὴ περίστασις (ὡς πα-
ράδειγμα φερομένη) συνάπτεται
διὰ τοῦ καί. Ἀσ. 663 15.—οὐκ
ἔτρεσεν] ὑπὸ φόβου δὲν ἐτράπη
εἰς φυγήν· ποιητικὴ λέξις τρέω,
τρέσω, ἔτρεσα· λέγεται δὲ συγγε-
νὴς τῷ τρέπω. — ὠτειλὰς] τὰ
σημάδια τραύματος. — κατέκα-
νε] κατακαίνω=φονεύω, ἀόρ. β'.
κατέκανον ὁ παρακ. κέκονα καὶ
οἱ ἄλλοι χρόνοι θεωροῦνται ἀμ-
φίβολοι· τὸ παθητ.=θνήσκω εὔ-
χρηστον εἰς ἐνεστ. καὶ παρατατικόν. τὸ ἁπλοῦν μόνον παρὰ
ποιηταῖς εὔχρηστον. — καὶ τὸν
πρῶτον μέντοι] ἴδε Α'. ή. 20. —
πολλοῖς μακαριστὸν ἐποίησεν] τὸν
κατέστησεν ἄξιον να μακαρίζηται
ὑπὸ πολλῶν. Οὕτω καὶ ξηλω-
τὸς ἐν Α'. ζ'. 4. Ἴδε Ἀσ. 485. 110.

§. 7. Κατεπέμφθη] ὑπὸ τοῦ
πατρὸς ἐπέμφθη. Περὶ δὲ τῆς
κατὰ ἴδε Α'. ά. 2. ἀναβαίνει—
Σατράπης] ἴδε Α'. ά. 2.— Φρυγίας
τῆς μεγάλης] ἡ μὲν μεγάλη Φρυ-
γία ἔκειτο πρὸς ἀνατολὰς τῆς
Λυδίας καὶ πρὸς βορρᾶν τῆς Πι-
σιδίας· ἡ δὲ μικρὰ Φρυγία, ἥτις

ποιεῖτο, εἴ τῳ σπείσαιτο καὶ εἴ τῳ συνθοῖτο καὶ εἴ

πρὸς τὸ βορειοδυτικὸν ἐξετείνετο μέχρι τῆς Προποντίδος, ἔκειτο πρὸς βορρᾶν τῆς Αἰολίδος καὶ τῆς Μεγάλης Φρυγίας.—Καππαδοκίας] αὕτη ἔκειτο πρὸς ἀνατολὰς τῆς Μικρᾶς καὶ Μεγάλης Φρυγίας καὶ ἐξετείνετο πρὸς ἀνατολὰς μὲν μέχρι τοῦ Εὐφράτου, πρὸς βορρᾶν δὲ μέχρι τῶν πηγῶν τοῦ Σαγγαρίου καὶ Ἴριος. — στρατηγὸς δὲ καὶ πάντων ἀπεδείχθη] ἀπεδείχθη δὲ καὶ στρατηγός· δηλαδὴ ὁ μὲν δὲ συνδέει τὰς προτάσεις, ὁ δὲ καὶ ἐπιτείνει τὸ στρατηγός· ἴδε καὶ Ε'. α'. 4. ναυαρχῶν δὲ καὶ τυγχάνει. — οἷς καθήκει] οἳ ὀφείλουσι· ἐκ τοῦ καθήκειν παράγεται τὸ καθῆκον. — εἰς Καστωλοῦ πεδίον ἀθροίζεσθαι] ἴδε Α'. α'. 2. — ἀπέδειξεν αὐτὸν ὅτι] κατὰ προλήψεως ἰδίωμα ἀντί, ἀπέδειξεν ὅτι αὐτός. Ἴδε Α'. ς'. 5. ἐξήγγειλε τὴν κρίσιν ὡς ἐγένετο. — περὶ πλείστου ποιοῖτο . . μηδὲν ψεύδεσθαι] πολυτιμότατον πρᾶγμα ἐνόμιζε νὰ μὴν ἀπατᾷ μηδόλως. Αἱ φράσεις περὶ πολλοῦ, περὶ πλείονος, περὶ πλείστου ποιοῦμαί τι =κάμω τι πολύ, ὡς λέγει ἡ κοινοτάτη, δηλαδὴ τῷ δίδω πολὺν ἀξίαν, τὸ νομίζω πολύτιμον. Ἀσ. 298. 29. καὶ Κοραῆν εἰς Ἰσοκρ. Κατὰ Λοχίτου σελ. 226. 15. Ἀντίθετα τούτων εἶναι τὰ περὶ μικροῦ ἢ ὀλίγου, περὶ ἐλάττονος, περὶ ἐλαχίστου, περὶ οὐδενὸς ποιοῦμαί τι= νομίζω τι μικροῦ, ὀλιγωτέρου, ἐλαχίστου, οὐδενὸς λόγου ἄξιον. Ταὐτὰ λέγονται καὶ περὶ πολλοῦ, περὶ μικροῦ κτλ. ἡγοῦμαί τι. — εἴ τῳ]=εἴ τινι =ᾧ τινι. Ἴδε Α'. . . 18. Τὸ δὲ ὅλον =πολυτιμότατον πρᾶγμα ἐνόμιζε νὰ μὴν ἀπατᾷ μηδόλως μήτε ἐκείνους, μεθ' ὧν ὡμολόγει ἀνακωχήν, μήτε ἐκείνους, μεθ' ὧν ὑπέγραφε συνθήκην, μήτε ἐκείνους, πρὸς οὓς ὑπεῖχετό τι. — σπείσαιτο] μέσ. ἀόρ. τοῦ σπένδομαι, ἐξ οὗ ἡ σπονδή. Σπονδὴ δὲ κυρίως λέγεται ἡ χύσις οἴνου ἐν εἰαδήποτε εὐχῇ ἢ τελετῇ ἢ θυσίᾳ πρὸς ἐπιβεβαίωσιν τῶν ὑπεσχημένων· ἐντεῦθεν σπονδὴ =ὑπόσχεσις ἢ ὅρκος· σπονδαὶ ὅμως, πληθυντικῶς, λέγονται μερικώτερον ἡ ἐκεχειρία ἢ ἀνακωχή, δηλαδὴ ἡ κατάπαυσις τῶν ἐχθροπραξιῶν ἐπὶ χρόνον ὡρισμένον, οἷαι ἦσαν αἱ Ὀλυμπιακαὶ σπονδαί, ἢ ἀόριστον, ὡς ἐν Β'. γ'. 4. καὶ 24. Τί δὲ διαφέρει τὸ σπένδεσθαι τοῦ σπένδειν ἴδε Ἀσ. 341. 36. καὶ 37.— συνθοῖτο] μέσ. ἀόρ. β'. τοῦ συντίθεμαι=συνθήκας ποιοῦμαι· διαφέρει δὲ τὸ συντίθεσθαι τοῦ σπένδεσθαι καθ' ὅτι καὶ τῶν σπονδῶν ἡ συνθήκη· συνθήκη δὲ εἶναι συμφιλίωσις ἐπὶ ὅροις ρητοῖς κεκυρωμένοις διὰ τῆς ὑπογραφῆς τῶν συντιθεμένων. Παραπλήσιαι συνθῆκαι ἦσαν αἱ πίστεις ἢ τὰ πιστὰ παρὰ βαρβάροις μάλιστα, ἐν αἷς οἱ συντιθέμενοι ἔδιδον καὶ ἐλάμβανον τὰς δεξιάς, ὅπερ ἐθεωρεῖτο ὁ μέγιστος τῶν ὅρκων ἴδε καὶ Β'. γ'. 28, Ἰσοκρ. Πρὸς Φίλιππον 128. 19. καὶ Τραπεζ. 173. 14. Α'. β'. 26. Ἐπειδὴ δὲ πολλάκις αἱ σπονδαὶ ἀπέληγον εἰς συνθήκην, τούτῳ ἕνεκα εὖ ρηται συχνὰ συνθήκη=σπονδαί. Ἴδε Κοραῆν εἰς Ἰσοκρ. Ἀρχιδ. σελ. 165. 7.

τῳ ὑπόσχοιτό τι, μηδὲν ψεύδεσθαι. καὶ γὰρ οὖν ἐπί- 8
στευον μὲν αὐτῷ αἱ πόλεις ἐπιτρεπόμεναι, ἐπίστευον δ' οἱ ἄνδρες· καί, εἴ τις πολέμιος ἐγένετο, σπεισαμένου Κύρου, ἐπίστευε μηδὲν ἂν παρὰ τὰς σπονδὰς παθεῖν. τοιγαροῦν, ἐπεὶ Τισσαφέρνει ἐπολέμησε, 9
πᾶσαι αἱ πόλις ἑκοῦσαι Κῦρον εἵλοντο ἀντὶ Τισσαφέρνους πλὴν Μιλησίων· οὗτοι δέ, ὅτι οὐκ ἤθελε τοὺς φεύγοντας προέσθαι, ἐφοβοῦντο αὐτόν· καὶ γὰρ 10
ἔργῳ ἐπεδείκνυτο καὶ ἔλεγεν, ὅτι οὐκ ἄν ποτε προοῖτο, ἐπεὶ ἅπαξ φίλος αὐτοῖς ἐγένετο, οὐδ' εἰ ἔτι μὲν μείους γένοιντο, ἔτι δὲ κάκιον πράξειαν. φανερὸς δ' ἦν, 11
καὶ εἴ τίς τι ἀγαθὸν ἢ κακὸν ποιήσειεν αὐτόν, νικᾶν πειρώμενος· καὶ εὐχὴν δέ τινες αὐτοῦ ἐξέφερον, ὡς

§. 8. Καὶ γὰρ οὖν] καὶ τούτου ἕνεκα βεβαίως. — ἐπίστευον] ἴδε Α'. β'. 2. πιστεύω τινί.— ἐπιτρεπόμεναι] ἀφιεροῦσαι ἑαυτάς. Ἀσ. 320. 88. ταὐτὸ κατωτέρω, §. 12, λέγει καὶ χρήματα καὶ πόλεις καὶ τὰ ἑαυτῶν σώματα προέσθαι (Κύρῳ). — οἱ ἄνδρες] ἕκαστος ἀνὴρ ἀτομικῶς.

§. 9. Τοιγαροῦν] διὰ τοῦτο λοιπόν. Ἀσ. 763. 29. — ἐπεὶ Τισσαφέρνει ἐπολέμησε] ἀφοῦ ἐτελείωσε τὸν κατὰ Τισσαφέρνους πόλεμον. Ἀσ. 501. 37. — Κῦρον εἵλοντο] ἐνν. σατράπην. Ἀσ. 341. 37. — προέσθαι] μέσ. ἀόρ. β'. τοῦ προΐεμαι = ἵημί τι πρὸ ἐμαυτοῦ = ἀφίνω νὰ λάβῃ τίς τι, ὡς ἐνταῦθα, ἢ ἐμαυτόν, ὡς ἐν Ε'. η'. 14. ἑπομένως ἀφίνω τι εἰς τὴν διάκρισιν ἄλλου τινὸς ἢ ἐμπιστεύομαι εἴς τινα. — τοὺς φεύγοντας] ἴδε Α'. α'. 7., Β'. β'. 2.

§. 10. Καὶ γὰρ ἔργῳ ἐπεδείκνυτο καὶ ἔλεγε] = διότι καὶ ἔργῳ ἐπεδείκνυε τὴν ἑαυτοῦ γνώμην (ὅτι δηλαδὴ δὲν θ' ἀφήσῃ τοὺς φυγάδας) καὶ ἔλεγεν ὅτι κτλ. Τοῦτο δὲ ἠδύνατο νὰ εἴπῃ καὶ οὕτως, ἐπεδείκνυτο γὰρ καὶ ἔργῳ καὶ λόγῳ ὅτι καὶ κτλ. Ἐπιδείκνυμαι = ἐπιδεικνύω ἐμαυτὸν = δείχνω τί εἶμαι ἢ τί φρονῶ. — μείους] ὀλιγώτεροι τὸν ἀριθμόν, ἑπομένως ἀσθενέστεροι τὴν δύναμιν. Τοιοῦτο καὶ τὸ μεῖον ἔχων = ἀσθενέστερος ὢν ἢ ὀλιγωτέρας ἔχων δυνάμεις. Ἴδε Α'. ι'. 7. Γ'. δ'. 18. — κάκιον πράξειαν] εἰς περισσοτέραν κακοδαιμονίαν (κακομοιρὰν) ἤθελον περιέλθει· Εὖ πράττειν καθόλου μὲν τὸ εὐτυχεῖν, ἰδίᾳ δὲ τὸ ὑγιαίνειν ἢ πλουτεῖν· ἐπιεικῶς πράττειν = ὁπωσοῦν εὐτυχεῖν, μήτε δηλαδὴ ἄγαν πλούσιον μήτε ἄγαν πένητα εἶναι. Πρὸς ὀρθὴν κατάληψιν τοῦ χωρίου τούτου ἀναγνωστέα τὰ ὑπὸ Ἰσοκρ. ἐν Πανηγ. 15. λεγόμενα.

§. 11. Φανερὸς δ' ἦν κτλ.] = φανερὸς δ' ἦν καὶ πειρώμενος νικᾶν (πάντα), ὅστις ἀγαθόν τι ἢ κακὸν ποιήσειεν αὐτόν. Περὶ τοῦ φανερὸς ἦν πειρώμενος ἴδε Α'. β'. 11. δῆλος ἦν ἀνιώμενος. Ὅτι δ' ἐπειρᾶτο νικᾶν καὶ τοὺς

εὔχοιτο τοσοῦτον χρόνον ζῆν, ἕστε νικῴη καὶ τοὺς
12 εὖ καὶ [τοὺς κακῶς ποιοῦντας ἀλεξόμενος. καὶ γὰρ
οὖν πλεῖστοι δὴ αὐτῷ ἑνί γε ἀνδρὶ τῶν ἐφ' ἡμῶν ἐ-
πεθύμησαν καὶ χρήματα καὶ πόλεις καὶ τὰ ἑαυτῶν
13 σώματα προέσθαι. οὐ μὲν δὴ οὐδὲ τοῦτ' ἄν τις εἴποι,
ὡς τοὺς κακούργους καὶ ἀδίκους εἶα καταγελᾶν, ἀλλ'
ἀφειδέστατα πάντων ἐτιμωρεῖτο. πολλάκις δ' ἦν ἰδεῖν
παρὰ τὰς στειβομένας ὁδοὺς καὶ ποδῶν καὶ χειρῶν
καὶ ὀφθαλμῶν στερομένους ἀνθρώπους. ὥστ' ἐν τῇ
Κύρου ἀρχῇ ἐγένετο καὶ Ἕλληνι καὶ βαρβάρῳ, μη-
δὲν ἀδικοῦντι, ἀδεῶς πορεύεσθαι, ὅποι τις ἤθελεν,
14 ἔχοντι ὅ τι προχωροίη. τούς γε μέντοι ἀγαθοὺς εἰς

κακόν τι αὐτὸν ποιοῦντας, ἴδε κατωτέρω, §. 13. — καὶ εὐχὴν . . ἐξέφερον] καὶ εὐχὴν δ' αὐτοῦ διέδιδον ἢ διεφήμιζον, λέγοντες ὅτι ηὔχετο· ἴδε καὶ Ε'. ϛ'. καὶ 29.— ἕστε νικῴη καὶ τοὺς εὖ καὶ τοὺς κακῶς ποιοῦντας ἀλεξόμενος] κατὰ ζεῦγμα βραχυλογίας ἀντί, ἕς τε νικῴη καὶ τοὺς εὖ ποιοῦντας ἀντευποιῶν καὶ τους κακῶς ποιοῦντας ἀλεξόμενος· αἴρεται τὸ ζεῦγμα, ἂν ἀλέξομαι = ἀνταποδίδω τὰ ἴσα, καθ' ἣν ἀποδίδει εἰς τοῦτο τὸ χωρίον ὁ Kühner σημασίαν μὴ ἐπιβεβαιουμένην ὑπ' ἄλλων χωρίων. Τότε τὸ ὅλον = ἕως οὗ ἀνταποδώσῃ τὰ ἴσα καὶ εἰς τοὺς φιλικῶς καὶ εἰς τοὺς ἐχθρικῶς διακειμένους πρὸς αὐτόν. ἐξαρτᾶται δὲ ἡ μετοχὴ ἐκ τοῦ νικῴη.' Ἀσ. 465. 45. ϛ'. Τοιοῦτο καὶ τὸ ἐν Β'. γ'. 23. οὐχ ἥττησόμεθα εὖ ποιοῦντες = δὲν θ' ἀναδειχθῶμεν κατώτεροι ταῖς εὐεργεσίαις, θὰ τὸν νικήσωμεν εἰς τὰς εὐεργεσίας, ὡς λέγει ἡ κοινή. Τὸ δὲ ἀλέξομαι = ἀμύνομαι, μεταπεποιημένος ἐνεστῶς ἐκ θέματος ἄλκω καὶ παρενθέσει τοῦ ε ἀλέκω, ἔχει μέλ. ἀλεξήσομαι καὶ ἀόριστον ἠλεξάμην.

§. 12. Καὶ γὰρ οὖν] ἴδε ἀνωτέρω — αὐτῷ ἑνί γε ἀνδρὶ] εἰς αὐτὸν καὶ μόνον τὸν ἄνδρα. Ἀσ. 103. 24. καὶ 25.—προέσθαι ἴδε §. 9.

§. 13. Οὐ μὲν δή] ἀλλ' ὅμως δέν· τὸ μὲν = μήν· τὸ δ' ὅλον εἶναι ἀντίθετον τοῦ ἀλλὰ μήν· ἐν ἀμφοτέροις δὲ ἐνυπάρχει ἡ ἔννοια, Ἀλλ' εἰ καὶ ταῦτα ἔχουσιν οὕτως, ὅμως . . ἴδε καὶ Β' β'. 3., Β'. δ'. 6., Γ', β'. 14. κτλ.—ἀλλ' ἀφειδέστατα] ἂν ἀντὶ τοῦ ἀλλὰ ἠδύνατο νὰ μεταχειρισθῇ γάρ, ἴδε Ἀσ. 703. 51.—ἐτιμωρεῖτο] ἴδε Α'. γ'. 4. — στειβομένας ὁδοὺς] λεωφόρους· κυρίως τὰς ὑπὸ πολλῶν πατουμένας. Ἴδε Α'. ϛ'. 1. στίβος. — ἐγένετο . . πορεύεσθαι] κατωρθώθη ἢ συνέβη νὰ πορεύηται. ἴδε Γ. Σ. Α'. — ὅ τι προχωροίη] ὅτι ὁ καιρὸς τῷ ἐπέτρεπε. Κυρίως προχωρεῖ = κατ' εὐχὴν βαίνει· πολλάκις ὅμως τίθεται ἀντὶ τοῦ ἐγχωρεῖ = εἶναι εὔκαιρον, εἶναι βολετόν, βολεῖ. ἴδε Ἀσ. 447. 89. ἴδε καὶ Ξενοφ. Κ. Π. 1. 2. 4., III. 2. 29., VIII. 2. 6.

§. 14. Τούς γε μέντοι ἀγαθοὺς]

πόλεμον ὡμολόγητο διαφερόντως τιμᾶν. καὶ πρῶτον μὲν ἦν αὐτῷ πόλεμος πρὸς Πισίδας καὶ Μυσούς. στρατευόμενος οὖν καὶ αὐτὸς εἰς ταύτας τὰς χώρας, οὓς ἑώρα ἐθέλοντας κινδυνεύειν, τούτους καὶ ἄρχοντας ἐποίει, ἧς κατεστρέφετο χώρας, ἔπειτα δὲ καὶ ἄλλοις δώροις ἐτίμα· ὥστε φαίνεσθαι τοὺς μὲν ἀγαθοὺς εὐ- 15
δαιμονεστάτους, τοὺς δὲ κακοὺς δούλους τούτων ἀξιοῦσθαι εἶναι. τοιγαροῦν πολλὴ ἦν ἀφθονία αὐτῷ τῶν ἐθελόντων κινδυνεύειν, ὅπου τις οἴοιτο Κῦρον αἰσθήσεσθαι. εἴς γε μὴν δικαιοσύνην εἴ τις αὐτῷ φα- 16
νερὸς γένοιτο ἐπιδείκνυσθαι βουλόμενος, περὶ παντὸς ἐποιεῖτο τούτους πλουσιωτέρους ποιεῖν τῶν ἐκ τοῦ ἀδίκου φιλοκερδούντων· καὶ γὰρ οὖν ἄλλα τε πολλὰ 17
δικαίως αὐτῷ διεχειρίζετο καὶ στρατεύμαι ἀληθινῷ

=τούς γε ἀγαθοὺς μέντοι = ὅμως τοὺς αὐτόχρημα ἀγαθούς. Περὶ τοῦ γε ἴδε Ἀσ. 714. 13. καὶ 16. περὶ δὲ τοῦ μέντοι Ἀσ. 707. 64. — ἧς κατεστρέφετο χώρας] καθ' ἕλξιν ἀντί, τῆς χώρας ἣν κατεστρέφετο. ἴδε Α'. ζ'. 3. ἀντὶ ὧν ἔχω ἀγαθῶν· τὸ δὲ καταστρέφομαι = καταστρέφω (ἀναστατῶ, ἀναποδογυρίζω) ἐμαυτῷ = ὑποτάσσω. Ἀσ. 303. 44.

§. 15. Ὥστε φαίνεσθαι κτλ.] =ὥστε φαίνεσθαι τὸν Κῦρον ἀξιοῦν εἶναι τοὺς μὲν ἀγαθοὺς εὐδαιμονεστάτους, τοὺς δὲ κακοὺς δούλους τούτων. Ἀξιῶ = ἔχω τὴν ἀξίωσιν, κρίνω δίκαιον. —τοιγαροῦν] ἴδε §. 9. — ὅπου τις Κῦρον αἰσθήσεσθαι οἴοιτο] = ὅπου οἴοιντο Κῦρον αἰσθήσεσθαι αὐτοὺς κινδυνεύοντας. Περὶ δὲ τοῦ τίς, ὅπερ ἐνταῦθα τίθεται ἀντὶ τοῦ οἱ ἐθέλοντες κινδυνεύειν, ἴδε Ἀσ. 125. 99.

§. 16. Εἴς γε δικαιοσύνην] ὡς πρὸς τὴν αὐτόχρημα δικαιοσύνην.' Ἀσ. 601. 69. Περὶ δὲ τοῦ γὲ ἴδε ἀνωτέρω §. 14. τούς γε μέντοι ἀγαθούς.— εἴτις φανερὸς γένοιτο . . βουλόμενος]= εἴτις φανείη βουλόμενος = εἴ τις φανερὰ βούλοιτο. — ἐπιδείκνυσθαι] ἐπίδειξιν ποιήσασθαι ἑαυτοῦ (ὡς πρὸς τὴν δικαιοσύνην), δηλαδὴ νὰ δώσῃ τεκμήρια τῆς περὶ τὴν δικαιοσύνην ἀγάπης του. Ἴδε καὶ Α'. Θ'. 7. — τῶν φιλοκερδούντων ἀπὸ τοῦ ἀδίκου] τῶν αἰσχροκερδῶν. Ἀπὸ τοῦ ἀδίκου=ἀδίκως. Ἴδε Α'. β'. 17. ἀπὸ τοῦ αὐτομάτου.

§. 17. Καὶ γὰρ οὖν] ἴδε Α'. Θ'. 8. — δικαίως αὐτῷ διεχειρίζετο] μετὰ δικαιοσύνης ἐξ αἰτίας αὐτοῦ διεχειρίζοντο. Περὶ τοῦ αὐτῷ ἴδε Α'. β'. 4. αὐτῷ ἀφίκοντο. ἐννοεῖ δ' ὁ συγγραφεὺς ὅτι, ἐπειδὴ ὁ Κῦρος ἦτο φιλοδίκαιος, ἐσπούδαζον καὶ οἱ περὶ αὐτὸν νὰ εἶναι δίκαιοι. — διεχειρίζετο] διαχειρίζω καὶ μάλιστα τὸ μέσον διαχειρίζομαι, ὅπερ καὶ παρ' ἡμῖν εἶναι σύνη-

ἐχρήσατο· καὶ γὰρ στρατηγοὶ καὶ λοχαγοὶ οὐ χρημάτων ἕνεκα πρὸς ἐκεῖνον ἔπλευσαν, ἀλλ' ἐπεὶ ἔγνωσαν κερδαλεώτερον εἶναι Κύρῳ καλῶς πειθαρχεῖν ἢ τὸ κατὰ μῆ-
18 να κέρδος· ἀλλὰ μὴν εἴ τίς γέ τι αὐτῷ προστάξαντι καλῶς ὑπηρετήσειεν, οὐδενὶ πώποτε ἀχάριστον εἴασε τὴν προθυμίαν. τοιγαροῦν κράτιστοι δὴ ὑπηρέται παν-
19 τὸς ἔργου Κύρῳ ἐλέχθησαν γενέσθαι· εἰ δέ τινα ὁρᾷη δεινὸν ὄντα οἰκονόμον ἐκ τοῦ δικαίου καὶ κατασκευάζοντά τε, ἧς ἄρχοι χώρας, καὶ προσόδους ποιοῦντα, οὐδένα ἂν πώποτε ἀφείλετο, ἀλλ' ἀεὶ πλείω προσεδίδου· ὥστε καὶ ἡδέως ἐπόνουν καὶ θαρραλέως ἐκτῶντο καί, ὃ ἐπέπατο αὖ τις, ἥκιστα Κῦρον ἔκρυπτεν· οὐ γὰρ φθονῶν τοῖς φανερῶς πλουτοῦσιν ἐφαίνετο, ἀλλὰ πειρώμενος χρῆσθαι τοῖς τῶν ἀποκρυπτομένων χρήμασι.

θες,=διοικῶ· ἐνταῦθα ὅμως εἶναι προφανῶς παθητικὸν=διοικοῦνται. Περὶ τούτου ἴδε Ἀσ. ἀπὸ §. 88. σελίδος 320. — καὶ στρατεύματι ἀληθινῷ] καὶ στράτευμα καθὼς πρέπει. Οὕτω καὶ ἡμεῖς λέγομεν ἀληθινὸς ἄνθρωπος, ἀληθὴς χριστιανὸς κτλ.—ἐπεὶ ἔγνωσαν] διότι ἐσχημάτισαν τὴν γνώμην· διότι γινώσκω, μετ' ἀπαρεμφάτου μάλιστα,=ἔχω τὴν γνώμην, κρίνω. Ἀσ. 465. 42.

§. 18. Ἀλλὰ μὴν] Μ' ἀλήθεια, ὡς λέγει ἡ κοινοτάτη, ἢ σᾶς βεβαιῶ ὅμως ὅτι· Ταύτην τὴν σημασίαν ἔχει, ὅταν πρόκηται περὶ πραγμάτων, ἅτινα, ἄγνωστα ὄντα τοῖς ἀναγνώσταις, οὐ μόνον ἀναφέρει, ἀλλὰ καὶ ἐπιβεβαιοῖ ὁ συγγραφεύς· ἴδε καὶ Β'. ε. 13. ὅταν δὲ πρόκηται περὶ πραγμάτων, ἅτινα εἶναι δυνατὸν καὶ οἴκοθεν νὰ γινώσκωσιν ἢ νὰ ἐννοῶσιν οἱ ἀναγνῶσται ἢ ἀκροαταί, = ὡς τόσον ὅμως, ὡς λέγει ἡ κοινή, ἢ εἶναι ὅμως βέβαιον ὅτι· Ἐπὶ τῆς πρώτης σημασίας ἔχει συνήθως ἐπιφερόμενον τὸν γέ, ἐπὶ δὲ τῆς δευτέρας τὸν καί· ἴδε καὶ Ε'. ζ'. 7., Γ'. β'. 16.—οὐδενὶ . . τὴν προθυμίαν] οὐδενὸς τὴν προθυμίαν. Αὕτη εἶνε ἡ ὑπό τινων δοτικὴ κτητικὴ λεγομένη. Ἴδε Βερναρδάκη Συντ. §. 82.—ἀχάριστον] ἄνευ ἀνταμοιβῆς. — Τοιγαροῦν] Ἴδε §. 9. — κράτιστοι ὑπηρέται Κύρῳ ἐλέχθησαν γενέσθαι] ἐλέχθη ὅτι ὁ Κῦρος ἔσχεν ἀρίστους ὑπηρέτας. Ἴδε Γ'. Σ. Α'.

§. 19. Οἰκονόμον ἐκ τοῦ δικαίου] οἰκονόμον ὄχι αἰσχροκερδῆ. Ἴδε Α'. β'. 17. — κατασκευάζοντα κτλ.]=τὴν χώραν, ἧς ἄρχοι. κατασκευάζω δὲ χώραν = χέρσον γῆν ἐνεργὸν καὶ παραγωγὸν καθιστῶ. Ἴδε Ξενοφ. Οἰκονομ. IV. 17. — καὶ προσόδους ποιοῦντα] καὶ ἐπαυξάνοντα τὰς προσόδους. Κυρίως σημαίνει καὶ γενόμενον αἴτιον ν' ἀναπτυχθῶσιν ἢ αὐξήσωσιν αἱ πρόσοδοι. Οὕτω ποιῶ λόγον, ποιῶ ἐκ

φίλους γε μὴν ὅσους ποιήσαιτο καὶ εὔνους γνοίη ὄντας 20
καὶ ἱκανοὺς κρίνειε συνεργοὺς εἶναι, ὅ τι τυγχάνοι βουλόμενος κατεργάζεσθαι, ὁμολογεῖται πρὸς πάντων κράτιστος δὴ γενέσθαι θεραπεύειν· καὶ γὰρ αὐτὸ 21
τοῦτο, οὗπερ αὐτὸς ἕνεκα φίλων ᾤετο δεῖσθαι, ὡς συνεργοὺς ἔχοι, καὶ αὐτὸς ἐπειρᾶτο συνεργὸς τοῖς φίλοις κράτιστος εἶναι τούτου, ὅτου ἕκαστον αἰσθάνοιτο ἐπιθυμοῦντα. δῶρα δὲ πλεῖστα μὲν οἶμαι εἷς γε ἀνὴρ 22
ἐλάμβανε διὰ πολλά· ταῦτα δὲ πάντων δὴ μάλιστα τοῖς φίλοις διεδίδου, πρὸς τοὺς τρόπους ἑκάστου σκοπῶν καὶ ὅτου μάλιστα ὁρᾷη ἕκαστον δεόμενον. καὶ 23
ὅσα τῷ σώματι αὐτοῦ κόσμον πέμποι τις ἢ ὡς εἰς πόλεμον ἢ ὡς εἰς καλλωπισμόν, καὶ περὶ τούτων λέγειν αὐτὸν ἔφασαν, ὅτι τὸ μὲν ἑαυτοῦ σῶμα οὐκ ἂν δύναιτο

τῆς γῆς κριθὰς=δίδω ἀφορμὴν ἢ γίνομαι αἴτιος νὰ γείνῃ λόγος ἢ νὰ παραγάγῃ ἡ γῆ κριθάς. Ἀσ. 298. 29. —Οὐδένα ἀφείλετο] ἐνν. τὴν χώραν, ἧς ἦρχε = παρ' οὐδενὸς ἀφῄρει τὴν χώραν, ἣν κατεῖχε. Ἀσ. 264. 24. γ'.—καὶ ὃ αὖ] καὶ ἀφ' ἑτέρου ὅτι· σημαίνει δὲ ὁ αὖ προσθήκην πραγμάτων, ἅτινα ὑπό τινα ἔποψιν εἶναι ἀντίθετα τῶν ἀμέσως προηγουμένων. Ἀσ. 708. 68. καὶ 69. — ἐπέπατο] = ἀπέκτα· δωρικὴ λέξις, συνήθης ὅμως τῷ Ξενοφῶντι· παρακ. μὲ σημασίαν ἐννεστ. πέπαμαι, μέλ. πάσομαι καὶ πεπάσομαι, ἀόρ. ἐπασάμην. — χρῆσθαι τοῖς χρήμασι] ἴδε Α'. γ'. 5. τῇ Κύρου φιλίᾳ χρῆσθαι. Χρήματα δὲ πᾶν ὅ τι χρήσιμον, ἥ τε κινητὴ καὶ ἀκίνητος περιουσία.

§. 20. Φίλους γε μὴν] φίλους ἀλλ' ὅμως. Ἀσ. 705. 59. τὸ δὲ φίλους προετάχθη τοῦ ὅσους χάριν ἀναδείξεως. — συνεργοὺς εἶναι ὅ τι τυγχάνοι]=συνεργοὺς εἶναι τούτου, ὅ τι τυγχάνοι βουλόμενος κατεργάζεσθαι. Περὶ τοῦ ὅ τι τυγχάνοι ἴδε Γ'. Σ. Γ'.—πρὸς πάντων] ὑπὸ πάντων. Ἀσ. 276. 7. — κράτιστος δὴ γενέσθαι θεραπεύειν] ἄριστος ὢν τοὺς ἀνεδείχθη ὡς πρὸς τὴν περιποίησιν ταύτην. Περὶ τοῦ θεραπεύειν= ὡς πρὸς τὸ θεραπεύειν ἴδε Ἀσ. 89. 126.

§. 21. Καὶ γὰρ αὐτὸ τοῦτο] διότι καὶ δι' αὐτὸ τοῦτο ἢ μᾶλλον, ἐπειδὴ αἰτιατ. εἰς ἔκφρασιν αἰτίας εἶναι ἄγνωστόν τι, αὐτὸ τοῦτο οὗπερ αὐτὸς = καθάπερ αὐτός. Ἀσ. 217. 46.—ὡς συνεργοὺς ἔχοι] ἵνα ἔχῃ συνεργούς· τὸ ὡς τελικόν.

§. 22. Εἷς γε ἂν ἀνήρ] μόνος αὐτὸς ὁ ἀνήρ. Ἴδε §. 12. ἑνί γε ἀνδρί· — διὰ πολλὰ] διὰ πολλὰς αἰτίας. —πρὸς τοὺς τρόπους σκοπῶν] ἀποβλέπων εἰς τὸν χαρακτῆρα· κυρίως τρόποι εἶναι τὰ ἤθη, τρόπος δὲ ὁ χαρακτήρ. Ἴδε Α'. β'. II.

§. 23. Ἢ ὡς εἰς πόλεμον κτλ.]

τούτοις πᾶσι κοσμηθῆναι, φίλους δὲ καλῶς κεκοσμη-
24 μένους μέγιστον κόσμον ἀνδρὶ νομίζοι. καὶ τὸ μὲν τὰ
μεγάλα νικᾶν τοὺς φίλους εὖ ποιοῦντα οὐδὲν θαυμα-
στόν, ἐπειδή γε καὶ δυνατώτερος ἦν· τὸ δὲ τῇ ἐπιμε-
λείᾳ περιεῖναι τῶν φίλων καὶ τῷ προθυμεῖσθαι χαρί-
25 ζεσθαι, ταῦτα ἔμοιγε μᾶλλον δοκεῖ ἀγαστὰ εἶναι· Κῦ-
ρος γὰρ ἔπεμπε βίκους οἴνου ἡμιδεεῖς πολλάκις, ὁπότε
πάνυ ἡδὺν λάβοι, λέγων, ὅτι οὔπω δὴ πολλοῦ χρόνου
τούτου ἡδίονι οἴνῳ ἐπιτύχοι· τοῦτον οὖν σοι ἔπεμψε
καὶ δεῖταί σου τήμερον τοῦτον ἐκπιεῖν σὺν οἷς μάλι-
26 στα φιλεῖς· πολλάκις δὲ χῆνας ἡμιβρώτους ἔπεμπε καὶ
ἄρτων ἡμίσεα καὶ ἄλλα τοιαῦτα, ἐπιλέγειν κελεύων
τὸν φέροντα, Τούτοις ἥσθη Κῦρος. βούλεται οὖν καὶ
27 σὲ τούτων γεύσασθαι. ὅπου δὲ χιλὸς σπάνιος πάνυ
εἴη, αὐτὸς δ' ἐδύνατο παρασκευάσασθαι διὰ τὸ πολλοὺς
ἔχειν ὑπηρέτας καὶ διὰ τὴν ἐπιμέλειαν, διαπέμπων
ἐκέλευε τοὺς φίλους τοῖς τὰ ἑαυτῶν σώματα ἄγουσιν
ἵπποις ἐμβάλλειν τοῦτον τὸν χιλόν, ὡς μὴ πεινῶντες
28 τοὺς ἑαυτοῦ φίλους ἄγωσιν. εἰ δὲ δή ποτε πορεύοιτο
καὶ πλεῖστοι μέλλοιεν ὄψεσθαι, προσκαλῶν τοὺς φί-
λους, ἐσπουδαιολογεῖτο, ὡς δηλοίη, οὓς τιμᾷ. ὥστε
ἔγωγε, ἐξ ὧν ἀκούω, οὐδένα κρίνω ὑπὸ πλειόνων πεφι-
29 λῆσθαι οὔτε Ἑλλήνων οὔτε βαρβάρων. τεκμήριον δὲ
τούτου καὶ τόδε· παρὰ μὲν Κύρου, δούλου ὄντος,
οὐδεὶς ἀπῄει πρὸς βασιλέα, πλὴν Ὀρόντας ἐπεχείρησε·

ἢ ἵνα πολεμῇ μετ' αὐτῶν ἢ ἵνα καλλωπίζῃ ἑαυτόν. Περὶ δὲ τοῦ
ὡς Ἴδε Α'. ά. 3.

§. 24. Τὰ μεγάλα νικᾶν τοὺς φίλους εὖ ποιοῦντα]=ὡς πρὸς τὰ
μεγάλα ὑπερτερεῖν τοὺς φίλους κατὰ τὰς εὐεργεσίας. Περὶ τοῦ τὰ
μεγάλα νικᾶν. Ἴδε Ἀσ. 465. 45. ς'.

§. 25. Κῦρος γὰρ]=Κῦρός γε=
τῷ ὄντι ὁ Κῦρος.— βίκος] στάμνα
ὥτα ἔχουσα. — ὁπότε λάβοι] ὁσάκις
ἐλάμβανε. ἴδε Α'. β'. 7.— οὔπω]
οὐδέποτε μέχρι τοῦ νῦν. Ἴδε Α'. έ.
12 — πολλοῦ χρόνου] ἐν διαστή-
ματι πολλοῦ χρόνου. Ἀσ. 214. 32.

§. 27. Χιλὸς] ἴδε Α'. έ. 7. —διὰ
τὴν ἐπιμέλειαν] διὰ τὴν πρόνοιαν.

§. 28. Εἰ δὲ δή ποτε πορεύοιτο]
ὁσάκις. Ἴδε Α'. β'. 7.—ἐσπουδαιο-
λογεῖτο] συνδιελέγετο αὐτῷ μετὰ
σπουδαιότητος. — ὡς δηλοίη οὓς
τιμᾷ]= ἵνα καθιστᾷ δήλους τῷ
λαῷ ἐκείνους, οὓς τιμᾷ.

§. 29. Πλὴν Ὀρόντας ἐπεχείρησε]=πλὴν τοῦ Ὀρόντα, ὅστις ἐπε-
χείρησεν ἀπιέναι πρὸς βασιλέα.

καὶ οὗτος δή, ὃν ᾤετο πιστόν οἱ εἶναι, ταχὺ αὐτὸν
ηὗρε Κύρῳ φίλτερον ἢ ἑαυτῷ. παρὰ δὲ βασιλέως πολ-
λοὶ πρὸς Κῦρον ἀπῆλθον, ἐπειδὴ πολέμιοι ἀλλήλοις
ἐγένοντο, καὶ οὗτοι μέντοι οἱ μάλιστα ὑπ' αὐτοῦ ἀγα-
πώμενοι, νομίζοντες, παρὰ Κύρῳ ὄντες ἀγαθοί, ἀξιω-
τέρας ἂν τιμῆς τυγχάνειν ἢ παρὰ βασιλεῖ. μέγα δὲ τεκ- 30
μήριον καὶ τὸ ἐν τῇ τελευτῇ τοῦ βίου αὐτῷ γενόμενον,
ὅτι καὶ αὐτὸς ἦν ἀγαθὸς καὶ κρίνειν ὀρθῶς ἐδύνατο
τοὺς πιστοὺς καὶ εὔνους καὶ βεβαίους· ἀποθνήσκον- 31
τος γὰρ αὐτοῦ, πάντες οἱ περὶ αὐτὸν φίλοι καὶ συν-
τράπεζοι ἀπέθανον μαχόμενοι ὑπὲρ Κύρου πλὴν Ἀρι-
αίου· οὗτος δὲ τεταγμένος ἐτύγχανεν ἐπὶ τῷ εὐωνύμῳ
τοῦ ἱππικοῦ ἄρχων· ὡς δ' ἤσθετο Κῦρον πεπτωκότα,
ἔφυγεν ἔχων καὶ τὸ στράτευμα πᾶν, οὗ ἡγεῖτο.

ί. Ἐνταῦθα δὴ Κύρου ἀποτέμνεται ἡ κεφαλὴ καὶ ἡ 1
χεὶρ ἡ δεξιά. βασιλεὺς δὲ καὶ οἱ σὺν αὐτῷ, διώκων εἰσ-
πίπτει εἰς τὸ Κύρειον στρατόπεδον· καὶ οἱ μὲν μετὰ
Ἀριαίου οὐκέτι ἵστανται, ἀλλὰ φεύγουσι διὰ τοῦ αὐ-
τῶν στρατοπέδου εἰς τὸν σταθμὸν, ἔνθεν ὥρμηντο·
τέτταρες δ' ἐλέγοντο παραβάγγαι εἶναι τῆς ὁδοῦ. βασι- 2
λεὺς δὲ καὶ οἱ σὺν αὐτῷ τά τε ἄλλα πολλὰ διαρπά-
ζουσι καὶ τὴν Φωκαΐδα τὴν Κύρου παλλακίδα τὴν

Ἴδε καὶ Α'. ή. 20.—Καὶ οὗτος δή, ὃν]=καὶ οὗτος δὴ (ὁ βασιλεὺς δη-
λαδή) Ὀρόνταν, ὃν κτλ.— ἐπειδὴ
πολέμιοι ἀλλήλοις ἐγένοντο] ἀφοῦ
πολέμιοι ἀλλήλοις ἐγένοντο, ὁ βα-
σιλεὺς δηλαδὴ καὶ ὁ Κῦρος. —καὶ
οὗτοι μέντοι]οὐχ ἧττον δὲ=ἀκόμη
καὶ ἐκεῖνοι, ὡς λέγει ἡ κοινὴ ἤ,
καὶ ἂν καλῶς ἐξετάσωμεν, θὰ εὕ-
ρωμεν ὅτι ἀπῆλθον εἰς Κῦρον
καὶ ἐκεῖνοι κτλ. Ταύτην δὲ τὴν
σημασίαν ἔχει ἐν μέσῳ λόγου, ὅτε
προστίθεται σημαντική τις περί-
πτωσις. Ἴδε καὶ Α'. ή. 20.—παρὰ
Κύρῳ ὄντες ἀγαθοί] ἂν ἀνα-
δειχθῶσι γενναῖοι ἐν τῇ ὑπηρεσίᾳ
τοῦ Κύρου. Ἴδε Α'. δ'. 3.

§. 30. Μέγα δὲ τεκμήριον κτλ]
=καὶ τὸ ἐν τῇ τελευτῇ δὲ αὐτοῦ
γενόμενον τεκμηριοῖ ὅτι καὶ αὐ-
τὸς ἦν ἀγαθός κτλ.

§. 31. Συντράπεζοι] οὓς ἀνω-
τέρω, Α'. ή. 28, ἀρίστους καὶ
πιστοτάτους σκηπτούχους ἐκάλεσε.
—Ἄρχων] στρατηγός. Ἄρχοντες δὲ
πάντες οἱ ἀρχήν τινα ἐπιτετραμ-
μένοι εἴτε πολιτικὴν εἴτε στρατιω-
τικήν. Ἴδε Α'. β'. 20.

Κεφ. ί. 1. Ἀποτέμνεται εἰσ-
πίπτει κτλ]=ἀπετμήθη, εἰσέπε-
σεν· ἱστορικοὶ ἐνεστῶτες. — οὐκέ-
τι] Ἴδε Α'. έ. 12.

§. 2. Καὶ τὴν Φωκαΐδα τὴν
Κύρου παλλακίδα . . ἡ δὲ Μιλησία

3 σοφὴν καὶ καλὴν λεγομένην εἶναι [λαμβάνει]· ἡ δὲ Μιλησία ἡ νεωτέρα, ληφθεῖσα ὑπὸ τῶν ἀμφὶ βασιλέα ἐκφεύγει γυμνὴ πρὸς τῶν Ἑλλήνων, οἳ ἔτυχον ἐν τοῖς σκευοφόροις ὅπλα ἔχοντες καὶ ἀντιταχθέντες πολλοὺς μὲν τῶν ἁρπαζόντων ἀπέκτειναν· οἱ δὲ καὶ αὐτῶν ἀπέθανον· οὐ μὴν ἔφυγόν γε, ἀλλὰ καὶ ταύτην ἔσωσαν καὶ ἄλλα, ὁπόσα ἐντὸς αὐτῶν καὶ χρήματα καὶ
4 ἄνθρωποι ἐγένοντο, πάντα ἔσωσαν. ἐνταῦθα διέσχον ἀλλήλων βασιλεύς τε καὶ οἱ Ἕλληνες ὡς τριάκοντα στάδια, οἱ μὲν διώκοντες τοὺς καθ' αὑτούς, ὡς πάντας νικῶντες, οἱ δ' ἁρπάζοντες, ὡς ἤδη πάντες νικῶντες.
5 ἐπεὶ δ' ἤσθοντο οἱ μὲν Ἕλληνες, ὅτι βασιλεὺς σὺν τῷ στρατεύματι ἐν τοῖς σκευοφόροις εἴη, βασιλεὺς δ' αὖ ἤκουσε Τισσαφέρνους, ὅτι οἱ Ἕλληνες νικῷεν τὸ καθ' αὑτοὺς καὶ εἰς τὸ πρόσθεν οἴχονται διώκοντες, ἐνταῦθα δὴ βασιλεὺς μὲν ἀθροίζει τε τοὺς ἑαυτοῦ καὶ συντάττεται, ὁ δὲ Κλέαρχος ἐβουλεύετο, Πρόξενον κα-

κτλ.] ἀμφότεραι ἀνομάζοντο μὲν Ἀσπασίαι, μετωνομάσθησαν δὲ ἐκ τῆς πατρίδος ἡ μὲν Φωκαΐς, ἡ δὲ Μιλησία· τοιοῦτό τι συμβαίνει καὶ παρ' ἡμῖν, ὅταν ἐκ πολλῶν ὁμωνύμων διακρίνωμεν τὴν γνωστοτέραν ἢ ἐπισημοτέραν ἐκ τῆς πατρίδος, λέγοντες ἡ Φαριανή, ἡ Σμυρνιά κτλ. Ἡ πρώτη Μιλτὼ ὀνομαζομένη, μετωνομάσθη ὑπὸ τοῦ Κύρου Ἀσπασία. —παλλακίδα] παλλακὶς καὶ ὁμηρικώτερον παλλακὴ κυρίως μὲν ἡ θαλαμηπόλος, ἀλλὰ καὶ ἡ μὴ νόμιμος σύζυγος, ἣν μάλιστα ἑταίραν ἐκάλουν. Ἐνταῦθα παλλακὶς=σύζυγος μὴ νόμιμος.

§. 3. Ἡ δὲ Μιλησία ἡ νεωτέρα] νεωτέρα οὐχὶ τῆς Φωκαΐδος, ἀλλὰ τῆς περιωνύμου παλλακίδος τοῦ Περικλέους, ἥτις καὶ Μιλησία ἐκαλεῖτο ὡς ἐκ τῆς πατρίδος, καὶ Ἀσπασία ἐκ τοῦ ὀνόματος. — ληφθεῖσα . . ἐκφεύγει πρὸς τῶν Ἑλλήνων] καταληφθεῖσα γυμνὴ ἐκφεύγει πρὸς τὸ μέρος τῶν Ἑλλήνων ἐκείνων. Ἴδε κατωτέρω, 18, εἴ ποτε ἔνδεια τὸ στράτευμα λάβοι= καταλάβοι. — τῶν ἀμφὶ βασιλέα] ἴδε Α'. ἡ. 1 —οἱ δὲ καὶ αὐτῶν=καὶ αὐτῶν δέ τινες. Ἴδε ἀνωτέρω Α'. Θ'. 7.

§. 4. Τοὺς καθ' ἑαυτούς] τοὺς ἀπέναντι αὐτῶν τεταγμένους. Ἴδε Α'. ἡ. 21.—ὡς πάντας νικῶντες] =ὡς εἰ ἐνίκων πάντας τοὺς πολεμίους.—ὡς τριάκοντα] Β'. ς'. 20.

§. 5. Ἐνταῦθα δή] τότε δή. Ἴδε Α'. ἡ. 19.—ἐβουλεύετο . . εἰ πέμποιεν]=ἐσκέπτετο, ἂν πρέπει νὰ πέμψωσι. Ταύτην τὴν σημασίαν ἔχουσιν αἱ ὑποθετικαὶ προτάσεις, ὅταν ἀπέχωσι τόπον ἀντικειμένου τῶν ἐχόντων μάλιστα τοῦ σκοπῶ ἢ βουλεύομαι ῥημάτων σημασίαν. Πλαγία ἐρώτησις.

λέσας —πλησιαίτατος γὰρ ἦν—εἰ πέμποιέν τινας ἢ πάντες ἴοιεν ἐπὶ τὸ στρατόπεδον ἀρήξοντες. ἐν τούτῳ 6
καὶ βασιλεὺς δῆλος ἦν προσιὼν πάλιν, ὡς ἐδόκει, ὄπισθεν. καὶ οἱ μὲν Ἕλληνες στραφέντες παρεσκευάζοντο, ὡς ταύτῃ προσιόντος καὶ δεξόμενοι, ὁ δὲ [βασιλεὺς] ταύτῃ μὲν οὐκ ἦγεν, ἢ δὲ παρῆλθεν ἔξω τοῦ εὐωνύμου κέρατος, ταύτῃ καὶ ἀπῆγαγεν, ἀναλαβὼν καὶ τοὺς ἐν τῇ μάχῃ κατὰ τοὺς Ἕλληνας αὐτομολήσαντας καὶ Τισσαφέρνην καὶ τοὺς σὺν αὐτῷ· ὁ γὰρ Τισσαφέρ- 7
νης ἐν τῇ πρώτῃ συνόδῳ οὐκ ἔφυγεν, ἀλλὰ διήλασε παρὰ τὸν ποταμὸν καὶ τοὺς Ἕλληνας πελταστάς· διελαύνων δὲ κατέκανε μὲν οὐδένα, διαστάντες δ' οἱ Ἕλληνες ἔπαιον καὶ ἠκόντιζον αὐτούς. Ἐπισθένης δὲ Ἀμφιπολίτης ἦρχε τῶν πελταστῶν καὶ ἐλέγετο φρόνιμος γενέσθαι· ὁ δ' οὖν Τισσαφέρνης ὡς, μεῖον ἔχων, 8
ἀπηλλάγη, πάλιν μὲν οὐκ ἀναστρέφει, εἰς δὲ τὸ στρατόπεδον ἀφικόμενος τὸ τῶν Ἑλλήνων, ἐκεῖ συντυγχάνει βασιλεῖ, καὶ ὁμοῦ δὴ πάλιν συνταξάμενοι ἐπορεύοντο· ἐπεὶ δ' ἦσαν κατὰ τὸ εὐώνυμον τῶν Ἑλλήνων 9
κέρας, ἔδεισαν οἱ Ἕλληνες, μὴ προσάγοιεν πρὸς τὸ κέρας καὶ περιπτύξαντες ἀμφοτέρωθεν αὐτοὺς κατακόψειαν· καὶ ἐδόκει αὐτοῖς ἀναπτύσσειν τὸ κέρας καὶ

§. 6. Δῆλος ἦν προσιὼν πάλιν ὄπισθεν]= ἐφαίνετο ἐκ δευτέρου προσερχόμενος αὐτοῖς ἐκ τῶν ὄπισθεν. Ἴδε καὶ Α'. ἡ. 24.— ταύτῃ προσιόντος καὶ δεξόμενοι] ὡς εἰ ἐκεῖνος μὲν ἔμελλε ἐκ τούτου τοῦ μέρους (ἐκ τῶν ὄπισθεν) προσιέναι, ἐκεῖνοι δὲ ἐκ τοῦ αὐτοῦ μέρους δεξόμενοι αὐτόν. Δέχομαι ἐν τοῖς πολεμικοῖς= ἀνθίσταμαι, ἀντιπαρατάσσομαι, οὐ τρέπομαι εἰς φυγήν.

§. 7. Ἐν τῇ πρώτῃ συνόδῳ] ἐν τῇ πρώτῃ συμπλοκῇ.— φρόνιμος] παρουσίαν πνεύματος ὅτι ἐπέδειξεν.

§. 8. Ὡς μεῖον ἔχων ἀπηλλάγη] =ἅμα ἢ ἀφ' οὗ, καίπερ μειονεκτῶν, ἐσώθη. Μεῖον ἔχω ἢ μειονεκτῶ = εἰμὶ ὑποδεέστερός τινος ἢ τῷ ἀριθμῷ ἢ τῇ ἱκανότητι· ἀπαλλάτομαι δὲ=σώζομαι ὅταν μάλιστα συντάσσεται τῷ χαίρων ἢ μεῖον ἔχων κτλ.

§. 9. Μὴ προσάγοιεν πρὸς τὸ κέρας]=μὴ προσάγοιεν τὸν στρατὸν εἰς τὸ εὐώνυμον κέρας.—ποιήσασθαι ὄπισθεν τὸν ποταμὸν] παρατάξαι ἑαυτοὺς οὕτως, ὥστε νὰ ἔχωσιν ὄπισθεν τὸν ποταμόν. Τοῦτο δὲ ἵνα ἔχωσιν ἐξησφαλισμένα τὰ νῶτα αὐτῶν. Ἴδε καὶ ς'. ἑ. 18.

§. 10. Καὶ δὴ βασιλεὺς παραμειψάμενος] παρελθὼν ἤδη καὶ

10 ποιήσασθαι ὄπισθεν τὸν ποταμόν. ἐν ᾧ δὲ ταῦτα ἐβουλεύοντο, καὶ δὴ βασιλεύς, παραμειψάμενος εἰς τὸ αὐτὸ σχῆμα, κατέστησεν ἀντίαν τὴν φάλαγγα, ὥσπερ τὸ πρῶτον μαχούμενος συνήει· ὡς δὲ εἶδον οἱ Ἕλληνες ἐγγύς τε ὄντας καὶ παρατεταγμένους, αὖθις παιανίσαντες ἐπῆσαν πολὺ ἔτι προθυμότερον ἢ τὸ πρό-
11 σθεν· οἱ δ' αὖ βάρβαροι οὐκ ἐδέχοντο, ἀλλ' ἐκ πλείονος ἢ τὸ πρόσθεν ἔφευγον· οἱ δ' ἐπεδίωκον μέχρι
12 κώμης τινός. ἐνταῦθα δ' ἔστησαν οἱ Ἕλληνες· ὑπὲρ γὰρ τῆς κώμης γήλοφος ἦν, ἐφ' οὗ ἀνεστράφησαν οἱ ἀμφὶ βασιλέα, πεζοὶ μὲν οὐκέτι, τῶν δὲ ἱππέων ὁ λόφος ἐνεπλήσθη, ὥστε τὸ ποιούμενον μὴ γιγνώσκειν. καὶ τὸ βασίλειον σημεῖον ὁρᾶν ἔφασαν, ἀετόν τινα χρυ-
13 σοῦν ἐπὶ πέλτῃ [ἐπὶ ξύλου] ἀνατεταμένον. ἐπεὶ δὲ καὶ ἐνταῦθ' ἐχώρουν οἱ Ἕλληνες, λείπουσι δὴ καὶ τὸν λόφον οἱ ἱππεῖς, οὐ μὴν ἔτι ἀθρόοι, ἀλλ' ἄλλοι ἄλλοθεν· ἐψιλοῦτο δ' ὁ λόφος τῶν ἱππέων· τέλος δὲ καὶ πάν-
14 τες ἀπεχώρησαν. ὁ οὖν Κλέαρχος οὐκ ἀνεβίβαζεν ἐπὶ τὸν λόφον· ἀλλ', ὑπ' αὐτὸν στήσας τὸ στράτευμα, πέμπει Λύκιον τὸν Συρακόσιον καὶ ἄλλον ἐπὶ τὸν λόφον καὶ κελεύει, κατιδόντας τὰ ὑπὲρ τοῦ λόφου, τί ἐστιν,
15 ἀπαγγεῖλαι. καὶ ὁ Λύκιος ἤλασέ τε καὶ ἰδὼν ἀπαγγέλλει, ὅτι φεύγουσιν ἀνὰ κράτος. σχεδὸν δ', ὅτε ταῦτα
16 ἦν, καὶ ἥλιος ἐδύετο. ἐνταῦθα δ' ἔστησαν οἱ Ἕλληνες

ὁ βασιλεὺς ἔμπροσθεν τοῦ Ἑλληνικοῦ στρατοῦ ἀπὸ τοῦ δεξιοῦ πρὸς τὸ ἀριστερὸν κέρας.—εἰς τὸ αὐτὸ σχῆμα, κτλ.]=ἀντιπαρέταξε τὸ στράτευμά του εἰς τὸ αὐτὸ σχῆμα, ὅπερ εἶχεν ἐν τῇ πρώτῃ συμπλοκῇ.— μαχούμενος συνήει]=ἵνα πολεμήσῃ ἐπήρχετο.—παιανίσαντες] ἴδε Α'. ἡ. 17.

§. 11. Οὐκ ἐδέχοντο] ἴδε ἀνωτέρω 6.—ἐκ πλείονος ἢ τὸ πρόσθεν ἔφευγον] ἐκ περισσοτέρας παρὰ πρότερον ἀποστάσεως ἐτρέποντο εἰς φυγήν. Ἴδε καὶ Γ'. γ'. 9.

§. 12. Ὥστε τὸ ποιούμενον μὴ γιγνώσκειν]=ὥστε νὰ μὴ δύνανται νὰ ἐννοήσωσι τί ἐγίγνετο ὄπισθεν τοῦ γηλόφου.— βασίλειον σημεῖον] τὸ βασιλικὸν σύμβολον.—ἐπὶ πέλτης] ἐπὶ ἀκοντίου· διότι πέλτη εἶναι οὐ μόνον ἡ μικρὰ μηνοειδὴς ἀσπίς, ἀλλὰ καὶ λόγχη καὶ δόρυ.

§. 13. Οὐ μὴν ἔτι ἀθρόοι] οὐκέτι ὅμως ἀθρόοι, ὅλοι ὁμοῦ ἢ ἐκ τοῦ αὐτοῦ μέρους. — ἐψιλοῦτο .. τῶν ἱππέων] ἔρημος ἱππέων κατελείπετο.

§ 15. Ἀνὰ κράτος]=πάσῃ δυνάμει· οὕτω καὶ ἐν Α'. ἡ. 1.

§. 16. Παρείη] ἦλθεν, ἀφίκετο.

καὶ θέμενοι τὰ ὅπλα ἀνεπαύοντο· καὶ ἅμα μὲν ἐθαύμαζον, ὅτι οὐδαμοῦ Κῦρος φαίνοιτο οὐδ' ἄλλος ἀπ' αὐτοῦ οὐδεὶς παρείη· οὐ γὰρ ᾔδεσαν αὐτὸν τεθνηκότα, ἀλλ' εἰκάζον ἢ διώκοντα οἴχεσθαι ἢ καταληψόμενόν τι προεληλακέναι· καὶ αὐτοὶ ἐβουλεύοντο, εἰ, αὐτοῦ μεί- 17
ναντες, τὰ σκευοφόρα ἐνταῦθα ἄγοιντο ἢ ἀπίοιεν ἐπὶ τὸ στρατόπεδον. ἔδοξεν αὐτοῖς ἀπιέναι· καὶ ἀφικνοῦνται ἀμφὶ δορπηστὸν ἐπὶ τὰς σκηνάς. ταύτης μὲν 18
τῆς ἡμέρας τοῦτο τὸ τέλος ἐγένετο. καταλαμβάνουσι δὲ τῶν τε ἄλλων χρημάτων τὰ πλεῖστα διηρπασμένα καί εἴ τι σιτίον ἢ ποτὸν ἦν, καὶ τὰς ἁμάξας μεστὰς ἀλεύρων καὶ οἴνου, ἃς παρεσκευάσατο Κῦρος, ἵνα, εἴ ποτε σφοδρὰ τὸ στράτευμα λάβοι ἔνδεια, διαδοίη τοῖς Ἕλλησιν· ἦσαν δ' αὗται τετρακόσιαι, ὡς ἐλέγοντο, ἅμαξαι· καὶ ταύτας τότε οἱ σὺν βασιλεῖ διήρπασαν. ὥστε 19
ἄδειπνοι ἦσαν οἱ πλεῖστοι τῶν Ἑλλήνων· ἦσαν δὲ καὶ ἀνάριστοι· πρὶν γὰρ δὴ καταλῦσαι τὸ στράτευμα πρὸς ἄριστον, βασιλεὺς ἐφάνη. ταύτην μὲν οὖν τὴν νύκτα οὕτω διεγένοντο.

Ἴδε Α'. β'. 2.—ἢ διώκοντα οἴχεσθαι] ἢ ὅτι διώκων ἀπεμακρύνθη, ἔγεινεν ἄφαντος. τροπικὴ ἡ μετοχή.—Ἢ καταληψόμενόν τι προεληλακέναι] ἢ ὅτι ἐπῆγεν ἐμπρὸς ἵνα καταλάβῃ χωρίον τι. Τελικὴ ἡ μετοχή.

§. 17. Καὶ αὐτοὶ ἐβουλεύοντο] ἀνακολούθως ἀντί, Ἅμα δ' ἐβουλεύοντο.—εἰ ἄγοιντο] ἂν ἔπρεπε νὰ φέρωσιν. Ἴδε §. 5. — ἀμφὶ δορπηστὸν] περὶ τὸ δεῖπνον. Δορπέω=δειπνῶ, ἴσως ἐκ τοῦ δρέπω. — χρημάτων] ἴδε Α'. Θ'. 19. — εἴποτε λάβοι] ἄν ποτε ἤθελε καταλάβει. Ἴδε §. 3. ληφθεῖσα.

§. 19. Ἀνάριστοι] ἀγευμάτιστοι· διότι ἀκράτισμα μὲν τὸ πρωϊνὸν φαγητόν, τὸ πρόγευμα· ἄριστον δὲ τὸ μεσημβρινόν, τὸ γεῦμα· δεῖπνον δὲ τὸ βραδυνόν. Τὸ πρῶτον λέγεται ἀκράτισμα, διότι ἔτρωγον ὀλίγον ἄρτον μετ' ἀκράτου οἴνου, τὸ δεύτερον ἄριστον, διότι τότε ἔτρωγον τὰ κάλλιστα φαγητά.—Ἴδε Θ. Βενιζέλ. Περὶ Ἰδιωτ. βίου τῶν Ἀρχ. ἑλλ. §. 341. Πρὶν γὰρ δὴ καταλῦσαι] πρὶν ἤδη καταλύσῃ, σαματήσῃ. Ἴδε περὶ τοῦ πρὶν ἐν Α'. δ. 13.

ΒΙΒΛΙΟΝ ΔΕΥΤΕΡΟΝ.

1 Ὡς μὲν οὖν ἠθροίσθη Κύρῳ τὸ Ἑλληνικόν, ὅτε ἐπὶ τὸν ἀδελφὸν Ἀρταξέρξην ἐστρατεύετο, καὶ ὅσα ἐν τῇ ἀνόδῳ ἐπράχθη, καὶ ὡς ἡ μάχη ἐγένετο, καὶ ὡς Κῦρος ἐτελεύτησε, καὶ ὡς, ἐπὶ τὸ στρατόπεδον ἐλθόντες οἱ Ἕλληνες, ἐκοιμήθησαν, οἰόμενοι τὰ πάντα νικᾶν καὶ
2 Κῦρον ζῆν, ἐν τῷ ἔμπροσθεν λόγῳ δεδήλωται. ἅμα δὲ τῇ ἡμέρᾳ, συνελθόντες οἱ στρατηγοί, ἐθαύμαζον, ὅτι Κῦρος οὔτε ἄλλον πέμποι σημανοῦντα, ὅ τι χρὴ ποιεῖν, οὔτε αὐτὸς φαίνοιτο. ἔδοξε οὖν αὐτοῖς, συσκευασαμένοις, ἃ εἶχον, καὶ ἐξοπλισαμένοις, προϊέναι εἰς τὸ πρόσ-
3 θεν, ἕως Κύρῳ συμμίξειαν. ἤδη δὲ ἐν ὁρμῇ ὄντων, ἅμα ἡλίῳ ἀνίσχοντι, ἦλθε Προκλῆς ὁ Τευθρανίας ἄρχων, γεγονὼς ἀπὸ Δαμαράτου τοῦ Λάκωνος, καὶ

§. 1. Ὡς μὲν .. καὶ ὅσα .. καὶ ὡς]=πῶς μὲν .. καὶ πόσα .. καὶ πῶς. Πλάγιαι ἐρωτήσεις. Ἴδε Α΄. γ΄. 11. ὅ τι χρὴ ποιεῖν.—Ἠθροίσθη Κύρῳ] ἠθροίσθη ὑπὸ τοῦ Κύρου· διότι εἶπεν ἐν Α΄. ά. 6. τὴν δὲ ἑλληνικὴν δύναμιν ἠθροιζε κτλ.—Τὰ πάντα νικᾶν] ὅτι καθ' ὅλα ἦσαν νικηταί, ὅτι τελείαν νίκην ἤραντο.—Ὅτι οὔτε ἄλλον πέμποι]=ἔπεμψε. Εὐκτική, διότι ἐξαρτᾶται ἀπὸ παρῳχημένου. Ἴδε Γ. Σ. Γ΄.

§. 2. Ὅ τι χρὴ ποιεῖν] τί χρὴ ποιεῖν. Ἴδε Α΄. γ΄. 11.—Συσκευασαμένοις ἃ εἶχον] συλλέξαντες τὰ ἑαυτῶν σκεύη. Ταύτην τὴν σημασίαν ἔχει καὶ καθ' ἑαυτὸ τὸ ῥῆμα, χάριν ὅμως σαφηνείας προστίθεται κατ' αἰτιατικὴν καὶ τὸ εἶδος τῶν σκευῶν, διότι ἔχομεν σκεύη οἰκίας, μαγειρείου, στρατοῦ, πλοίου κτλ. λέγονται δὲ σκεύη τὰ ὧν οὐκ ἄνευ πρὸς διάκρισιν τῶν ἐπίπλων, ἅτινα δύνανται νὰ λείψωσιν.—Ἐξοπλισαμένους] ἴδε Α΄. ζ΄. 10. ἐξοπλισία.

§. 3. Ἐν ὁρμῇ ὄντων] ἐν ᾧ παρεσκευάζοντο ν' ἀπέλθωσι.—Προκλῆς] βασιλεὺς πρότερον τῆς Σπάρτης μετὰ τοῦ Κλεομένους, ἐξωσθεὶς ὑπ' αὐτοῦ, κατέφυγεν εἰς Δαρεῖον τὸν Ὑστάσπους, ὑφ' οὗ ἄλλοις τε ἐτιμήθη καὶ ἄρχων Τευθρανίας καὶ Ἀλισάρνης διωρίσθη. Ἔκειτο δὲ ἡ Τευθρανία ἐν Μυσίᾳ παρὰ τὸν Κάϊκον ποταμόν. Ἴδε Ἡροδ. ϛ΄. 67.—Γλοῦς ὁ Ταμῶ] ἴδε Α΄. δ΄. 16.—Ἔλεγον ὅτι .. τέθνηκε .. πεφευγὼς εἴη] τὸ πρῶτον καθ' ὁριστικήν, διότι ἦτο βέβαιον, τὸ δεύτερον κατ' εὐκτικήν, διότι ἦτο γνώμη τῶν λεγόντων ταῦτα. Ἴδε Ἀσ. 781. 10. καὶ 11.

§. 4. Πυνθανόμενοι] μανθάνοντες. Πυνθάνομαι=ἐρωτῶ ἵνα μάθω· διὸ ἄλλοτε μὲν=ἐρωτῶ, ἄλλοτε δὲ=μανθάνω.—Βαρέως ἔφερον] ἠγανάκτουν. Βαρέως ἢ χαλεπῶς φέρω=δυσανασχετῶ, ἀγανακτῶ· ἀντίθετα τούτων τὰ ῥᾳδίως φέρω = ὑπομένω.—Ἀλλὰ]=τῇ ἀληθείᾳ. Ἴδε Α΄. ή. 17.—Ὤφελε ζῆν] εἴθε νὰ ἔζη ἢ εὐχῆς ἔργον θὰ ἦτο, ἂν ἔζη. Ἴδε Ἀσ. 355. 9.—Ἐπαγγελλόμεθα] ὑπισχνούμεθα· ἐξ οὗ καὶ Γῆ τῆς ἐπαγγελίας, ἣν ὑπέσχετο ὁ Θεὸς τοῖς Ἑβραίοις.—Καθιεῖν] μέλλων τοῦ καθίζω.

§. 5. Καὶ γὰρ αὐτὸς] διότι καὶ αὐτός. Ἴδε καὶ §. 7.—Ξένος] Ὁ ἐκ συστάσεως φίλος· ξένοι δέ, πληθυντικῶς, οἱ μισθοφόροι στρατιῶται.

§. 6. Κόπτοντες] σφάζοντες.—Ξύλοις δ' ἐχρῶντο] = ξύλοις δὲ

Γλοῦς ὁ Ταμῶ. οὗτοι ἔλεγον, ὅτι Κῦρος μὲν τέθνηκεν, Ἀριαῖον δὲ πεφευγὼς ἐν τῷ σταθμῷ εἴη μετὰ τῶν ἄλλων βαρβάρων, ὅθεν τῇ προτεραίᾳ ὥρμηντο, καὶ λέγοι, ὅτι ταύτην μὲν τὴν ἡμέραν περιμείνειεν ἂν αὐτούς, εἰ μέλλοιεν ἥξειν, τῇ δὲ ἄλλῃ ἀπιέναι φαίη ἐπὶ Ἰωνίας, ὅθενπερ ἦλθε. ταῦτα ἀκούσαντες οἱ στρα- 4
τηγοὶ καὶ οἱ ἄλλοι Ἕλληνες πυνθανόμενοι, βαρέως ἔφερον. Κλέαρχος δὲ τάδε εἶπεν, Ἀλλ' ὤφελε μὲν Κῦρος ζῆν· ἐπεὶ δὲ τετελεύτηκεν, ἀπαγγέλλετε Ἀριαίῳ, ὅτι ἡμεῖς νικῶμέν τε βασιλέα καί, ὡς ὁρᾶτε, οὐδεὶς ἔτι ἡμῖν μάχεται καί, εἰ μὴ ὑμεῖς ἤλθετε, ἐπορευόμεθα ἂν ἐπὶ βασιλέα. ἐπαγγελλόμεθα δὲ Ἀριαίῳ, ἐὰν ἐν- θάδε ἔλθῃ, εἰς τὸν θρόνον τὸν βασίλειον καθιεῖν αὐ- τόν· τῶν γὰρ μάχῃ νικώντων καὶ τὸ ἄρχειν ἐστί. ταῦτ' εἰπών, ἀποστέλλει τοὺς ἀγγέλους καὶ σὺν αὐτοῖς 5
Χειρίσοφον τὸν Λάκωνα καὶ Μένωνα τὸν Θετταλόν· καὶ γὰρ αὐτὸς Μένων ἐβούλετο· ἦν γὰρ φίλος καὶ ξένος Ἀριαίου. οἱ μὲν ᾤχοντο, Κλέαρχος δὲ περιέ- 6
μενε· τὸ δὲ στράτευμα ἐπορίζετο σῖτον, ὅπως ἐδύνατο, ἐκ τῶν ὑποζυγίων, κόπτοντες τοὺς βοῦς καὶ ὄνους·

ξύλοις δ' ἐχρῶντο, μικρὸν προϊόντες ἀπὸ τῆς φάλαγγος, οὗ ἡ μάχη ἐγένετο, τοῖς τε οἰστοῖς, πολλοῖς οὖσιν, οὓς ἠνάγκαζον οἱ Ἕλληνες ἐκβάλλειν τοὺς αὐτομολοῦντας παρὰ βασιλέως, καὶ τοῖς γέρροις καὶ ταῖς ἀσπίσι ταῖς ξυλίναις ταῖς Αἰγυπτίαις· πολλαὶ δὲ καὶ πέλται καὶ ἄμαξαι ἦσαν φέρεσθαι ἔρημοι· οἷς πᾶσι χρώ-
7 μενοι, κρέα ἕψοντες, ἤσθιον ἐκείνην τὴν ἡμέραν. καὶ ἤδη τε ἦν περὶ πλήθουσαν ἀγορὰν καὶ ἔρχονται παρὰ βασιλέως καὶ Τισσαφέρνους κήρυκες, οἱ μὲν ἄλλοι βάρβαροι, ἦν δ' αὐτῶν Φαλῖνος εἷς Ἕλλην, ὃς ἐτύγχανε παρὰ Τισσαφέρνει ὢν καὶ ἐντίμως ἔχων· καὶ γὰρ προσεποιεῖτο ἐπιστήμων εἶναι τῶν ἀμφὶ τάξεις
8 τε καὶ ὁπλομαχίαν. οὗτοι δέ, προσελθόντες καὶ καλέσαντες τοὺς τῶν Ἑλλήνων ἄρχοντας, λέγουσιν, ὅτι βασιλεὺς κελεύει τοὺς Ἕλληνας, ἐπεὶ νικῶν τυγχάνει καὶ Κῦρον ἀπέκτονε, παραδόντας τὰ ὅπλα, ἰόντας ἐπὶ τὰς βασιλέως θύρας, εὑρίσκεσθαι, ἄν τι δύνων-
9 ται ἀγαθόν. ταῦτα μὲν εἶπον οἱ βασιλέως κήρυκες.

ἐχρῶντο τοῖς τε οἰστοῖς, πολλοῖς οὖσι, καὶ τοῖς γέρροις καὶ ταῖς ἀσπίσι ταῖς Αἰγυπτίαις, ἃ ἠνάγκαζον τοὺς ἐκ βασιλέως αὐτομολοῦντας ἐκβάλλειν οἱ Ἕλληνες, μικρὸν προϊόντες τῆς φάλαγγος, οὗ ἡ μάχη ἐγένετο.— Τῆς φάλαγγος] τοῦ στρατεύματος. Ἴδε καὶ Γ'. γ'. 11.—Οὗ ἡ μάχη ἐγένετο] ἐκεῖσε προϊόντες, οὗ ἡ μάχη ἐγένετο. Ἴδε Γ'. β'. 34, ὅπου ἔξομεν. —Οἰστοῖς] ἀκοντίοις.— Γέρροις] ἴδε Α'. ἡ. 9.—Πέλται] ἴδε Α'. ἰ. 12.—Ἔρημοι] ἐγκαταλελειμμέναι· τὰ μὲν γέρρα καὶ αἱ ἀσπίδες ἦσαν ἔρημοι, διότι ἦσαν φονευμένοι οἱ κύριοι αὐτῶν· ἅμαξαι δ' ἔρημοι ἦσαν, διότι εἶχον διαρπαγῆ αἱ τροφαί, ὧν ἦσαν πλήρεις. Ἴδε Α'. ἰ. 18. — Φέρεσθαι] εἰς μεταφοράν, ἢ ὥστε νὰ ἦναι κατάλληλοι εἰς μεταφορὰν πρὸς παῦσιν. Τελικὸν τὸ ἀπαρέμφατον συνέπειαν σημαῖνον. Ἴδε Ἀσ. 433. 37.

§. 7. Περὶ πλήθουσαν ἀγορὰν] ἴδε Α'. ἡ. 1.—Ἐντίμως ἔχων]=ἐτύγχανεν ἐντίμως ἔχων= ἐτιμᾶτο— Καὶ γὰρ προσεποιεῖτο κτλ.] =καὶ γὰρ προσεποιεῖτο ἐπίστασθαι τὰ περὶ τάξεις ἢ τὴν τακτικήν. Καὶ γάρ, ὅταν ὁ καὶ ἀνήκῃ ὄχι εἰς ἑπομένην λέξιν, ὡς ἀνωτέρω §. 5, ἀλλ' εἰς ὅλον τὸν λόγον=διότι μάλιστα ἢ καθ' ὅσον μάλιστα· εἶναι δηλαδὴ ὁ καὶ ἐπιδοτικὸς σημαίνων καὶ δι' ἄλλας αἰτίας, μάλιστα δὲ διότι.

§. 8. Παραδόντες τὰ ὅπλα ἰόντας]=ἀφοῦ παραδώσωσι τὰ ὅπλα, πορευθέντες.—Ἐπὶ τὰς βασιλέως θύρας] Ἴδε Α'. θ'. 3. — Εὑρίσκεσθαι] νὰ ζητήσωσι ν' ἀπολαύσωσι.— Εἴ τι δύνωνται] =ὅ τι δύνωνται. τὰ ὑποθετικὰ μετὰ τοῦ τίς οὐδόλως σχεδὸν διαφέρουσι τῆς ὅστις.

§. 9. Βαρέως ἤκουσαν] πρᾴως

οἱ δὲ Ἕλληνες βαρέως μὲν ἤκουσαν, ὅμως δὲ Κλέαρχος τοσοῦτον εἶπεν, ὅτι οὐ τῶν νικώντων εἴη τὰ ὅπλα παραδιδόναι. Ἀλλ', ἔφη, ὑμεῖς μέν, ὦ ἄνδρες στρατηγοί, τούτοις ἀποκρίνασθε, ὅ τι κάλλιστόν τε καὶ ἄριστον ἔχετε· ἐγὼ δὲ αὐτίκα ἥξω, ἐκάλεσε γάρ τις αὐτὸν τῶν ὑπηρετῶν, ὅπως ἴδοι τὰ ἱερὰ ἐξηρημένα· ἔτυχε γὰρ θυόμενος. ἔνθα δὴ ἀπεκρίνατο 10
Κλεάνωρ μὲν ὁ Ἀρκάς, πρεσβύτατος ὤν, ὅτι πρόσθεν ἂν ἀποθάνοιεν ἢ τὰ ὅπλα παραδοῖεν· Πρόξενος δὲ ὁ Θηβαῖος, Ἀλλ' ἐγώ, ἔφη, ὦ Φαλῖνε, θαυμάζω πότερα ὡς κρατῶν βασιλεὺς αἰτεῖ τὰ ὅπλα ἢ ὡς διὰ φιλίαν δῶρα· εἰ μὲν γὰρ ὡς κρατῶν, τί δεῖ αὐτὸν αἰτεῖν καὶ οὐ λαβεῖν ἐλθόντα; εἰ δὲ πείσας βούλεται λαβεῖν, λεγέτω, τί ἔσται τοῖς στρατιώταις, ἐὰν αὐτῷ ταῦτα χαρίσωνται. πρὸς ταῦτα Φαλῖνος εἶπε, Βασι- 11
λεὺς νικᾶν ἡγεῖται, ἐπεὶ Κῦρον ἀπέκτονε· τίς γὰρ αὐτῷ ἔστιν, ὅστις τῆς ἀρχῆς ἀντιποιεῖται; νομίζει δὲ καὶ ὑμᾶς ἑαυτοῦ εἶναι, ἔχων ἐν μέσῃ τῇ ἑαυτοῦ χώρᾳ καὶ ποταμῶν ἐντὸς ἀδιαβάτων καὶ πλῆθος ἀνθρώπων ἐφ' ὑμᾶς δυνάμενος ἀγαγεῖν, ὅσον, οὐδ' εἰ παρέχοι ὑμῖν, δύναισθε ἂν ἀποκτεῖναι. μετὰ τοῦτον 12
Θεόπομπος Ἀθηναῖος εἶπεν, Ὦ Φαλῖνε, νῦν, ὡς σὺ

δὲν ἤκουσαν, ἠγανάκτησαν δηλαδή.—Τοσοῦτον]=τόσον μόνον.— Οὐ τῶν νικώντων εἴη] ἴδιον τῶν νικώντων.—Ἔχετε] δύνασθε ἢ γινώσκετε. Κυρίως=ἔχετε εἰπεῖν. Ἴδε Γ. Σ. Β'.—Ἥξω] μέλ. τοῦ ἥκω, ὅπερ συνήθως μὲν=ἐλήλυθα, πολλάκις δὲ=ἐπανελεύσομαι. —Ἐκάλεσε]=ἐκεκλήκει=εἶχε καλέσει. Ἴδε Α'. ά. 2. ἐποίησε.— Ἐξηρημένα] ἐξεντερισμένα. Παρακ. τοῦ ἐξαιροῦμαι = ἀφαιρῶ, ἐκβάλλω, ἀποσπῶ.

§. 10. Ἔνθα δή] τότε δή. Ἴδε Α'. ἡ. 19.—Πρόσθεν ἂν ἀποθάνοιεν ἢ τὰ ὅπλα παραδοῖεν] πρῶτον θὰ σκοτωθῶσι καὶ ἔπειτα θὰ παραδώσωσι τὰ ὅπλα, ὡς λέγει ἡ κοινή = δὲν θὰ παραδώσωσι τὰ ὅπλα πρὶν φονευθῶσι — Ὡς κρατῶν]=ὡς νικητής· τὸ πλῆρες =ὡς κρατῶν ἡμῶν ἢ ἡμᾶς. διότι κρατῶ τινος=ὑποτάσσω· κρατῶ τινα=νικῶ. Ἀσ. 239. 10. κτλ.

§. 11. Τίς ἔστιν ὅστις;]=τίς; —Ἀντιποιεῖται] διαμφισβητεῖ. κυρίως ἀντιποιοῦμαι=λέγω ἐμὸν εἶναι. Ἀσ. 295. '22.—Πλῆθος δυνάμενος ἀγαγεῖν, ὅσον]= τόσον πλῆθος, ὅσον.—Οὐδ' εἰ παρέχοι] οὐδ' ἂν ἤθελε τὸ ἀφήσει εἰς τὴν διάθεσίν σας.

§. 12. Θεόπομπος] ἄλλοι γράφουσι Ξενοφῶν.—Ἀρετὴ] =εὐ

ὁρᾷς, ἡμῖν οὐδὲν ἔστιν ἀγαθὸν ἄλλο εἰ μὴ ὅπλα καὶ ἀρετή. ὅπλα μὲν οὖν ἔχοντες, οἰόμεθα ἂν καὶ τῇ ἀρετῇ χρῆσθαι· παραδόντες δ' ἂν ταῦτα, καὶ τῶν σωμάτων στερηθῆναι. μὴ οὖν οἵου τὰ μόνα ἀγαθὰ ἡμῖν ὄντα ὑμῖν παραδώσειν, ἀλλὰ σὺν τοῖτοις καὶ
13 περὶ τῶν ὑμετέρων ἀγαθῶν μαχούμεθα. ἀκούσας δὲ ταῦτα ὁ Φαλῖνος, ἐγέλασε καὶ εἶπεν, Ἀλλὰ φιλοσόφῳ μὲν ἔοικας, ὦ νεανίσκε, καὶ λέγεις οὐκ ἀχάριτα· ἴσθι μέντοι ἀνόητος ὤν, εἰ οἴει τὴν ὑμετέραν ἀρετὴν
14 περιγενέσθαι ἂν τῆς βασιλέως δυνάμεως. ἄλλους δέ τινας ἔφασαν λέγειν ὑπομαλακιζομένους, ὡς καὶ Κύρῳ πιστοὶ ἐγένοντο καὶ βασιλεῖ ἂν πολλοῦ ἄξιοι γένοιντο, εἰ βούλοιτο φίλος γενέσθαι, καί, εἴτε ἄλλο τι θέλοι χρῆσθαι εἴτ' ἐπ' Αἴγυπτον στρατεύειν, συγκαταστρέ-
15 ψαιντ' ἂν αὐτῷ. ἐν τούτῳ Κλέαρχος ἦκε καὶ ἠρώτησεν, εἰ ἤδη ἀποκεκριμένοι εἶεν. Φαλῖνος δὲ ὑπολαβὼν εἶπεν, Οὗτοι μέν, ὦ Κλέαρχε, ἄλλος ἄλλα λέγει·
16 σὺ δ' ἡμῖν εἰπέ, τί λέγεις. ὁ δ' εἶπεν, Ἐγώ σε, ὦ Φαλῖνε, ἄσμενος ἑώρακα, οἶμαι δὲ καὶ οἱ ἄλλοι πάντες· σύ τε γὰρ Ἕλλην εἶ καὶ ἡμεῖς, τοσοῦτοι ὄντες, ὅσους σὺ ὁρᾷς· ἐν τοιούτοις δὲ ὄντες πράγμασι, συμ-
17 βουλεύσομέθά σοι, τί χρὴ ποιεῖν περὶ ὧν λέγεις. σὺ

ψυχία. — Οἰόμεθα ἂν καὶ τῇ ἀρετῇ χρῆσθαι]=οἰόμεθα χρῆσθαι ἂν καὶ τῇ ἀρετῇ=νομίζομεν ὅτι θὰ δυνηθῶμεν νὰ ἐπωφεληθῶμεν καὶ ἐκ τῆς εὐψυχίας. Ἴδε Α'. γ'. 5.

§ 13. Ἀλλὰ]=τῇ ἀληθείᾳ. Ἴδε Α'. ἡ. 17.—Καὶ λέγεις οὐκ ἀχάριτα] καὶ ὁμιλεῖς μὲ χάριν. Εἰρωνεικῶς λέγει ταῦτα, χλευάζων τοὺς φιλοσοφοῦντας, ὅτι λησμονοῦσιν ὅτι ἐν τοῖς ἀνθρωπίνοις δεσπόζει ὄχι τὸ φυσικόν, ἀλλὰ τὸ θετικὸν δίκαιον.— Ἔφασαν] ἴδε Α'. ἡ. 6. λέγεται.— Ὑπομαλακιζομένους] τροπικὴ μετοχὴ=μετά τινος δειλίας. Ὑπομαλακίζομαι=γίνομαι ὀλίγον μαλθακὸς ἢ δειλός.—Ἐπ' Αἴγυπτον στρατεύειν] κατ' ἐκεῖνον τὸν χρόνον οἱ Αἰγύπτιοι, βασιλεύοντος Ψαμμητίχου, εἶχον ἀποστατήσει ἀπὸ τῶν Περσῶν. — Συγκαταστρέψαιντο] σὺν αὐτῷ κατεστρέψαιντο Αἴγυπτον.

§. 16. Οἶμαι δὲ καὶ οἱ ἄλλοι] πέπεισμαι δὲ καὶ οἱ ἄλλοι ἄσμενοί σε εἶδον. Πολλάκις τὰ οἶμαι δοκεῖ μοι καὶ τὰ τοιαῦτα τίθενται χάριν ἀβροφροσύνης ἀντὶ τοῦ πέπεισμαι. Ἴδε Β'. ζ'. 13, Β'. ἡ. 22.—Πράγμασι] ἀμηχανίᾳ. διότι πράγματα καὶ τὰ ἐμπόδια, ἡ ἀμηχανία,

§. 17. Ἀναλεγόμενον] πάντα λεγόμενον, διότι πάντα θὰ λέγηται. — Πεμφθεὶς . . κελεύσων] ἵνα κελεύσῃ. Τελ. μετοχή.

§. 18. Ταῦτα ὑπήγετο] μέ πλάγιον σκοπὸν παρῆνει. διότι ὑπάγω τινά = ἀποπλανῶ τινα· ὑπάγομαί τι ἢ τινα = δολίως καὶ μὲ πλάγιον σκοπὸν ἢ μὲ ὑστεροβουλίαν παραινῶ.

§. 19. Ὑποστρέψας] ὑπεκφυγὼν (νὰ συμβουλεύσῃ τὰ βέλτιστα τοῖς Ἕλλησιν).—Παρὰ τὴν δόξαν αὐτοῦ]τοῦ Κλεάρχου.—Τμῖν . . πολεμοῦντας]=ὑμῖν πολεμοῦσιν. Ἴδε Ἀσ. 439. 60.—εἰ δέ τοι]=ἂν ὅμως.

§ 20. Ἔχοντες τὰ ὅπλα] ἂν ἔχωμεν. ὑποθετικὴ ἡ μετοχή.

§ 21. Μένουσι μὲν αὐτοῦ] . . προϊοῦσι δὲ] ἂν μὲν μένετε αὐτοῦ . . ἂν δὲ προχωρήσετε. Ὑποθετικαὶ αἱ μετοχαί.—Σπονδαὶ] ἴδε Α'. θ'. 7.—Ὡς πολέμου ὄντος . . ἀπαγγελῶ] ὅτι πόλεμος ἔσται ἡμῖν τε ὑμῖν. Συνήθης τῷ Ξενοφ. γενικὴ ἀπόλυτος μετὰ τοῦ ὡς ἐν

οὖν πρὸς θεῶν συμβούλευσον ἡμῖν, ὅ τι σοι δοκεῖ κάλλιστον καὶ ἄριστον εἶναι, καὶ ὅ σοι τιμὴν οἴσει εἰς τὸν ἔπειτα χρόνον ἀναλεγόμενον, ὅτι Φαλῖνός ποτε, πεμφθεὶς παρὰ βασιλέως κελεύσων τοὺς Ἕλληνας τὰ ὅπλα παραδοῦναι, συμβουλευομένοις συνεβούλευσεν αὐτοῖς τάδε· οἶσθα δέ, ὅτι ἀνάγκη λέγεσθαι ἐν τῇ Ἑλλάδι, ἃ ἂν συμβουλεύσῃς. ὁ δὲ Κλέαρχος ταῦτα 18
ὑπήγετο, βουλόμενος καὶ αὐτὸν τὸν παρὰ βασιλέως πρεσβεύοντα συμβουλεῦσαι μὴ παραδοῦναι τὰ ὅπλα, ὅπως εὐέλπιδες μᾶλλον εἶεν οἱ Ἕλληνες. Φαλῖνος δέ, ὑποστρέψας, παρὰ τὴν δόξαν αὐτοῦ εἶπεν, Ἐγώ, εἰ 19
μὲν τῶν μυρίων ἐλπίδων μία τις ὑμῖν ἐστι σωθῆναι πολεμοῦντας βασιλεῖ, συμβουλεύω μὴ παραδιδόναι τὰ ὅπλα· εἰ δέ τοι μηδεμία σωτηρίας ἐστὶν ἐλπὶς ἄκοντος βασιλέως, συμβουλεύω σῴζεσθαι ὑμῖν, ὅπῃ δυνατόν. Κλέαρχος δὲ πρὸς ταῦτα εἶπεν, Ἀλλὰ ταῦτα 20
μὲν δὴ σὺ λέγεις· παρ' ἡμῶν δὲ ἀπάγγελε τάδε, ὅτι ἡμεῖς οἰόμεθα, εἰ μὲν δέοι βασιλεῖ φίλους εἶναι, πλείονος ἂν ἄξιοι εἶναι φίλοι, ἔχοντες τὰ ὅπλα ἢ παραδόντες ἄλλῳ, εἰ δὲ δέοι πολεμεῖν, ἄμεινον ἂν πολεμεῖν ἔχοντες τὰ ὅπλα ἢ ἄλλῳ παραδόντες. ὁ δὲ Φαλῖνος 21
εἶπε, Ταῦτα μὲν δὴ ἀπαγγελοῦμεν· ἀλλὰ καὶ τάδε ὑμῖν εἰπεῖν ἐκέλευσε βασιλεύς, ὅτι, μένουσι μὲν αὐτοῦ, σπονδαὶ εἴησαν· προϊοῦσι δὲ καὶ ἀπιοῦσι, πόλεμος. εἴπατε οὖν καὶ περὶ τούτου πότερα μενεῖτε καὶ σπον-

δαί εἰσιν ἢ ὡς πολέμου ὄντος παρ' ὑμῶν ἀπαγγελῶ;
22 Κλέαρχος δ' ἔλεξεν, Ἀπάγγελε τοίνυν καὶ περὶ τούτου, ὅτι καὶ ἡμῖν ταὐτὰ δοκεῖ, ἅπερ καὶ βασιλεῖ. Τί οὖν ταῦτά ἐστιν; ἔφη ὁ Φαλῖνος. ἀπεκρίνατο Κλέαρχος, Ἢν μὲν μένωμεν, σπονδαί· ἀπιοῦσι δὲ καὶ προϊ-
23 οῦσι, πόλεμος. ὁ δὲ πάλιν ἠρώτησε, Σπονδὰς ἢ πόλεμον ἀπαγγελῶ; Κλέαρχος δὲ ταὐτὰ πάλιν ἀπεκρίνατο, Σπονδαὶ μέν, μένουσιν· ἀπιοῦσι δὲ ἢ προϊοῦσι, πόλεμος. ὅ τι δὲ ποιήσοι, οὐ διεσήμηνε.

1 β'. Φαλῖνος μὲν δὴ ᾤχετο καὶ οἱ σὺν αὐτῷ. οἱ δὲ παρὰ Ἀριαίου ἦκον, Προκλῆς καὶ Χειρίσοφος· Μένων δὲ αὐτοῦ ἔμενε, παρὰ Ἀριαίῳ· οὗτοι δὲ ἔλεγον, ὅτι πολλοὺς φαίη Ἀριαῖος εἶναι Πέρσας ἑαυτοῦ βελτίους, οὓς οὐκ ἂν ἀνασχέσθαι αὐτοῦ, βασιλεύοντος· ἀλλ' εἰ
2 βούλεσθαι συναπιέναι, ἥκειν ἤδη κελεύει τῆς νυκτός· εἰ δὲ μή, αὔριον πρῳ ἀπιέναι φησίν. ὁ δὲ Κλέαρχος εἶπεν, Ἀλλ' οὕτω χρὴ ποιεῖν· ἐὰν μὲν ἥκωμεν, ὥσπερ λέγετε· εἰ δὲ μή, πράττετε, ὁποῖον ἄν τι ὑμῖν
3 οἴησθε μάλιστα συμφέρειν, ὅ τι δὲ ποιήσοι, οὐδὲ τοῦτοις εἶπε. μετὰ ταῦτα, ἤδη ἡλίου δύνοντος, συγκαλέσας τοὺς στρατηγοὺς καὶ λοχαγοὺς ἔλεξε τοιάδε, Ἐμοί, ὦ ἄνδρες, θυομένῳ ἰέναι ἐπὶ βασιλέα, οὐκ ἐγίγνετο τὰ ἱερά, καὶ εἰκότως ἄρα οὐκ ἐγίγνετο· ὡς γὰρ ἐγὼ νῦν πυνθάνομαι, ἐν μέσῳ ἡμῶν καὶ βασιλέως

τοῖς λεκτικοῖς ῥήμασι· καὶ ἐν τοῖς γνωστικοῖς δὲ γίνεται τοῦτο. Ἴδε Α'. γ'. 6. ὡς ἐμοῦ οὖν ὄντος.

§. 23. Οὐ διεσήμηνε] δὲν διεσάφισεν.

Κεφ. β'. 1. Φαλῖνος μὲν δή] = Ἤδη ὁ μὲν Φαλῖνος.—Οἱ δὲ παρ' Ἀριαίου ἦκον] ἐπανῆλθον δὲ οἱ παρ' Ἀριαίου σταλέντες. Ἴδε Β'. ά. 7.—Φαίη Ἀριαῖος εἶναι κτλ] ὁ Ἀριαῖος εἶπεν ὅτι ὑπάρχουσι πολλοὶ Πέρσαι κεκτημένοι πλείονας ἀρετάς, οἳ οὐκ ἂν ἀνάσχοιντο αὐτοῦ, εἰ γένοιτο βασιλεύς.—Κελεύει] παραινεῖ. Κελεύω τινί=παραινῶ· κελεύω τινά = προστάσσω. Ἀπτώτως δὲ ἔχει ὅτε μὲν τὴν πρώτην, ὁτὲ δὲ τὴν δευτέραν σημασίαν.

§. 2. Ἀλλ' οὕτω]=οὕτω τῇ ἀληθείᾳ. Ἴδε Α'. ή. 17. — ὥσπερ λέγετε] =ἔσται, ὥσπερ λέγετε = θὰ κάμωμεν ὅ τι λέγετε, θὰ συναπέλθωμεν δηλαδή.

§. 3. Θυομένῳ ἰέναι ἐπὶ βασιλέα] προσενεγκόντι θυσίας, ἵνα μάθῃ ἂν εἶναι καλὸν νὰ στρατεύσῃ κατὰ τοῦ βασιλέως. Ἐκ

ὁ Τίγρης ποταμός ἐστι ναυσίπορος, ὃν οὐκ ἂν δυναίμεθα ἄνευ πλοίων διαβῆναι· πλοῖα δὲ ἡμεῖς οὐκ ἔχομεν. οὐ μὲν δὴ αὐτοῦ γε μένειν οἷόν τε· τὰ γὰρ ἐπιτήδεια οὐκ ἔστιν ἔχειν· ἰέναι δὲ παρὰ τοὺς Κύρου φίλους, πάνυ καλὰ ἡμῖν τὰ ἱερὰ ἦν. ὧδε οὖν χρὴ 4
ποιεῖν· ἀπιόντας δειπνεῖν, ὅ τι τις ἔχει. ἐπειδὰν δὲ σημήνῃ τῷ κέρατι ὡς ἀναπαύεσθαι, συσκευάζεσθε· ἐπειδὰν δὲ τὸ δεύτερον, ἀνατίθεσθε ἐπὶ τὰ ὑποζύγια· ἐπὶ δὲ τῷ τρίτῳ ἕπεσθε τῷ ἡγουμένῳ, τὰ μὲν ὑποζύγια ἔχοντες πρὸς τοῦ ποταμοῦ, τὰ δὲ ὅπλα ἔξω. ταῦτα ἀκούσαντες οἱ στρατηγοὶ καὶ λοχαγοὶ ἀπῆλθον καὶ 5
ἐποίουν οὕτω. καὶ τὸ λοιπὸν ὁ μὲν ἦρχεν, οἱ δὲ ἐπείθοντο, οὐχ ἑλόμενοι, ἀλλὰ ὁρῶντες, ὅτι μόνος ἐφρόνει, οἷα δεῖ τὸν ἄρχοντα, οἱ δ' ἄλλοι ἄπειροι ἦσαν. [ἀριθμὸς δὲ τῆς ὁδοῦ, ἣν ἦλθον ἐξ Ἐφέσου τῆς 6
Ἰωνίας μέχρι τῆς μάχης σταθμοὶ τρεῖς καὶ ἐνενήκοντα, παρασάγγαι πέντε καὶ τριάκοντα καὶ πεντακόσιοι, στάδιοι πεντήκοντα καὶ ἑξακισχίλιοι καὶ μύριοι· ἀπὸ δὲ

τοῦ Ἐθύετο, εἰ παρεῖεν αὐτῷ οἱ θεοὶ πειρᾶσθαι πρὸς Σευθην ἐλαύνειν τὸ στράτευμα (Ζ'. β'. 15.) προέκυψαν κατα βραχυλογίαν τά, Ἐδόκει τὰ ἱερὰ καλὰ εἶναι αὐτῷ.. πρὸς Σεύθην ἰέναι (Ζ' β'. 17.), Θύομαι ἐπί τινα (Ζ'. ή. 21.), Θυομαι ἐπ' ἐξόδῳ (ς'. δ'. 9.), Θύομαι ἐπεξόδια (ς'. έ. 2.), Θύομαι, εἰ ἄμεινον εἴη ἄρχεσθαι (Ε'. ς'. 28). Ἴδε καὶ Ἀσ. 236. 38.— Οὐκ ἐγένετο τὰ ἱερά] = δὲν ἐγένοντο τὰ ἱερὰ καλά=τὰ ἱερὰ δὲν ἐπροεμηνυον αἴσια. Τοῦτο λέγεται καὶ οὐκ ἐκαλλιέρει. Ἴδε Ε'. δ'. 22. Ἱερὰ δὲ τὰ σπλάγχνα τῶν ἱερείων ἤτοι τῶν θυσιαζομένων ζώων καὶ ὁ ἀπ' αὐτῶν οἰωνός. Ἴδε καὶ Α'. ή. 15.—Ἄρα] = ὡς νῦν ἐννοῶ. Ἴδε Ἀσ. 716. 19. — Ἔστιν ἔχειν] δυνάμεθα νὰ ἔχωμεν. Γ. Σ. Α'.

§. 4. Ὅ τι τις ἔχει] ὅ τι δύναται ἕκαστος. Ἴδε Β'. ά. 8.— Σημήνῃ] τὸ πρόσταγμα ἢ σύνθημα δοθῇ· ἐδίδοντο δὲ συνήθως ἢ διὰ σάλπιγγος ἢ διὰ κήρυκος· διὸ καὶ ἀντὶ τῶν σημαίνω τῇ σάλπιγγι ἢ κέρατι ἢ κήρυκι, λέγουσι καὶ ἁπλῶς ἐσήμηνεν ἢ ἐκήρυξε. Ἴδε Ε'. β'. 12, Γ'. δ'. 36.—Ὡς ἀναπαύεσθαι] ὡς ἵνα ἀναπαυθῆτε. Ἴδε Α'. έ. 9.— Ἀνατίθεσθε ἐπὶ τὰ ὑποζύγια] τὰ σκεύη δηλαδή. — Τῷ ἡγουμένῳ] τὸ προπορευόμενον μέρος τοῦ στρατοῦ. Ἴδε τὸ πλῆρες ἐν Β'. δ'. 26.

§. 5. Οὐχ ἑλόμενοι, ἀλλ' ὁρῶντες] ὄχι διότι τὸν εἶχον ἐκλέξει ἀρχιστράτηγον, ἀλλὰ διότι ἔβλεπον.—Ἐφρόνει οἷα δεῖ τὸν ἄρχοντα] εἶχε φρονήματα τοιαῦτα, ὁποῖα πρέπει νὰ ἔχῃ ὁ ἀρχι-

τῆς μάχης ἐλέγοντο εἶναι εἰς Βαβυλῶνα στάδιοι ἑξήκοντα καὶ τριακόσιοι.] ἐντεῦθεν, ἐπεὶ σκότος ἐγένετο, Μιλτοκύθης μὲν ὁ Θρᾷξ ἔχων τοὺς τε ἱππέας τοὺς μεθ' ἑαυτοῦ εἰς τετταράκοντα καὶ τῶν πεζῶν Θρᾳκῶν ὡς τριακοσίους ἠυτομόλησε πρὸς βασιλέα. Κλέαρχος δὲ τοῖς ἄλλοις ἡγεῖτο κατὰ τὰ παρηγγελμένα, οἱ δ' εἵποντο· καὶ ἀφικνοῦνται εἰς τὸν πρῶτον σταθμὸν παρὰ Ἀριαῖον καὶ τὴν ἐκείνου στρατιὰν ἀμφὶ μέσας νύκτας· καὶ ἐν τάξει θέμενοι τὰ ὅπλα, συνῆλθον οἱ στρατηγοὶ καὶ λοχαγοὶ τῶν Ἑλλήνων παρὰ Ἀριαῖον· καὶ ὤμοσαν οἵ τε Ἕλληνες καὶ ὁ Ἀριαῖος καὶ τῶν σὺν αὐτῷ οἱ κράτιστοι μήτε προδώσειν ἀλλήλους σύμμαχοί τε ἔσεσθαι· οἱ δὲ βάρβαροι προσώμοσαν καὶ ἡγήσεσθαι ἀδόλως. ταῦτα δ' ὤμοσαν, σφάξαντες ταῦρον [καὶ λύκον] καὶ κάπρον καὶ κριὸν εἰς ἀσπίδα, οἱ μὲν Ἕλληνες βάπτοντες ξίφος, οἱ δὲ βάρβαροι λόγχην. ἐπεὶ δὲ τὰ πιστὰ ἐγένετο, εἶπεν ὁ Κλέαρχος, Ἄγε δή, ὦ Ἀριαῖε, ἐπείπερ ὁ αὐτὸς ὑμῖν στόλος ἐστὶ καὶ ἡμῖν, εἰπέ, τίνα γνώμην ἔχεις περὶ τῆς πορείας, πότερον

στράτηγος.

§. 7. Ἐντεῦθεν δή] Ἴδε Ε'. ε. 3. Κυρίως ὅμως ἐντεῦθεν δή = ἔκτοτε δή.

§. 8. Ἐν τάξει θέμενοι τὰ ὅπλα] ἀφοῦ παρατεταγμένοι ἐσάθησαν, ἔχοντες τὰς ἀσπίδας πρὸς τὰ γόνατα. Ἴδε Α'. ε. 13. καὶ 17. — Οἱ κράτιστοι] οἱ μάλιστα δυνάμενοι, οἱ τἀνώτατα ἔχοντες ἀξιώματα.

§. 9. Καὶ λύκον] κακῶς παραλείπουσί τινες τοῦτο· διότι ὁ λύκος ἦτο υἱὸς καὶ εἰκὼν τοῦ Ἀριμάνου, θεοῦ τοῦ κακοῦ· ἄνευ δὲ λύκου οὐδεὶς ἐγίνετο ὅρκος, ἄνευ δὲ τῶν ἄλλων ἐγίνετο· ὁ Πλούταρχος τοὐλάχιστον ἐν Ἴσ. καὶ Ὄσιρ. σελ. 369. λέγει, Πόαν γάρ τινα κόπτοντες Ὁμοῦ καλ-

μένην ἐν ὅλμῳ, τὸν Ἅιδην ἀνακαλοῦνται καὶ τὸν σκότον. Εἶτα μίξαντες αἷματι λύκου σφαγέντος εἰς τόπον ἀνήλιον ἐκφέρουσι καὶ ῥίπτουσιν.

§. 10. Πιστὰ] αἱ ἔνορκοι ὑποσχέσεις=ἀφοῦ δ' ὡρκίσθησαν· τὸ πιστὸν κ. πάσα ὑπόσχεσις ἐμπιστοσύνης· πίστεις δὲ = ἔνορκος ὑπόσχεσις, ὅτε ἔδιδον καὶ ἐλάμβανον δεξιάς, περὶ οὗ ἴδε Α. β'. 26.—Ἄγε δή . . εἰπέ] εἰπὲ ἤδη ἤ, ὡς λέγει ἡ κοινή, ἔλα τώρα εἰπέ. Ἴδε Ἀσ. 355. 12. —Στόλος] στρατεία. Ὁ αὐτὸς ἡμῖν τε καὶ ὑμῖν στόλος=συστρατεύομεν. Ἴδε Α'. β'. 5.—Ἧνπερ ἤλθομεν]=δι' ἧς ἤλθομεν. Ἔρχομαι ὁδὸν ἤ τι τοιοῦτον ἁπαντᾷ καὶ παρ' Ἡροδ. καὶ Πλάτωνι. παρ' Ὁμήρῳ δὲ καὶ

ἄπιμεν, ἧνπερ ἤλθομεν, ἢ ἄλλην τινὰ ἐννενοηκέναι βοκεῖς ὁδὸν κρείττω. ὁ δ' εἶπεν, Ἧν μὲν ἤλθομεν ἀπιόντες, παντελῶς ἂν ὑπὸ λιμοῦ ἀπολοίμεθα· ὑπάρχει γὰρ νῦν ἡμῖν οὐδὲν τῶν ἐπιτηδείων· ἑπτακαίδεκα γὰρ σταθμῶν τῶν ἐγγυτάτω, οὐδὲ δεῦρο ἰόντες, ἐκ τῆς χώρας οὐδὲν εἴχομεν λαμβάνειν· ἔνθα δέ τι ἦν, ἡμεῖς διαπορευόμενοι κατεδαπανήσαμεν. νῦν δ' ἐπινοοῦμεν πορεύεσθαι μακροτέραν μέν, τῶν δ' ἐπιτηδείων οὐκ ἀπορήσομεν. πορευτέον δ' ἡμῖν τοὺς πρώτους σταθμούς, ὡς ἂν δυνώμεθα, μακροτάτους, ἵνα ὡς πλεῖστον ἀποσπασθῶμεν τοῦ βασιλικοῦ στρατεύματος· ἦν γὰρ ἅπαξ δύο ἢ τριῶν ἡμερῶν ὁδὸν ἀπόσχωμεν, οὐκέτι μὴ δυνήσεται βασιλεὺς ἡμᾶς καταλαβεῖν· ὀλίγῳ μὲν γὰρ στρατεύματι οὐ τολμήσει ἐφέπεσθαι· πολὺν δ' ἔχων στόλον, οὐ δυνήσεται ταχέως πορεύεσθαι· ἴσως δὲ καὶ τῶν ἐπιτηδείων σπανιεῖ. ταύτην, ἔφη, τὴν γνώμην ἔχω ἔγωγε.

Ἦν δὲ αὕτη ἡ στρατηγία οὐδὲν ἄλλο δυναμένη ἢ ἀποδρᾶναι ἢ ἀποφυγεῖν· ἡ δὲ τύχη ἐστρατήγησε κάλλιον· ἐπεὶ γὰρ ἡμέρα ἐγένετο, ἐπορεύοντο ἐν δεξιᾷ ἔχοντες τὸν ἥλιον, λογιζόμενοι ἥξειν, ἅμα ἡλίῳ δύνοντι, εἰς κώμας τῆς Βαβυλωνίας χώρας· καὶ τοῦτο μὲν οὐκ ἐψεύσθησαν· ἔτι δὲ ἀμφὶ δείλην ἔδοξαν πολεμίους

τοῖς ποιηταῖς εἶναι συνήθης ἡ μετ' αἰτιατικῆς ἁπλῆς σύνταξις.

§. 11. Πορεύεσθαι μακροτέραν] διανύειν μακροτέραν ὁδόν.

§. 12. Πορευτέον δ' ἡμῖν κτλ.] ἀνάγκη δ' οἱ πρῶτοι σταθμοί, οὓς θὰ διανύσωμεν, νὰ εἶναι ὅσον τὸ δυνατὸν μακρότατοι, ν' ἀπέχωσι δηλαδὴ ἀπ' ἀλλήλων ὅσον τὸ δυνατὸν πλεῖστον. Ἴδε Α'. ε. 7. — Οὐκέτι μὴ δύνηται]=σᾶς βεβαιῶ ὅτι δὲν θὰ δυνηθῇ πλέον. Ἀσ. 580. 88. περὶ τὸ μέσον.— Ἐφέπεσθαι] διώκειν.—Στόλον] στρατόν. Α'. β'. 5.

§. 13. Ἦν . . δυναμένη]=ἐδύνατο=ἰσοδυνάμει. Ταύτην δὲ τὴν σημασίαν ἔχει μάλιστα παρὰ γραμματικοῖς.—Ἀποδρᾶναι ἢ ἀποφυγεῖν.] Ἴδε Α'. δ'. 8.— Ἐν δεξιᾷ ἔχοντες τὸν ἥλιον] ἄρα διηυθύνοντο πρὸς βορρᾶν.—Τοῦτο οὐκ ἐψεύσθησαν] ὡς πρὸς τοῦτο δὲν ἠπατήθησαν· διότι ψεύδομαι = οὐ μόνον λέγω ψεύματα, ἀλλὰ καὶ ἀποπλανῶ ἑμαυτόν, ἀπατῶμαι δηλαδή· τὸ δὲ πρᾶγμα, πρὸς ὃ ἀπατώμεθα, τίθεται κατὰ γενικήν. —Ἅμα ἡλίῳ δύνοντι] συγχρόνως τῇ δύσει τοῦ ἡλίου. Ἀσ. 215. 37, 480. 96. Περὶ δὲ τοῦ ἅμα 468. 52.

§. 14. Ἀμφὶ δείλην] ἀμφὶ δείλην

ὁρῶν ἱππέας· καὶ τῶν τε Ἑλλήνων, οἳ μὴ ἔτυχον ἐν ταῖς τάξεσιν ὄντες, εἰς τὰς τάξεις ἔθεον, καὶ Ἀριαῖος— ἐτύγχανε γὰρ ἐφ' ἁμάξης πορευόμενος, διότι ἐτέτρω-
15 το—καταβὰς ἐθωρακίζετο, καὶ οἱ σὺν αὐτῷ. ἐν ᾧ δὲ ὡπλίζοντο, ἦκον λέγοντες οἱ προπεμφθέντες σκοποί, ὅτι οὐχ ἱππεῖς εἰσιν, ἀλλ' ὑποζύγια νέμοιτο. καὶ εὐθὺς ἔγνωσαν πάντες, ὅτι ἐγγύς που ἐστρατοπεδεύετο βασιλεύς· καὶ γὰρ καὶ καπνὸς ἐφαίνετο ἐν κώμαις οὐ
16 πρόσω. Κλέαρχος δὲ ἐπὶ μὲν τοὺς πολεμίους οὐκ ἦγεν – ἤδει γὰρ καὶ ἀπειρηκότας τοὺς στρατιώτας καὶ ἀσίτους ὄντας· ἤδη δὲ καὶ ὀψὲ ἦν — οὐ μέντοι οὐδὲ ἀπέκλινε, φυλαττόμενος, μὴ δοκοίη φεύγειν, ἀλλ' εὐθύωρον ἄγων, ἅμα τῷ ἡλίῳ δυομένῳ, εἰς τὰς ἐγγυτάτω κώμας τοὺς πρώτους ἔχων κατεσκήνωσεν, ἐξ
17 ὧν διήρπαστο ὑπὸ τοῦ βασιλικοῦ στρατεύματος καὶ αὐτὰ τὰ ἀπὸ τῶν οἰκιῶν ξύλα. οἱ μὲν οὖν πρῶτοι ὅμως τρόπῳ τινὶ ἐστρατοπεδεύσαντο· οἱ δὲ ὕστεροι, σκοταῖοι προσιόντες, ὡς ἐτύγχανον, ἕκαστοι ηὐλίζοντο, καὶ κραυγὴν πολλὴν ἐποίουν καλοῦντες ἀλλήλους, ὥστε καὶ τοὺς πολεμίους ἀκούειν. ὥστε οἱ μὲν ἐγγυτάτω τῶν πολεμίων καὶ ἔφυγον ἐκ τῶν σκηνωμάτων.
18 δῆλον δὲ τοῦτο τῇ ὑστεραίᾳ ἐγένετο· οὔτε γὰρ ὑπο-

πρωΐαν—τἀπομεσήμερον. Ἴδε Α'. ἡ. 1.—Ἐθωρακίζετο]=ὡπλίζετο.

§. 15. Ἦκον λέγοντες ὅτι .. εἰσίν, ἀλλ' .. νέμοιτο] τὸ εἰσὶν εἶναι βέβαιον, τὸ νέμοιτο ἀμφίβολον. Ἴδε Β'. ἀ. 3. ἔλεγον ὅτι Κῦρος τέθνηκε. Ἀριαῖος δὲ πεφευγὼς εἴη. — Καὶ γὰρ καὶ καπνὸς] διότι μάλιστα καὶ καπνός. Ἴδε Β'. ἀ. 7.

§ 16. Ἀπειρηκότας] κουραομένους. Ἴδε Α'. ε. 3.—Ἀπέκλινε]=ἠλλαξε διεύθυνσιν. Ταύτην ἔχει τὴν σημασίαν ἐν τοῖς στρατιωτικοῖς μάλιστα.— Φυλαττόμενος] προφυλαττόμενος, προσέχων μή. Ταυτην τὴν σημασίαν ἔχει, ὅταν ἔχῃ ἐπιφερόμενον μή, ὥστε μὴ καὶ εἴ τι τοιοῦτο. — Εὐθύωροι] κατ' εὐθεῖαν κυρίως= προσέχων ὥστε νὰ πορεύηται εὐθύ· ἐκ τοῦ εὐθύ καὶ ὥρα=προσοχή.— Τὰ ἀπὸ τῶν οἰκιῶν] = τὰ ἐν ταῖς οἰκίαις. ἐννοεῖ δὲ τὴν οἰκοδομήσιμον ξυλείαν.

§. 17. Οἱ μὲν οὖν πρῶτοι ὅμως τρόπῳ τινὶ ἐστρατοπεδεύσαντο]=Ἀλλ' ὅπως καὶ ἂν εἶχον ταῦτα, οἱ πρῶτοι, εἰ καὶ πάντα διηρπασμένα ἦν, ὅμως ὁπωσδήποτε ἐστρατοπεδεύσαντο. Τὸ μὲν οὖν =ἀλλ' ὅπως καὶ ἂν εἶχον ταῦτα. Ἴδε Α'. β'. 12. Τὸ δὲ ὅμως ἀντιτίθεται εἰς οἴκοθεν ἐννοουμένην

ζύγιον ἔτ' οὐδὲν ἐφάνη οὔτε στρατόπεδον οὔτε κα-
πνὸς οὐδαμοῦ πλησίον. ἐξεπλάγη δέ, ὡς ἔοικε, καὶ βασιλεὺς τῇ ἐφόδῳ τοῦ στρατεύματος. ἐδήλωσε δὲ τοῦτο, οἷς τῇ ὑστεραίᾳ ἔπραττε. προϊούσης μέντοι τῆς 19
νυκτὸς ταύτης, καὶ τοῖς Ἕλλησι φόβος ἐμπίπτει, καὶ θόρυβος καὶ δοῦπος ἦν, οἷον εἰκός, φόβου ἐμπεσόντος, γίγνεσθαι. Κλέαρχος δὲ Τολμίδην Ἠλεῖον, ὃν ἐτύγχα- 20
νεν ἔχων παρ' ἑαυτῷ κήρυκα ἄριστον τῶν τότε, τοῦτον ἀνειπεῖν ἐκέλευσε σιγὴν κατακηρύξαντα, ὅτι προαγορεύουσιν οἱ ἄρχοντες, ὃς ἂν τὸν ἀφέντα τὸν ὄνον εἰς τὰ ὅπλα μηνύσῃ, ὅτι λήψεται μισθὸν τάλαντον ἀργυρίου. ἐπεὶ δὲ ταῦτα ἐκηρύχθη, ἔγνωσαν οἱ στρα- 21
τιῶται, ὅτι κενὸς ὁ φόβος εἴη καὶ οἱ ἄρχοντες σῷ. ἅμα δὲ ὄρθρῳ παρήγγειλεν ὁ Κλέαρχος εἰς τάξιν τὰ ὅπλα τίθεσθαι τοὺς Ἕλληνας, ἥπερ εἶχον, ὅτε ἦν ἡ μάχη.

γ'. Ὃ δὲ δὴ ἔγραψα, ὅτι βασιλεὺς ἐξεπλάγη τῇ 1

πρόταξιν ἐναντιωματικήν, εἰ καὶ πάντα διηρπασμένα ἦν.— Σκοταῖοι] ἐν σκότῳ, τὴν νύκτα. Ἀσ. 547. 36 —Ηὐλίζοντο] ἐν ὑπαίθρῳ ἐστρατοπεδεύοντο· διότι αὐλὴ κυρίως = τόπος ἀνοικτός, παντὶ ἀνέμῳ διαπνεόμενος, ἔπειτα ὁ πρὸ τοῦ οἴκου περιπεφραγμένος χῶρος καὶ τὸ μέγαρον. Πολλάκις δὲ αὐλίζομαι=κατασκηνῶ. διαφέρουσι δ' ἀμφότερα τοῦ στρατοπεδεύω ἢ καταστρατοπεδεύω, ὅτι περὶ τὸ στρατόπεδον ὠρυσσον τάφρους καὶ χαρακώματα, ἵνα μὴ εἶναι εὐάλωτοι ὑπὸ τῶν πολεμίων.

§. 19. Οἷον εἰκός .. γίγνεσθαι] ὅστις εἶναι φυσικῶς ἑπόμενον νὰ γίγνηται διότι εἰκὸς= τὸ φυσικῶς ἑπόμενον, τὸ πιθανόν.

§. 20 Ἀνειπεῖν]=ἀνακηρύξαι· τὸ δὲ κατακηρύττω σιγην= ἐπιβάλλω. Ἀμφότερα ἐπὶ κηρυκων ἀνακοινούντων τι εἰς τὸ δημόσιον. —Προαγορεύουσι] = ὑπισχνοῦνται. Κυρίως προαγορεύω= προλέγω ἢ προειδοποιῶ ἤτοι ἀμέσως ἢ διὰ κήρυκος.—Ὃς τὸν ἀφέντα τὸν ὄνον εἰς τὰ ὅπλα μηνύσῃ] τοῦτο ἦτο εὐφυέστατον ἐπινόημα τοῦ Κλεάρχου, ἵνα ἀπαλλαξῃ τὸν στρατὸν τοῦ φόβου· Ὁ γὰρ φόβος, ψευδὴς μάντις, ἃ δέδοικε, ταῦτα οἴήσεται καὶ γενέσθαι· καὶ πᾶν τὸ ἐν νυκτί, κἂν σμικρὸν ᾖ, φοβερώτερον τοῖς πολιορκουμένοις. Ὀνησάνδρου Κεφ. Μ'. Β'. §. 1.— Εἰς τὰ ὅπλα] εἰς τὸ ὁπλοστάσιον. Α'. ε. 17.

§ 21. Ἥπερ εἶχον] ἵν εἶχον κυρίως, Τίθεσθαι τὰ ὅπλα εἰς τάξιν τοιαύτην, ἥπερ εἶχον τάξεως= ὡς εἶχον τάξεως = ὡς ἦσαν τεταγμένοι. Ἴδε καὶ Α'. Γ'. 10. εἰς τὸ αὐτὸ σχῆμα .. ὥσπερ.

Κεφ. γ'. §. 1 Περὶ σπονδῶν] Α'. 6'. 7.

ἐφόδῳ, τῷδε δῆλον ἦν· τῇ μὲν γὰρ πρόσθεν ἡμέρᾳ πέμπων τὰ ὅπλα παραδιδόναι ἐκέλευε· τότε δέ, ἅμα ἡλίῳ ἀνατέλλοντι, κήρυκας ἔπεμψε περὶ σπονδῶν. οἱ 2 δ', ἐπεὶ ἦλθον πρὸς τοὺς προφύλακας, ἐζήτουν τοὺς ἄρχοντας. ἐπειδὴ δὲ ἀπήγγελλον οἱ προφύλακες, Κλέαρχος, τυχὼν τότε τὰς τάξεις ἐπισκοπῶν, εἶπε τοῖς προφύλαξι κελεύειν τοὺς κήρυκας περιμένειν, ἄχρι 3 ἂν σχολάσῃ. ἐπεὶ δὲ κατέστησε τὸ στράτευμα, ὥστε καλῶς ἔχειν ὁρᾶσθαι πάντῃ φάλαγγα πυκνήν, τῶν δὲ ἀόπλων μηδένα καταφανῆ εἶναι, ἐκάλεσε τοὺς ἀγγέλους, καὶ αὐτός τε προῆλθε, τούς τε εὐοπλοτάτους ἔχων καὶ εὐειδεστάτους τῶν αὐτοῦ στρατιωτῶν, καὶ 4 τοῖς ἄλλοις στρατηγοῖς ταὐτὰ ἔφρασεν. ἐπεὶ δὲ ἦν πρὸς τοῖς ἀγγέλοις, ἀνηρώτα, τί βούλοιντο. οἱ δ' ἔλεγον, ὅτι περὶ σπονδῶν ἥκοιεν, ἄνδρες, οἵτινες ἱκανοὶ ἔσονται τά τε παρὰ βασιλέως τοῖς Ἕλλησιν ἀπαγγεῖ- 5 λαι καὶ τὰ παρὰ τῶν Ἑλλήνων βασιλεῖ. ὁ δὲ ἀπεκρίνατο, Ἀπαγγέλλετε τοίνυν αὐτῷ, ὅτι μάχης δεῖ πρῶτον· ἄριστον γὰρ οὐκ ἔστιν οὐδ' ὁ τολμήσων περὶ σπονδῶν λέγειν τοῖς Ἕλλησι, μὴ πορίσας ἄριστον. 6 ταῦτα ἀκούσαντες οἱ ἄγγελοι, ἀπήλαυνον καὶ ἦκον

§. 2. *Τὰς τάξεις*] τὰ σώματα τοῦ στρατοῦ, ὡς λέγουσι σήμερον. διότι τάξεις, πληθυντικῶς, τὰ μέλη τοῦ ὅλου στρατοῦ· διότι συνηθέστερον ἔταττον τὴν φάλαγγα διῃρημένην εἰς κέντρον καὶ κέρατα, ἑκατέρωθεν δὲ τὸ ἱππικὸν εἰς δύο διῃρημένον· πρὸ δὲ τῆς φάλαγγος τοὺς ψιλούς, τοξότας, ἀκοντιστὰς καὶ σφενδονήτας.—*Ἐπισκοπῶ*]=ἐπιθεωρῶ, ὡς λέγει σήμερον ἡ στρατιωτικὴ τέχνη.

§. 3. *Ὥστε καλῶς ἔχειν ὁρᾶσθαι πάντῃ φάλαγγα πυκνήν*] = ὥστε ἔχειν ὁρᾶσθαι καλῶς πάντῃ φάλαγγα πυκνήν = ὥσε νὰ εἶναι δυνατὸν νὰ φαίνηται καλῶς παντοῦ ἡ φάλαγξ πυκνή. *Περὶ τοῦ φάλαγξ*=ἡ φάλαγξ. *Ἴδε Ἀσ.* 143. 30.—*Φάλαγξ πυκνή*] ἔνοπλος· διότι ἡ ἔλλειψις δοράτων μάλιστα καὶ ἀσπίδων ἀραιὰν τὴν φάλαγγα δεικνύουσιν.

§. 4. *Τί βούλοιντο*] *Ἴδε Ἀσ.* 815. 67.—*Ὅτι ἥκοιεν*] *Ἴδε Β'. ά.* 3.—*Ἄνδρες, οἵτινες κτλ.*]=ὄντες ἄνδρες τοιοῦτοι, ὥστε ἱκανοὶ ἔσεσθαι . . ἀπαγγεῖλαι. *Ἀσ.* 119. 79.

§. 5. *Ἄριστον*] γεῦμα. *Ἴδε Α'. Γ.* 19.—*Οὐδ' ὁ τολμήσων*] οὐδ' ἀνήρ, ὃς τολμήσει. *Ἴδε Ἀσ.* 532. 138.

§. 6. *Οἱ αὐτούς . . ἄξουσιν ἔνθεν*] οἱ ἄξουσιν αὐτοὺς εἰς τόπους, ἀφ' ὧν.

ταχύ· ὣ καὶ δῆλον ἦν, ὅτι ἐγγύς που βασιλεὺς ἦν ἢ ἄλλος τις, ᾧ ἐπετέτακτο ταῦτα πράττειν· ἔλεγον δέ, ὅτι εἰκότα δοκοῖεν λέγειν βασιλεῖ, καὶ ἥκοιεν ἡγεμόνας ἔχοντες, οἳ αὐτούς, ἐὰν σπονδαὶ γένωνται, ἄξουσιν, ἔνθεν ἔξουσι τὰ ἐπιτήδεια. ὁ δὲ ἠρώτα, εἰ αὐτοῖς 7 τοῖς ἀνδράσι σπένδοιτο, ἰοῦσι καὶ ἀπιοῦσιν, ἢ καὶ τοῖς ἄλλοις ἕσοιντο σπονδαί. οἱ δέ, Ἅπασιν, ἔφασαν, μέχρι ἂν βασιλεῖ τὰ παρ' ὑμῶν διαγγελθῇ. ἐπεὶ δὲ ταῦτα 8 εἶπον, μεταθηβάμενος αὐτοὺς ὁ Κλέαρχος, ἐβουλεύετο· καὶ ἐδόκει τὰς σπονδὰς ποιεῖσθαι ταχὺ καὶ καθ' ἡσυχίαν ἐλθεῖν τε ἐπὶ τὰ ἐπιτήδεια καὶ λαβεῖν. ὁ δὲ 9 Κλέαρχος εἶπε, Δοκεῖ μὲν κἀμοὶ ταῦτα· οὐ μέντοι ταχύ γε ἀπαγγελῶ, ἀλλὰ διατρίψω, ἕστ' ἂν ὀκνήσωσιν οἱ ἄγγελοι, μὴ ἀποδόξῃ ἡμῖν τὰς σπονδὰς ποιήσασθαι· οἶμαί γε μέντοι, ἔφη, καὶ τοῖς ἡμετέροις στρατιώταις τὸν αὐτὸν φόβον παρέσεσθαι. ἐπεὶ δὲ ἐδόκει καιρὸς εἶναι, ἀπήγγελλεν, ὅτι σπένδοιτο, καὶ εὐθὺς ἡγεῖσθαι ἐκέλευε πρὸς τἀπιτήδεια. καὶ οἱ μὲν ἡγοῦν- 10

§. 7. *Εἰ αὐτοῖς τοῖς ἀνδράσι σπένδοιτο, ἰοῦσι καὶ ἀπιοῦσι*] ὁ δὲ *Κλέαρχος ἠρώτα, ἂν μὲ μόνους αὐτοὺς τοὺς ἄνδρας, οἵτινες ἦλθον καὶ ἀπῆλθον, μέλλει νὰ συνθηκολογήσῃ (νὰ κάμῃ ἀνακωχὴν) ἢ καὶ μὲ τοὺς ἄλλους. Ταῦτα δὲ εἶπεν ὁ Κλέαρχος, ἵνα μὴ ἀφήσῃ τι ἀμφίβολον, ἐξ οὗ οἱ βάρβαροι, φύσει ἄπιστοι ὄντες καὶ σοφισταί, ἠδύναντο νὰ λάβωσιν ἀφορμὴν ἵνα παραβῶσι τὰς σπονδὰς δι' ἄλλων παρὰ τοὺς ἐλθόντας καὶ ἀπελθόντας ἀνδρῶν ἢ στρατηγῶν. —*Μέχρις ἂν βασιλεῖ τὰ παρ' ὑμῶν διαγγελθῇ*] *μέχρις οὗ δι' ἀγγέλων ἀνακοινωθῶσι τὰ παρ' ὑμῶν εἰς τὸν βασιλέα. Ὥστε ἡ ἀνακωχὴ ἔμελλε νὰ εἶναι προσωρινή, ὅπερ δὲν ἦτο ὠφέλιμον τοῖς Ἕλλησι, διότι πιθανὸν ἦτο ὁ βασιλεὺς, συναθροίσας τὸν διεσκορπισμένον στρατόν του καὶ παρασκευασθεὶς (ἴδε Ε'. δ'. 3), νὰ ἐπιτεθῇ αὐτοῖς, ἀφοῦ πρότερον τοῖς ἀνήγγελλεν ὅτι δὲν δέχεται τὰς σπονδάς· δι' ὃ οἱ Ἕλληνες στρατηγοὶ ἐσκέπτοντο. Ὁ βασιλεὺς ὅμως ἐδέξατο τὰς σπονδάς, *Ἴδε Β'. γ'. 25, ἵνα τὰς παραβῇ ἀσεβέστατα, *ἴδε Β'. ε'.* 31. —*Καὶ ἐδόκει*] τοῖς ἄλλοις στρατηγοῖς.

§. 9. *Ἕστ' ἂν ὀκνήσωσι*] ἕως οὗ φοβηθῶσι· κυρίως ὀκνῶ μεταβατικῶς = ἐξ ὑποψίας διστάζω νὰ κάμω τι.—*Ἀποδόξῃ ποιήσασθαι*]=δόξῃ ἡμῖν μὴ ποιήσασθαι = μὴ ἀποφασίσωμεν νὰ μὴ κάμωμεν τὰς σπονδάς. *Ἀσ.* 590. 26.—*Παρέσεσθαι*] ὅτι θὰ ἐπέλθῃ. *Α'. β'.* 2.

§. 10. *Τὰς μὲν σπονδὰς ποιησάμενος, τὸ δὲ στράτευμα ἔχων*

τον Κλέαρχος μέντοι ἐπορεύετο τὰς μὲν σπονδὰς ποιησάμενος, τὸ δὲ στράτευμα ἔχων ἐν τάξει, καὶ αὐτὸς ὡπισθοφυλάκει. καὶ ἐπεὶ ἔγγαιον τάφροις καὶ αὐλῶσιν
11 ὕδατος πλήρεσιν, ὡς μὴ δύνασθαι διαβαίνειν ἄνευ γεφυρῶν· ἀλλ' ἐποιοῦντο ἐκ τῶν φοινίκων, οἳ ἦσαν ἐκπεπτωκότες, τοὺς δὲ καὶ ἐξέκοπτον. καὶ ἐντεῦθεν ἦν Κλέαρχον καταμαθεῖν, ὡς ἐπεστάτει, ἐν μὲν τῇ ἀριστερᾷ χειρὶ τὸ δόρυ ἔχων, ἐν δὲ τῇ δεξιᾷ βακτηρίαν, καί, εἴ τις αὐτῷ δοκοίη τῶν πρὸς τοῦτο τεταγμένων βλακεύειν, ἐκλεγόμενος τὸν ἐπιτήδειον, ἔπαιεν ἂν, καὶ ἅμα αὐτὸς προσελάμβανεν εἰς τὸν πηλὸν ἐμβαίνων. ὥστε πᾶσιν αἰσχύνην εἶναι μὴ οὐ δυ-
12 σπονδάζειν. καὶ ἐπῆλθόν μὲν πρὸς αὐτοῦ οἱ τριάκοντα ἔτη γεγονότες· ἐπεὶ δὲ καὶ Κλέαρχον ἑώρων σπονδάζοντα, προσελάμβανον καὶ οἱ πρεσβύτεροι. πο-
13 λὺ δὲ μᾶλλον ὁ Κλέαρχος ἔσπευδεν, ὑποπτεύων, μὴ ἐπὶ οὕτω πλήρεις εἶναι τὰς τάφρους ὕδατος· οὐ γὰρ ἦν ὥρα οἷα τὸ πεδίον ἄρδειν. ἀλλ', ἵνα ἤδη πολλὰ

προφαίνοιτο τοῖς Ἕλλησι δεινα εἰς τὴν πορείαν, τούτου ἕνεκα βασιλέα ὑπώπτευεν ἐπὶ τὸ πεδίον τὸ ὕδωρ ἀφεικέναι. πορευόμενοι δὲ ἀφίκοντο εἰς κώμας, ὅθεν 14
ἀπέδειξαν οἱ ἡγεμόνες λαμβάνειν τὰ ἐπιτήδεια. ἐνῆν δὲ σῖτος πολὺς καὶ οἶνος φοινίκων καὶ ὄξος ἐψητὸν ἀπὸ τῶν αὐτῶν. αὐταὶ δὲ αἱ βάλανοι τῶν φοινίκων, 15
οἵας μὲν ἐν τοῖς Ἕλλησιν ἔστιν ἰδεῖν, τοῖς οἰκέταις ἀπέκειντο, αἱ δὲ τοῖς δεσπόταις ἀποκείμεναι ἦσαν ἀπόλεκτοι, θαυμάσιαι τοῦ κάλους καὶ μεγέθους, ἡ δὲ ὄψις ἠλέκτρου οὐδὲν διέφερε· τὰς δέ τινας, ξηραίνοντες, τραγήματα ἀπετίθεσαν. καὶ ἦν καὶ παρὰ πότον ἡδὺ μέν, κεφαλαλγὲς δέ. ἐνταῦθα καὶ τὸν ἐγκέφαλον 16
τοῦ φοίνικος πρῶτον ἔφαγον οἱ στρατιῶται, καὶ οἱ πολλοὶ ἐθαύμασαν τό τε εἶδος καὶ τὴν ἰδιότητα τῆς ἡδονῆς. ἦν δὲ σφόδρα καὶ τοῦτο κεφαλαλγές. ὁ δὲ φοῖνιξ, ὅθεν ἐξαιρεθείη ὁ ἐγκέφαλος, ὅλος αὐαίνετο·
Ἐνταῦθα ἔμειναν ἡμέρας τρεῖς· καὶ παρὰ μεγάλον 17

ἐν τάξει] = ἐπορεύετο ἔχων τὸ στράτευμα ἐν τάξει, καίπερ τῆς ὁδοῦ παντοίας. Ἀν. 633. 11 καὶ 13. — Ἀνέβαινε] ἀγγεῖα, ὡς λέγει κατωτέρω, Κεφ. δ'. § 13. Ἀνέβαινον ὅμως οἱ σφενδονῆται λέγονται καὶ οἱ καταδρομεῖς.— Τοὺς δὲ καὶ ἐξέκοπτον] =ἐλλὰ καὶ ἐξέκοπτόν τινας. Ἰδε Α'. δ'. 7. σφενδονῆς δὲ καὶ πάντων.

§. 11. Ἦν Κλέαρχον καταμαθεῖν ὡς ἐπεστάτει κτλ.] = Ἦν καταμαθεῖν, ὡς ἐπεστάτει Κλέαρχος· ἐν μὲν γὰρ τῇ ἀριστερᾷ τὸ δόρυ εἶχε κτλ. Τὸ Κλέαρχον καταμαθεῖν ὡς ἐπεστατει οὕτω κατὰ σχῆμα προλήψεως. Ἀν. 916. 173. Τὸ δὲ ὡς ἐπεστατει οὕτω πλαγία ἐρώτησις. Ἰδε Α'. γ'. 11. Καὶ ἔρξατο μὲν ἐπιξηράν τοῦτο διὰ τριακοντα μυριάδων, ἀλλ' ἐβιάσθη νὰ τρέψῃ τὸ λοιπὸν τῆς ἐπεξηγήσεως εἰς ὀρθὸν λόγον ἀνακολουθως. Ἰδε Ἀν. 923. 202. —Βλακεύειν) = βλακώδως ἢ ὀκνηρῶς ἐργαζεσθαι.— Τὸν ἐπιτήδειον]=τὸν ἐπιτήδειον παιεσθαι =ἐκεῖνον, ὅστις τῷ ἔφαινε νὰ δοκῇ δειλὸς ἐπιτήδειος οὐ μόνον νὰ προξῇ, ἀλλὰ καὶ νὰ παθῇ ὄξως. Ἐπιτήδειοι παθεῖν γυναῖκες, λέγει ὁ Δημοσθένης ἐν 22. 57.— Βακτηρίαν) παρὰ Λακεδαιμονίοις οἱ στρατηγοὶ ἔτυπτον μὲ βακτηρίαν τοὺς στρατιώτας, ἐνίοτε δὲ καὶ τοὺς λοχαγούς, ἂν μὴ ἐπείσαν καλῶς τὸ προστασσόμενον. Θουκιδ. Ζ'. 84. Ξενοφ. Ἑλλην. ϛ'. β'. 19.—Ἔπαιεν ἄν] ἀντὶ τοῦ ἁπλοῦ ἔπαιε διότι ὁ ἂν μετὰ τῶν παρῳχημένων τῆς ὁριστικῆς σημαίνει τι ὅπερ ἂν ἔχουσιν ἢ ἂν γίγνεται. Ἰδε Γ'. Σ. Β'.

§. 12. Οὐ γὰρ ἦν ἄρα οἷα τὸ πεδίον ἄρδειν] διότι δὲν ἦτο ὥρα (τοῦ ἔτους) κατάλληλος εἰς ἄρδευσιν τῆς πεδιάδος. Ἴδε Ἀν. 119. 80.

§. 14. Εἰς κώμας, ὅθεν] εἰς κώμας, ἀφ' ὧν. Ἴδε Α'. γ'. 17. —Ὄξος ἐψητὸν] ὑπόξινος οἶνος ἐκ βαλάνων παρεσκευασμένος διὰ ζυμώσεως, ὅπως παρ' ἡμῖν ὁ δριμὺς (μπροῦσκος) οἶνος· ὁ δὲ οἶνος ἐκ βαλάνων ἀμέσως ἐκπιεσθεισῶν, πρὶν ἀφεθῶσιν ἡμέρας τινὰς πρὸς ζύμωσιν ἤ, ὡς λέγομεν κοινῶς, πρὸς βράσιν, ἦτο γλυκύτερος.

§. 15. Βάλανοι] αἱ χουρμάδες· βάλανος ὅμως λέγεται ὁ καρπὸς τῆς δρυός, τὸ βαλανίδιον, καὶ πᾶς καρπὸς ὁμοιάζων τούτῳ. — Ἀπέκειντο] ἀποταμιευμέναι ἢ ἀποθηκευμέναι ἦσαν. — Τὰς δέ τινας] ἄλλας δέ τινας.— Τραγήματα] τὰ μετὰ τὸ φαγητὸν τρωγάλια, ἀμύγδαλα, κάρυα, βάλανοι, σταφίδες, γλυκύσματα καὶ εἴ τις τοιοῦτος ἀπὸ πολλοῦ ἀποταμιευμένος καρπός, καὶ κατὰ τοῦτο διαφέρουσι τῶν ὀπωρῶν, φρούτων ἰταλικώτερον.— Τραγήματα ἀπετίθεσαν] ἀπεταμίευον ὥστε νὰ τὰς ἔχωσι τραγήματα. Ἀν. 267. 31. —Παρὰ πότον]= πινόμενα. Ἀν. 628. 164.— Ἡδὺ μέν, κεφαλαλγὲς δὲ] ἀντὶ ἡδέα μέν, κεφαλαλγῆ δέ, ὁ οἶνος καὶ τὸ ἐψητὸν ὄξον δηλαδή.—Ἐγκέφαλον] ψίχαν, θὰ εἴπωμεν ἡμεῖς· εἶναι δὲ ὁ ἐγκέφαλος τοῦ φοίνικος βλαστός τις ἐν τῇ κορυφῇ τοῦ δένδρου ἐγκλειον ἐν ἑαυτῷ πάνυ ἁπαλὰ τὰ ὕστατα φύλλα μετὰ τῶν ἀνθέων, καὶ διαρκῶν περὶ τὰς δέκα ἡμέρας, πρὶν ἐξ αὐτοῦ φυῶσι τὰ ἄνθη.—Αὐαίνετο] ἐξηραίνετο.

§. 17. Ἀπήντησαν] προῆλθον εἰς συνάντησιν.

βασιλέως ἦκε Τισσαφέρνης καὶ ὁ τῆς βασιλέως γυναικὸς ἀδελφὸς καὶ ἄλλοι Πέρσαι τρεῖς· δοῦλοι δὲ πολλοὶ εἵποντο. ἐπεὶ δὲ ἀπήντησαν αὐτοῖς οἱ τῶν Ἑλλήνων στρατηγοί, ἔλεγε πρῶτος Τισσαφέρνης δι' 18 ἑρμηνέως τοιάδε, Ἐγώ, ὦ ἄνδρες Ἕλληνες, γείτων οἰκῶ τῇ Ἑλλάδι· καὶ ἐπεὶ ὑμᾶς εἶδον εἰς πολλὰ κἀμήχανα πεπτωκότας, εὕρημα ἐποιησάμην, εἴ πως δυναίμην παρὰ βασιλέως αἰτήσασθαι δοῦναι ἐμοὶ ἀποσῶσαι ὑμᾶς εἰς τὴν Ἑλλάδα. οἶμαι γὰρ ἂν οὐκ ἀχαρίστως μοι ἔχειν οὔτε πρὸς ὑμῶν οὔτε πρὸς τῆς 19 πάσης Ἑλλάδος. ταῦτα δὲ γνούς, ἠτούμην βασιλέα, λέγων αὐτῷ, ὅτι δικαίως ἄν μοι χαρίζοιτο, ὅτι αὐτῷ Κῦρόν τε ἐπιστρατεύοντα πρῶτος ἤγγειλα καὶ βοηθειαν ἔχων ἅμα τῇ ἀγγελίᾳ ἀφικόμην, καὶ μόνος τῶν κατὰ τοὺς Ἕλληνας τεταγμένων οὐκ ἔφυγον, ἀλλὰ διήλασα καὶ συνέμιξα βασιλεῖ ἐν τῷ ὑμετέρῳ στρατοπέδῳ, ἔνθα βασιλεὺς ἀφίκετο, ἐπεὶ Κῦρον ἀπέκτεινε, καὶ τοὺς σὺν Κύρῳ βαρβάρους ἐδίωξα σὺν τοῖσδε τοῖς παροῦσι νῦν μετ' ἐμοῦ, οἵπερ αὐτῷ εἰσι πιστό-

§. 18. *Γείτων οἰκῶ τῇ Ἑλλάδι*] =γείτων εἰμὶ τῇ Ἑλλάδι ἢ οἰκῶ παρὰ τὴν Ἑλλάδα. *Ἀσ.* 196. 16 καὶ 18. *Ἦτο δὲ ὁ Τισσαφέρνης* σατράπης Ἰωνίας. *Ἴδε Α'. ά.* 6. —*Εὕρημα ἐποιησάμην*] εὐτύχημά μου ἐθεώρησα· διότι εὕρημα εἶναι καὶ τὸ ἀνέλπιστον κέρδος. *Ἴδε Ζ'. γ'.* 13. — *Εἴ πως ἂν μὲ οἱονδήποτε τρόπον. Ταὐτὸ κατωτέρω λέγει ὅπως εἰ δυναίμην. Παράβαλε τὸ Β'. έ.* 4. *πρὸς τὸ Β'. έ.* 2.—*Ἀποσῶσαι εἰς Ἑλλάδα*] αἰσίως νὰ σᾶς ἐπαναφέρω εἰς τὴν Ἑλλάδα. *Ἴδε Α'. β'.* 24. *τὴν πόλιν ἐξέλιπον εἰς χωρίον.* — *Οἶμαι γὰρ ἂν οὐκ ἀχαρίστως ἕξειν*]= οἶμαι γὰρ ὅτι, ἂν ἀποσώσω ὑμᾶς εἰς τὴν Ἑλλάδα, οὐκ ἄν μοι ἀχάριστον ἔσοιτο. *Ἔχω ἀχαρίστως*=ἔστι μοι ἀχάριστον. *Ἴδε Α'. ή.* 13. *Ἀχάριστον δὲ τὸ ἄνευ ἀνταμοιβῆς· τὸ δὲ πρὸς ὑμῶν καὶ πρὸς τῆς Ἑλλάδος ποιητικὸν αἴτιον τοῦ ἀχαρίστως. Ἄρα τὸ ὅλον*=*Νομίζω ὅτι θ' ἀνταμειφθῶ καὶ ὑφ' ὑμῶν κτλ.*

§. 19. *Ταῦτα γνούς*] τοιαύτην γνώμην σχηματίσας· διότι ἔγνωκα καὶ ἔγνων πολλάκις= οὕτως ἔχω γνώμης, ταύτην τὴν γνώμην ἢ ἰδέαν ἐσχημάτισα ἢ ἔχω ἐσχηματισμένην. *Ἴδε* καὶ *Β'. έ.* 16. —*Ἠτούμην βασιλέα*] παρεκάλουν τὸν βασιλέα· διότι αἰτοῦμαί τι παράτινος = αἰτῶ παρ' αὐτοῦ· αἰτοῦμαί τινα = παρακαλῶ· ἐπ' ἀμφοτέρων δὲ τῶν σημασιῶν δέχεται καὶ ἀπαρέμφα-

τατοι. καὶ περὶ μὲν τούτων ὑπέσχετό μοι βουλεύσε- 20
σθαι· ἐρέσθαι δέ με ὑμᾶς ἐκέλευσεν ἐλθόντα, τίνος ἕνεκεν ἐστρατεύσατε ἐπ' αὐτόν. καὶ συμβουλεύω ὑμῖν μετρίως ἀποκρίνασθαι, ἵνα μοι εὐπρακτότερον ᾖ, ἐάν τι δύνωμαι ἀγαθὸν ὑμῖν παρ' αὐτοῦ διαπράξασθαι. πρὸς ταῦτα, μεταστάντες οἱ Ἕλληνες, ἐβουλεύοντο· 21
καὶ ἀπεκρίναντο, Κλέαρχος δ' ἔλεγεν, Ἡμεῖς οὔτε συνήλθομεν ὡς βασιλεῖ πολεμήσοντες οὔτ' ἐπορευόμεθα ἐπὶ βασιλέα, ἀλλὰ πολλὰς προφάσεις Κῦρος ηὗρισκεν, ὡς καὶ σὺ εὖ οἶσθα, ἵνα ὑμᾶς τε ἀπαράσκευους λάβοι καὶ ἡμᾶς ἐνθάδε ἀναγάγοι. ἐπεὶ μέντοι ἤδη 22
αὐτὸν ἑωρῶμεν ἐν δεινῷ ὄντα, ἠσχύνθημεν καὶ θεοὺς καὶ ἀνθρώπους προδοῦναι αὐτόν, ἐν τῷ πρόσθεν χρόνῳ παρέχοντες ἡμᾶς αὐτοὺς εὖ ποιεῖν. ἐπεὶ δὲ Κῦρος τέθνηκεν, οὔτε βασιλεῖ ἀντιποιούμεθα τῆς 23
ἀρχῆς οὔτ' ἔστιν ὅτου ἕνεκα βουλοίμεθ' ἂν τὴν βασιλέως χώραν κακῶς ποιεῖν, οὐδ' αὐτὸν ἀποκτεῖναι ἂν ἐθέλοιμεν, πορευοίμεθα δ' ἂν οἱκαδε, εἴ τις ἡμᾶς μὴ λυποίη· ἀδικοῦντα μέντοι πειρασόμεθα σὺν τοῖς θεοῖς ἀμύνασθαι· ἐὰν μέντοι τις ἡμᾶς καὶ εὖ ποιῶν ὑπάρχῃ, καὶ τούτου εἰς γε δύναμιν οὐχ ἡττησόμεθα εὖ ποιοῦντες. ὁ μὲν οὕτως εἶπεν· ἀκούσας δὲ ὁ 24

τον.—*Κατὰ τοὺς Ἕλληνας*] ἀπέναντι ἢ ἐναντίον τῶν Ἑλλήνων. *Ἴδε Α'. ή.* 21. — *Διήλασα κτλ.*] *Ἴδε Α'. ί.* 7.

§. 20. *Μετρίως*] μετριοφρόνως ἢ φρονίμως, εὐχὶ δηλαδὴ ἀλαζονικῶς. —*Ἵνα μοι εὐπρακτότερον ᾖ*] ἀπὸ κοινοῦ ἐννοεῖται τὸ κατωτέρω διαπράξασθαι=ἵνα δυνηθῶ νὰ κατορθώσω μετὰ μείζονος εὐκολίας.—*Ἐάν τι*]=ὅ τι. *Ἴδε Β'. ά.* 8.

§. 21. *Ὡς πολεμήσοντες*]=ἵνα πολεμήσωμεν. Τελικὴ μετοχή. *Ἴδε Ἀσ.* 468. 53.

§. 22. *Παρέχοντες ἡμᾶς αὐτοὺς εὖ ποιεῖν*] = ἀνεχόμενοι νὰ μᾶς εὐεργετῇ. *Διότι παρέχω ἄλλο τι μετ' ἀπαρεμφάτου* = ἀφίνω, ἐπιτρέπω. *Ἴδε Β'. ά.* 11. *ἀλλὰ παρέχω ἐμαυτον μετ' ἀπαρεμφάτου*= ἀνέχομαι ἢ ἀφιεροῦμαι. *Ἴδε* καὶ *ΣΤ'. ς'.* 18.

§. 23. *Ἀντιποιούμεθα*] ἴδε *Β'. ά.* 11. —*Μὴ λυποίη*] δὲν ἤθελε μᾶς ἐνοχλήσει.—*Εὖ ποιῶν ὑπάρχῃ*] ἀρχίσῃ πρῶτος νὰ μᾶς εὐεργετῇ *Ἴδε* καὶ *Ε'. έ.* 9. — *Οὐχ ἡττησόμεθα εὖ ποιοῦντες*] δὲν θὰ φανῶμεν ὑποδεέστεροι ὡς πρὸς τὰς εὐεργεσίας. *Ἴδε Α'. Θ'.* 11. *ἔς τε νικῶν . . ἀλεξόμενος.*

§ 24. *Ἦκω*]=ἐπανέλθω *Β'. ά.* 9. — *Μενόντων*] μενέτωσαν. *Προ-*

Τισσαφέρνης ἔφη, Ταῦτα ἐγὼ ἀπαγγελῶ βασιλεῖ καὶ ὑμῖν πάλιν τὰ παρ' ἐκείνου· μέχρι δ' ἂν ἐγὼ ἥκω, αἱ σπονδαὶ μενόντων· ἀγορὰν δὲ ἡμεῖς παρέξομεν. καὶ εἰς μὲν τὴν ὑστεραίαν οὐχ ἧκεν· ὥσθ' οἱ Ἕλληνες ἐφρόντιζον· τῇ δὲ τρίτῃ ἥκων ἔλεγεν, ὅτι διαπεπραγμένος ἥκοι παρὰ βασιλέως δοθῆναι αὐτῷ σώζειν τοὺς Ἕλληνας, καίπερ πάνυ πολλῶν ἀντιλεγόντων, ὡς οὐκ ἄξιον βασιλεῖ ἀφεῖναι τοὺς ἐφ' ἑαυτὸν στρατευσαμένους. τέλος δὲ εἶπε, Καὶ νῦν ἔξεστιν ὑμῖν πιστὰ λαβεῖν παρ' ἡμῶν ἢ μὴν φιλίαν παρέξειν ὑμῖν τὴν χώραν καὶ ἀδόλως ἀπάξειν εἰς τὴν Ἑλλάδα ἀγορὰν παρέχοντας· ὅπου δ' ἂν μὴ ᾖ πρίασθαι, λαμβάνειν ὑμᾶς ἐκ τῆς χώρας ἐάσομεν τὰ ἐπιτήδεια· ὑμᾶς δ' αὖ ἡμῖν δεήσει ὁμόσαι ἢ μὴν πορεύεσθαι ὡς διὰ φιλίας, ἀσινῶς ὅτα καὶ ποτὰ λαμβάνοντας, ὁπόταν μὴ ἀγορὰν παρέχωμεν· ἢν δὲ παρέχωμεν ἀγοράν, ὠνουμένους ἔξειν τὰ ἐπιτήδεια. ταῦτα ἔδοξε, καὶ ὤμοσαν καὶ δεξιὰς ἔδοσαν Τισσαφέρνης καὶ ὁ τῆς βασιλέως γυναικὸς ἀδελφὸς τοῖς τῶν Ἑλλήνων στρατηγοῖς καὶ λοχαγοῖς καὶ ἔλαβον παρὰ τῶν Ἑλλήνων. μετὰ δὲ ταῦτα Τισσαφέρνης εἶπε, Νῦν μὲν δὴ ἄπειμι ὡς βασιλέα· ἐπειδὰν δὲ διαπράξωμαι, ἃ δέομαι, ἥξω συσκευασάμενος ὡς ἀπάξων ὑμᾶς εἰς τὴν Ἑλλάδα καὶ αὐτὸς ἀπιὼν ἐπὶ τὴν ἐμαυτοῦ ἀρχήν.

στακτική.—Ἀγορὰν . . παρέξομεν] θὰ ὁρίζωμεν πόλιν ἢ κώμην, ἐξ ἧς θὰ ἀγοράζητε τὰ τρόφιμα. Ἴδε §. 27.

§. 25. Εἰς τὴν ὑστεραίαν] μέχρι τέλους τῆς ὑστεραίας, δηλαδὴ τῆς ἐπισύσης. Ἀσ. 602. 71.—Ἐφρόντιζον] ἐνοιάζοντο, ὑπωπτεύοντο.—Διαπεπραγμένος] κατορθώσας· τὸ δὲ ὅλον=ἥκοι κατορθώσας δοθῆναι αὐτῷ παρὰ βασιλέως.—Ἄξιον εἶη] δὲν ἔπρεπε κυρίως ὅμως δὲν συνᾴδει μὲ τὴν ἀξιοπρέπειαν τοῦ βασιλέως.

§. 26. Πιστὰ] ἐνόρκους ὑποσχέσεις· διότι πιστὸς μὲν ὁ ἀξιόπιστος, ἐνίοτε δὲ καὶ ὁ ἔχων εἰς ἄλλον ἐμπιστοσύνην· οἱ πιστοὶ =οἱ μυστικοσύμβουλοι ἢ σωματοφύλακες· τὰ πιστά, οὗ τὸ πλῆρες λέγει Ὅμηρος καὶ Πίνδαρος ὅρκια πιστὰ=ἔνορκος ὑπόσχεσις. Ἴδε καὶ Α'. Θ'. 7. συνθοῖτο. —Ἤμὴν] μόριον, ἀφ' οὗ ἤρχοντο οἱ ὅρκοι· φέρεται δὲ συνηθέστερον εἰς ἀπαρέμφατον χρόνου μέλλοντος, ἐξαρτωμένου δὲ ἐκ τεθειμένου ἢ ἐννοουμένου ὄμνυμι. Πολλάκις δὲν δύναται νὰ μεταφρασθῇ παρ' ἡμῖν· ἐνίοτε ὅμως=ὅτι μὰ τὸ ναί.

§. 27. Δ' αὖ]=δ' ἀφ' ἑτέρου. Ἀσ. 708. 69.—Ἀσινῶς] ἀβλαβῶς, μὴ ἐξανδραποδίζοντες δηλαδὴ ἢ μὴ φονεύοντες ἢ κακοποιοῦντες τοὺς κατοίκους τῆς χώρας· διότι σίνομαι λέγεται καὶ ἐπὶ τῆς βλάβης, ἣν ἐπιφέρουσιν οἱ πολέμιοι οὐ μόνον εἰς τὴν χώραν καὶ τὰ κτήνη, ἀλλὰ καὶ εἰς τοὺς ἀντιπάλους αὐτῶν.

§. 28. Δεξιὰς ἔδοσαν] ἴδε Α'. ς'. 6.

δ'. Μετὰ ταῦτα περιέμενον Τισσαφέρνην οἵ τε Ἕλληνες καὶ ὁ Ἀριαῖος ἐγγὺς ἀλλήλων ἑστρατοπεδευμένοι ἡμέρας πλείους ἢ εἴκοσιν. ἐν δὲ ταύταις ἀφικνοῦνται πρὸς Ἀριαῖον καὶ οἱ ἀδελφοὶ καὶ οἱ ἄλλοι ἀναγκαῖοι καὶ πρὸς τοὺς σὺν ἐκείνῳ Περσῶν τινες, παρεθάρρυνόν τε καὶ δεξιὰς ἐνίοις παρὰ βασιλέως ἔφερον, μὴ μνησικακήσειν βασιλέα αὐτοῖς τῆς σὺν Κύρῳ ἐπιστρατείας μηδὲ ἄλλου μηδενὸς τῶν παροιχομένων. τούτων δὲ γιγνομένων, ἔνδηλοι ἦσαν οἱ περὶ Ἀριαῖον ἧττον προσέχοντες τοῖς Ἕλλησι τὸν νοῦν. ὥστε καὶ διὰ τοῦτο τοῖς μὲν πολλοῖς τῶν Ἑλλήνων οὐκ ἤρεσκον· ἀλλά, προσιόντες τῷ Κλεάρχῳ ἔλεγον καὶ τοῖς ἄλλοις στρατηγοῖς, Τί μένομεν; ἢ οὐκ ἐπιστάμεθα, ὅτι βασιλεὺς ἡμᾶς ἀπολέσαι ἂν περὶ παντὸς ποιήσαιτο, ἵνα καὶ τοῖς ἄλλοις Ἕλλησι φόβος ᾖ ἐπὶ βασιλέα μέ-

§. 29 Ὡς βασιλέα] πρὸς βασιλέα. Κίνησις πρὸς ἔξοχα μάλιστα πρόσωπα ἐκφέρεται διὰ τῆς ὡς, προθέσεως, καὶ αἰτιατικῆς. Περὶ δὲ τοῦ βασιλέα= τὸν βασιλέα ἴδε Ἀσ. 146. 39. περὶ τὸ μέσον. —Ὡς ἀπάξων] ἵνα ὑμᾶς ἐπαναφέρω ἢ ὁδηγήσω ἐντεῦθεν. Ἴδε Β'. γ'. 21.

Κεφ. δ'. §. 1. Ἀφικνοῦνται πρὸς Ἀριαῖον κτλ.]=ἀφικνοῦνται πρὸς Ἀριαῖον μὲν καὶ οἱ ἀδελφοὶ καὶ οἱ ἄλλοι οἱ ἀναγκαῖοι, πρὸς δὲ τοὺς σὺν ἐκείνῳ (τῷ Ἀριαίῳ) Περσῶν τινες.—Ἀναγκαῖοι] οἱ ἐξ αἵματος συγγενεῖς. Ἴδε καὶ Πλατ. Πολ. 9 57. — Δεξιὰς ἐνίοις παρὰ βασιλέως ἔφερον] ὑπέσχοντο ἐνόρκως κατ' ἐντολὴν τοῦ βασιλέως· διότι ἔλεγον οὐ μόνον δίδωμι ἢ λαμβάνω δεξιάς, ἀλλὰ καὶ πέμπειν δεξιάς τινι καὶ φέρειν δεξιάς τινι παρά τινος.

§ 2. Ἔνδηλοι ἦσαν . . προσέχοντες] καταφανῶς προσεῖχον. Ἴδε Α'. β'. 11. — Οἱ περὶ Ἀριαῖον] ἴδε Α'. ἡ. 1. — Τοῖς μὲν πολλοῖς κτλ.]=οἱ μὲν πολλοὶ τῶν Ἑλλήνων οὐκ ἤρεσκοντο τούτοις, ἀλλὰ προσιόντες κτλ. — Τοῖς πολλοῖς] ἅπαντι σχεδὸν τῷ στρατῷ. Ἴδε Ἀσ. 149. 50. περὶ τὸ τέλος.

§. 3. Περὶ παντὸς ἂν ποιήσαιτο] ἤθελε καταβάλλει πᾶσαν ἐπιμέλειαν, ἤθελε κάνει τὰδύνατα δυνατά, ὡς λέγει ἡ κοινή. Ἴδε καὶ Α'. Θ'. 7. —Ὑπάγεται] ἴδε Β'.

γαν στρατεύειν; καὶ νῦν μὲν ἡμᾶς ὑπάγεται μένειν διὰ τὸ διεσπάρθαι αὐτῷ τὸ στράτευμα· ἐπὴν δὲ πάλιν ἁλισθῇ αὐτῷ ἡ στρατιά, οὐκ ἔστιν ὅπως οὐκ ἐπιθήσεται ἡμῖν. ἴσως δέ που ἢ ἀποσκάπτει τι ἢ ἀποτειχίζει, ὡς ἄπορος εἴη ἡ ὁδός. οὐ γάρ ποτε ἑκών γε βουλήσεται ἡμᾶς, ἐλθόντας εἰς τὴν Ἑλλάδα, ἀπαγγεῖλαι, ὡς ἡμεῖς, τοιόνδε ὄντες, ἐνικῶμεν βασιλέα ἐπὶ ταῖς θύραις αὐτοῦ καὶ καταγελάσαντες ἀπήλθομεν· Κλέαρχος δὲ ἀπεκρίνατο τοῖς ταῦτα λέγουσιν, Ἐγὼ ἐνθυμοῦμαι μὲν καὶ ταῦτα πάντα· ἐννοῶ δ' ὅτι, εἰ νῦν ἄπιμεν, δόξομεν ἐπὶ πολέμῳ ἀπιέναι καὶ παρὰ τὰς σπονδὰς ποιεῖν. ἔπειτα πρῶτον μὲν ἀγορὰν οὐδεὶς παρέξει ἡμῖν, οὐδὲ ὅθεν ἐπισιτιούμεθα· αὖθις δὲ ὁ ἡγησόμενος οὐδεὶς ἔσται· καὶ ἅμα, ταῦτα ποιούντων ἡμῶν, εὐθὺς Ἀριαῖος ἀφεστήξει. ὥστε φίλος ἡμῖν οὐδεὶς λελείψεται, ἀλλὰ καὶ οἱ πρόσθεν ὄντες πολέμιοι ἡμῖν ἔσονται· ποταμὸς δ' εἰ μέν τις καὶ ἄλλος ἄρα ἡμῖν ἐστι διαβατέος, οὐκ οἶδα· τὸν δ' οὖν Εὐφράτην ἴσμεν, ὅτι ἀδύνατον διαβῆναι, κωλυόντων πολεμίων. οὐ μὲν δή, ἂν μάχεσθαί γε δέῃ, ἱππεῖς εἰσιν ἡμῖν σύμμαχοι, τῶν δὲ πολεμίων ἱππεῖς εἰσιν οἱ πλεῖστοι καὶ πλείστου ἄξιοι. ὥστε, νικῶντες μέν, τίνα ἂν ἀποκτείναιμεν; ἡττωμένων δέ, οὐδένα οἷόν τε σωθῆναι. ἐγὼ μὲν οὖν βασιλέα, ᾧ οὕτω πολλά ἐστι τὰ σύμμαχα, εἴπερ προθυμεῖται ἡμᾶς ἀπολέσαι, οὐκ οἶδα, ὅ τι δεῖ αὐτὸν ὀμόσαι καὶ δεξιὰν δοῦναι καὶ θεοὺς ἐπιορκῆσαι καὶ τὰ ἑαυτοῦ πιστὰ ἄπιστα ποιῆσαι Ἕλλησί τε καὶ βαρβάροις. τοιαῦτα· πολλὰ ἔλεγεν.

Ἐν δὲ τούτῳ ἧκε Τισσαφέρνης ἔχων τὴν ἑαυτοῦ δύναμιν ὡς εἰς οἶκον ἀπιών καὶ Ὀρόντας τὴν ἑαυτοῦ δύναμιν· ἦγε δὲ καὶ τὴν θυγατέρα τὴν βασιλέως ἐπὶ γάμῳ. ἐντεῦθεν δέ, ἤδη Τισσαφέρνους ἡγουμένου καὶ ἀγορὰν παρέχοντος, ἐπορεύοντο· ἐπορεύετο δὲ καὶ Ἀριαῖος τὸ Κύρου βαρβαρικὸν ἔχων στράτευμα ἅμα Τισσαφέρνει καὶ Ὀρόντᾳ καὶ συνεστρατοπεδεύετο σὺν ἐκείνοις. οἱ δὲ Ἕλληνες, ὑφορῶντες τούτους, αὐτοὶ ἐφ' ἑαυτῶν ἐχώρουν ἡγεμόνας ἔχοντες. ἐστρατοπεδεύοντο δὲ ἑκάστοτε ἀπέχοντες ἀλλήλων παρασάγγην καὶ μεῖον· ἐφυλάττοντο δὲ ἀμφότεροι, ὥσπερ πολεμίους, ἀλλήλους, καὶ εὐθὺς τοῦτο ὑποψίαν παρεῖχεν. ἐνίοτε δέ, καὶ ξυλιζόμενοι ἐκ τοῦ αὐτοῦ καὶ χόρτον καὶ ἄλλα τοιαῦτα συλλέγοντες, πληγὰς ἐνέτεινον ἀλλήλοις·

ἁ. 18. — Ἁλισθῇ αὐτῷ] συναθροισθῇ ὑπ' αὐτοῦ. Ἐκ τοῦ ἁλής=ἀθρόος γίνεται ἁλίζω = συναθροίζω, καὶ παθητ. ἁλίζομαι =συναθροίζομαι — Οὐκ ἔστιν ὅπως]· =πάντως ἤ, ὡς λέγει ἡ κοινή, δὲν εἶναι τρόπος νὰ μή.

§. 4. Ἀποσκάπτει ἢ ἀποτειχίζει] ὀρύσσει τάφρον τινὰ ἢ ἐγείρει που τεῖχος, ἵνα φράξῃ τὴν ὁδόν. Ὥστε τὸ ὡς ἄπορος εἴη ἡ ὁδὸς ἑτέθη χάριν μείζονος σαφηνείας. Ἴδε Ἀσ. 590. 25. — Ἑκών γε]=ἑκὼν τοὐλάχιστον. Ἀσ. 714. 15.—Τοσοῖδε] τόσον ὀλίγοι. Ἴδε καὶ Α'. γ'. 15. Τοσοῦτον μόνον. Ἐπολέμησαν δὲ 12900 Ἕλληνες καὶ μετ' αὐτῶν 100000 Πέρσαι ἐναντίον 900000 Περσῶν. Ἴδε Α'. ζ'. 10. καὶ 12.—Ἐπὶ ταῖς θύραις] εἰς τὰ πρόθυρα· λέγει δὲ τοῦτο μετά τινος ὑπερβολῆς, διότι ἡ μάχη ἐγένετο 360 σταδία μακρὰν τῆς Βαβυλῶνος. Ἴδε Β'. β'. 6.

§. 5. Ἐνθυμοῦμαι] σκέπτομαι, ἔχω ὑπ' ὄψιν· κυρίως ἐν θυμῷ τίθεμαι· θυμὸς δὲ ἡ ζωή, ἡ καρδία, ἡ ψυχή, ἡ ὀργή, ἀλλὰ καὶ ἡ σκέψις.—Ἐννοῶ] συλλογίζομαι. —Ἐπισιτιούμεθα] θὰ λαμβάνωμεν τὰ οἰτία, τὰ ἐπιτήδεια, τὰ τρόφιμα. Ἴδε καὶ Γ'. ἑ. 3, ΣΤ'. β'. 4.—Καὶ οἱ πρόσθεν ὄντες]=καὶ οἱ πρόσθεν ὄντες ἡμῖν φίλοι.

§. 6. Ἅρα] τυχόν· τὸ δὲ ὅλον =ἂν μὲν τυχὸν πρέπει νὰ διαβῶμεν καὶ ἄλλον τινά.—Οὐ μὲν δή . . ἱππεῖς εἰσιν] ἀλλ' ὅμως ὀλὲν ἔχομεν. Ἴδε Α'. Θ'. 13.—Νικῶντες μὲν] εἰ μὲν νικῶμεν.

§. 7. Τὰ σύμμαχα] ἐννοεῖ τοὺς ποταμούς, τάφρους, ἱππεῖς κτλ.—Θεοὺς ἐπιορκῆσαι] τοὺς θεοὺς διὰ τῆς ἐπιορκίας παροργίσαι. Ἴδε καὶ Γ'. ἀ. 22.— Καὶ τὰ ἑαυτοῦ πιστὰ κτλ.] = καὶ νὰ δώσῃ ἀφορμὴν νὰ μὴ πιστεύωνται οἱ ἔνορκοι αὐτοῦ ὑποσχέσεις οὔτε ὑπὸ τῶν Ἑλλήνων οὔτε ὑπὸ τῶν βαρβάρων. Περὶ τοῦ ποιῶ ἴδε Α'. Θ'. 19. προσόδους ποιοῦντα. —Ὡς εἰς οἶκον ἀπιών] ἵνα ἀπέλθῃ εἰς τὴν σατραπείαν του, εἰς τὴν Καρίαν δηλαδή.

§. 8. Ὀρόντας] σατράπης τῆς Ἀρμενίας (ἴδε Γ'. ἑ. 17) ἔχων σύζυγον Ῥοδογούνην τὴν θυγατέρα τοῦ Ἀρταξέρξου, ὡς λέγει Πλούταρχος ἐν βίῳ Ἀρταξέρξου 27. Εἶναι δ' οὗτος διάφορος τοῦ ἐν Α'. ς'. 11.—Ἐπὶ γάμῳ]=μετὰ τοὺς γάμους, ἀφοῦ τὴν ἐνυμφεύθη. Ἴδε Ἀσ. 620. 134. περὶ τὸ τέλος.

§. 10. Τφορῶντες] ὑποπτευόμενοι.—Ἡγεμόνας] ὁδηγούς. τὸ πλῆρες εἶναι ἡγεμόνων τῆς ὁδοῦ. παρασάγγην] ἴδε Α'. β'. 5.

§. 11 Ξυλιζόμενοι] ξύλα κόπτοντες πρὸς καῦσιν. — Ἔχθραν παρεῖχε] ἔδιδεν ἀφορμὴν εἰς ἔχθραν.

12 ὥστε καὶ τοῦτο ἔχθραν παρεῖχε. διελθόντες δὲ τρεῖς σταθμούς, ἀφίκοντο πρὸς τὸ Μηδίας καλούμενον τεῖχος καὶ παρῆλθον εἴσω αὐτοῦ. ἦν δὲ ᾠκοδομημένον πλίνθοις ὀπταῖς ἐν ἀσφάλτῳ κειμέναις, εὖρος εἴκοσι ποδῶν, ὕψος δὲ ἑκατόν· μῆκος δ' ἐλέγετο εἶναι εἴκοσι παραδαγγῶν· ἀπέχει δὲ Βαβυλῶνος οὐ πολύ.
13 ἐντεῦθεν δ' ἐπορεύθησαν σταθμοὺς δύο παρασάγγας ὀκτώ. καὶ διέβησαν διώρυχας δύο, τὴν μὲν ἐπὶ γεφύρας, τὴν δ' ἐζευγμένην πλοίοις ἑπτά· αὗται δ' ἦσαν ἀπὸ τοῦ Τίγρητος ποταμοῦ· κατετέτμηντο δὲ ἐξ αὐτῶν καὶ τάφροι ἐπὶ τὴν χώραν, αἱ μὲν πρῶται μεγάλαι, ἔπειτα δ' ἐλάττους· τέλος δὲ καὶ μικροὶ ὀχετοί, ὥσπερ ἐν τῇ Ἑλλάδι ἐπὶ τὰς μελίνας· καὶ ἀφικνοῦνται ἐπὶ τὸν Τίγρητα ποταμόν· πρὸς ᾧ πόλις ἦν μεγάλη καὶ πολυάνθρωπος, ᾗ ὄνομα Σιττάκη, ἀ-
14 πέχουσα τοῦ ποταμοῦ σταδίους πεντεκαίδεκα. οἱ μὲν οὖν Ἕλληνες παρ' αὐτὴν ἐσκήνωσαν ἐγγὺς παραδείσου μεγάλου καὶ καλοῦ καὶ δασέος παντοίων δένδρων· οἱ δὲ βάρβαροι διαβεβηκότες τὸν Τίγρητα, οὐ μέντοι
15 καταφανεῖς ἦσαν. μετὰ δὲ τὸ δεῖπνον ἔτυχον ἐν περιπάτῳ ὄντες πρὸ τῶν ὅπλων Πρόξενος καὶ Ξενοφῶν· καὶ προσελθὼν ἄνθρωπός τις ἠρώτησε τοὺς προφύλακας, ποῦ ἂν ἴδοι Πρόξενον ἢ Κλέαρχον· Μένωνα δὲ οὐκ ἐζήτει, καὶ ταῦτα παρ' Ἀριαίου ὢν τοῦ Μέ-
16 νωνος ξένου. ἐπεὶ δὲ Πρόξενος εἶπεν, ὅτι αὐτός εἰμι, ὃν ζητεῖς, εἶπεν ὁ ἄνθρωπος τάδε, Ἔπεμψέ με Ἀρι-

§. 12. *Μηδίας τεῖχος*] τοῦτο ἐχώριζε τὴν Βαβυλῶνα ἀπὸ τῆς μεσοποταμίας. Ἴδε Α'. ζ'. 15.

§. 13. *Ὀχετοί*] αὐλῶνας ὠνόμασε ταύτας ἐν Β'. γ'. 10.—*Ὥσπερ ἐν τῇ Ἑλλάδι ἐπὶ τὰς μελίνας*]=ὥσπερ ἐν Ἑλλάδι κατατέμνονται ἐκ τῶν ποταμῶν ὀχετοὶ φέροντες εἰς τὰς μελίνας· διότι ἡ μελίνη τελεσφορεῖ ἂν σπείρεται εἰς ποτιστικοὺς λεγομένους τανῦν ἀγρούς. Περὶ μελίνης ἴδε Α'. β'. 22.

§. 14. *Δασέος*]=μεστοῦ ἢ κατάπλεω· διὸ καὶ γενικῇ συντάσσεται, ἐπὶ τῆς κυρίας σημασίας του δοτικῇ συντασσόμενον.—*Διαβεβηκότες*] παραλαμβάνεται ἀπὸ κοινοῦ ἐκ τοῦ ἑπομένου τὸ ἦσαν =διαβεβηκότες ἦσαν=εἶχον διαβῆ.

§. 15. *Ποῦ ἂν ἴδοι*] ποῦ ἠδύνατο να ἴδῃ — *Καὶ ταῦτα*] ἐν ᾧ μάλιστα. Ἴδε Α'. δ'. 12.

§. 16. *Ὅτι αὐτός εἰμι*] ἐπειδὴ

αἷος καὶ Ἀρτάοζος, πιστοὶ ὄντες Κύρῳ καὶ ὑμῖν εὖνοι, καὶ κελεύουσι φυλάττεσθαι, μὴ ὑμῖν ἐπιθῶνται τῆς νυκτὸς οἱ βάρβαροι· ἔστι δὲ στράτευμα πολὺ ἐν τῷ πλησίον παραδείσῳ. καὶ παρὰ τὴν γέφυραν τοῦ Τίγρητος 17
ποταμοῦ πέμψαι κελεύουσι φυλακήν, ὡς διανοεῖται αὐτὴν λῦσαι Τισσαφέρνης τῆς νυκτός, ἐὰν δύνηται, ὡς μὴ διαβῆτε, ἀλλ' ἐν μέσῳ ἀποληφθῆτε τοῦ ποταμοῦ καὶ τῆς διώρυχος. ἀκούσαντες ταῦτα, ἄγουσιν 18
αὐτὸν παρὰ τὸν Κλέαρχον καὶ φράζουσιν, ἃ λέγει. ὁ δὲ Κλέαρχος, ἀκούσας, ἐταράχθη σφόδρα καὶ ἐφο-
βεῖτο. νεανίσκος δέ τις τῶν παρόντων, ἐννοήσας, εἶ- 19
πεν, ὡς οὐκ ἀκόλουθα εἴη τό τε ἐπιθήσεσθαι καὶ λύσειν τὴν γέφυραν. δῆλον γὰρ ὅτι, ἐπιτιθεμένους, ἢ νικᾶν δεήσει ἢ ἡττᾶσθαι. ἐὰν μὲν οὖν νικῶσι, τί δεῖ αὐτοὺς λύειν τὴν γέφυραν; οὐδὲ γὰρ ἂν πολλαὶ γέ-
φυραι ὦσιν, ἔχοιμεν ἄν, ὅποι φυγόντες ἡμεῖς σωθῶ-
μεν· ἐὰν δὲ ἡμεῖς νικῶμεν, λελυμένης τῆς γεφύρας, 20
οὐχ ἕξουσιν ἐκεῖνοι, ὅποι φύγωσιν· οὐδὲ μὴν βοηθῆ-
σαι, πολλῶν ὄντων πέραν, οὐδεὶς αὐτοῖς δυνήσεται, λελυμένης τῆς γεφύρας. ἀκούσας δὲ ὁ Κλέαρχος 21
ταῦτα, ἤρετο τὸν ἄγγελον, πόση τις εἴη χώρα ἡ ἐν μέσῳ τοῦ Τίγρητος καὶ τῆς διώρυχος. ὁ δὲ εἶπεν, ὅτι πολλὴ καὶ κῶμαι ἔνεισι καὶ πόλεις πολλαὶ καὶ μεγάλαι. τότε δὴ καὶ ἐγνώσθη, ὅτι οἱ βάρβαροι τὸν 22

ὁ λόγος εἶναι ὀρθός, τὸ ὅ τι πλεονάζει ὡς εἰσαγωγικόν.—*Τῆς νυκτὸς*] τὴν νύκτα.

§. 17. *Ὡς διανοεῖται*] διότι διανοεῖται.—*Λῦσαι*] νὰ καταστρέψῃ.

§. 18. *Φράζουσι*=μεταφράζουσι· διότι δι' ἑρμηνέως συνδιελέγοντο οἱ Ἕλληνες μετὰ τῶν Περσῶν. Ἴδε Β'. γ'. 17. Β'. ε'. 35. Ε'. δ'. 5.

§. 19. *Οὐκ ἀκόλουθα*] ἀσυμβίβαστα, δὲν συνᾴδουσι· κυρίως δὲν συμβαδίζουσιν.—*Ἐπιτιθεμένους*] ἂν ἐπιτεθῶσι.—*Οὐδὲ γὰρ*] τίθεται εἰς ἀποφατικὸν λόγον ἀντὶ τοῦ *Καὶ γάρ*, ἔχον ὅσας καὶ ἐκεῖνο σημασίας. Ἴδε Α'. γ'. 12. καὶ Β'. α'. 7.

§. 20. *Οὐδὲ μὴν*] ἀλλ' οὐδέ.—*Πολλῶν ὄντων πέραν*] καὶ πολλοὶ ἂν ὑπάρχωσιν εἰς τὴν ἀπέναντι ὄχθην τοῦ ποταμοῦ.

§. 21. *Πόση τις*] πόση ὡς ἔγγιστα· σὰν πόση, λέγει ἡ κοινή. Ἴδε Ἀσ. 124. 96.

§. 22. *Τότε δὴ καὶ ἐγνώσθη*] = τότε πλέον καὶ ἐγένετο γνωστόν, λέγει ἡ κοινή, τοῦ *πλέον* συλλογικὴν ἔχοντος σημασίαν=λοι-

ἄνθρωπον ὑποπέμψειαν, ὀκνοῦντες, μὴ οἱ Ἕλληνες, διελόντες τὴν γέφυραν, μείνειαν ἐν τῇ νήσῳ, ἐρύματα ἔχοντες ἔνθεν μὲν τὸν Τίγρητα, ἔνθεν δὲ τὴν διώρυχα, τὰ δ' ἐπιτήδεια ἔχοιεν ἐκ τῆς ἐν μέσῳ χώρας, πολλῆς καὶ ἀγαθῆς οὔσης καὶ τῶν ἐργασομένων ἐνόντων, εἶτα δὲ καὶ ἀποστροφὴ γένοιτο, εἴ τις βούλοιτο
23 βασιλέα κακῶς ποιεῖν. μετὰ δὲ ταῦτα ἀνεπαύοντο· ἐπὶ μέντοι τὴν γέφυραν ὅμως φυλακὴν ἔπεμψαν· καὶ οὔτε ἐπέθετο οὐδεὶς οὐδαμόθεν οὔτε πρὸς τὴν γέφυραν οὐδεὶς ἦλθε τῶν πολεμίων, ὡς οἱ φυλάττοντες
24 ἀπήγγελον. ἐπειδὴ δ' ἕως ἐγένετο, διέβαινον τὴν γέφυραν ἐξευγμένην πλοίοις τριάκοντα καὶ ἑπτὰ ὡς οἷόν τε μάλιστα πεφυλαγμένως· ἐξήγγελον γάρ τινες τῶν παρὰ Τισσαφέρνους Ἑλλήνων, ὡς, διαβαινόντων, μέλλοιεν ἐπιθήσεσθαι. ἀλλὰ ταῦτα μὲν ψευδῆ ἦν· διαβαινόντων μέντοι, ὁ Γλοῦς ἐπεφάνη μετ' ἄλλων σκοπῶν, εἰ διαβαίνοιεν τὸν ποταμόν· ἐπειδὴ δὲ εἶδεν, ᾤχετο ἀπελαύνων.

πόν.—Ὑποπέμψειαν] μὲ δόλιον σκοπὸν ἢ μὲ ὑστεροβουλίαν εἶχον πέμψει. Περὶ τῆς εὐκτικῆς ἴδε Γ. Σ. Γ'. Περὶ ἀορίστου=ὑπερσυντελικῷ ἴδε Α'. ά. 2. Περὶ δὲ τῆς ὑποἴδε Ἀσ. 639. 200. Ἴδε καὶ Β'. ά. 18. ὑπήγετο.—Ὀκνοῦντες] ἴδε Β'. γ'. 9.—Διελόντες] λύσαντες, ὡς συνηθίζει νὰ λέγῃ, ἢ διασπάσαντες, ὡς καὶ ἐν Ε'. β'. 21. Καὶ τοὺς σταυρούς. διήρων. —Νήσῳ] σχηματιζομένῃ ὑπὸ τοῦ Τίγρητος καὶ τῆς διώρυχος, τῆς ἐνούσης δύο σημεῖα τοῦ ποταμοῦ.—Ἐρύματα] ἴδε Α'. ζ'. 16. —Ἀγαθῆς] γονίμου, εὐφόρου.—Ἐργασομένων] τῶν μελλόντων ἢ δυναμένων καλλιεργεῖν· διότι ἐργάζομαι γῆν =καλλιεργῶ· ὁ δὲ μέλλων πολλάκις σημαίνει καὶ τὸ δέον ἢ δυνατὸν γενέσθαι. Ἀσ. 503. 44. — Εἶτα δὲ] κατὰ συνέπειαν δέ.—Ἀποστροφὴ γένοιτο, εἴ τις βούλοιτο] ἄσυλον ἢ καταφύγιον γένοιτο τούτοις, οἳ βούλοιντο. Ἴδε Β'. ά. 8. Ἄν τι δύνωνται.

§. 23. Ἐπὶ μέντοι τὴν γέφυραν ὅμως φυλακὴν ἔπεμψαν] Ἀλλ' εἰς τὴν γέφυραν, ἂν καὶ οὐδεμίαν πίστιν ἔδωκαν εἰς τὰ ὑπὸ τοῦ ἀγγέλου ῥηθέντα, ὅμως ἔπεμψαν φύλακας. Ἴδε Β'. β'. 17. Οἱ μὲν οὖν . . ὅμως.

§. 24. Ἕως] ἡ γνωστὴ ῥοδοδάκτυλος ἠώς, ἀρχὴ τῆς ἡμέρας. — Ὡς οἷόν τε πεφυλαγμένος] ἴδε Α'. ά. 6. ὡς οἷόν τε ἐπικρυπτόμενος. — Τινὲς τῶν παρὰ Τισσαφέρνους] βραχυλογικῶς ἀντί, Τινὲς τῶν παρὰ Τισσαφέρνει ἐξήγγελον παρὰ Τισσαφέρνους ἀκούσαντες. Ἴδε καὶ Α'. ά. 5. — Γλοῦς] ἴδε Α'. δ'. 16 —Ἐπεφάνη] αἴφνης ἐπαρουσιάσθη· ἐπὶ ἀπροσδοκήτων. — ὬΙχετο ἀπελαύνων]. Ἴδε Γ. Σ. Δ'.

§. 25. Φύσκον] παραποτάμιον τοῦ Τίγρητος ἴσως.—Ὦπις] Eski Haghdad κατά τινας.—Ἀπήντησε] συνήντησε, κατὰ τύχην ἀλλ' οὐχὶ κατὰ προαίρεσιν, ὡς ἐν Β', γ'. 17. — Ἐπιστήσας] σταματήσας. Ἴδε Α'. ή. 15

§ 26. Ἡγεῖτο εἰς δύο]=ἔχων τὸ στράτευμα τεταγμένον οὕτως, ὥστε ἀνὰ δύο πορευόμενοι νὰ ἐκτείνωνται ἐπὶ πολύ. Συνήθως τοῦτο λέγεται ἐπὶ ἑνός, ὡς ἐν Ε'. β'. 6. ἐπὶ τεσσάρων, ὡς ἐν Α'. β'. 15. ἐπὶ φάλαγγος ὡς ἐν Δ'. γ'. 26.—Ἄλλοτε καὶ ἄλλοτε] πότε καὶ πότε. Ἴδε καὶ Α'. έ. 12.

Ἀπὸ δὲ τοῦ Τίγρητος ἐπορεύθησαν σταθμοὺς 25
τέτταρας παρασάγγας εἴκοσιν ἐπὶ τὸν Φύσκον ποταμόν, τὸ εὖρος πλέθρου. ἐπῆν δὲ γέφυρα. καὶ ἐνταῦθα ᾠκεῖτο πόλις μεγάλη, ᾗ ὄνομα Ὦπις, πρὸς ἣν ἀπήντησε τοῖς Ἕλλησιν ὁ Κύρου καὶ Ἀρταξέρξου νόθος ἀδελφὸς ἀπὸ Σούσων καὶ Ἐκβατάνων στρατιὰν πολλὴν ἄγων ὡς βοηθήσων βασιλεῖ, καὶ ἐπιστήσας τὸ ἑαυτοῦ στράτευμα παρερχομένους τοὺς Ἕλληνας ἐθεώρει. ὁ δὲ Κλέαρχος ἡγεῖτο μὲν εἰς δύο, ἐπορεύετο δὲ ἄλλοτε 26
καὶ ἄλλοτε ἐφιστάμενος· ὅσον δὲ χρόνον τὸ ἡγούμενον τοῦ στρατεύματος ἐπιστήσειε, τοσοῦτον ἦν ἀνάγκη χρόνον διὰ ὅλου τοῦ στρατεύματος γίγνεσθαι τὴν ἐπίστασιν· ὥστε τὸ στράτευμα καὶ αὐτοῖς τοῖς Ἕλλησι δόξαι πάμπολυ εἶναι, καὶ τὸν Πέρσην ἐκπεπλῆχθαι θεωροῦντα. ἐντεῦθεν δὲ ἐπορεύθησαν διὰ τῆς Μηδίας σταθ- 27
μοὺς ἐρήμους ἐξ παρασάγγας τριάκοντα εἰς τὰς Παρυσάτιδος κώμας τῆς Κύρου καὶ βασιλέως μητρός. ταύτας Τισσαφέρνης, Κύρῳ ἐπεγγελῶν, διαρπάσαι τοῖς Ἕλλησιν ἐπέτρεψε πλὴν ἀνδραπόδων. ἐνῆν δὲ σῖτος πολὺς καὶ πρόβατα καὶ ἄλλα χρήματα. ἐντεῦθεν δ' ἐπορεύθησαν σταθμοὺς ἐρήμους τέτταρας, παρασάγγας εἴκοσι, τὸν 28

— Ἐπιστήσειε] ὁ Κλέαρχος. — Ὥστε δόξαι] = τοιαύτας δὲ διαστάσεις ἔλαβεν ἡ στρατιὰ καὶ ἐπὶ τοιοῦτον χρόνον παρετάθη ἡ διάβασις, ὥστε νὰ φανῇ κτλ. Ἴδε Ἀσ. 761. 20. κτλ.

§. 27. Κύρῳ ἐπεγγελῶν] διατεθειμένος ἢ προτιθέμενος νὰ περιυβρίσῃ τὴν μνήμην τοῦ Κύρου. Ἴδε Α'. γ'. 16. Ἐπεγγελῶ δὲ κυρίως = περιγελῶ, ἐμπαίζω· φαίνεται δ' ὅτι ἡ Παρύσατις τὰς κώμας ταύτας εἶχε δώσει τῷ Κύρῳ, ὃν ἐφίλει μᾶλλον τοῦ Ἀρταξέρξου. Ἴδε Α'. ά. 4. Ἴδε καὶ ἐπισφάξαι αὐτόν Α'. ή. 29.

§. 28. Σταθμοὺς ἐρήμους] σταθμοὺς δηλαδή, καθ' οὓς δὲν ἀπήν-

Τίγρητα ποταμὸν ἐν ἀριστερᾷ ἔχοντες. ἐν δὲ τῷ πρώτῳ σταθμῷ πέραν τοῦ ποταμοῦ πόλις ᾠκεῖτο μεγάλη καὶ εὐδαίμων, ὄνομα Καιναί, ἐξ ἧς οἱ βάρβαροι διῆγον ἐπὶ σχεδίαις διφθερίναις ἄρτους, τυρούς, οἶνον.

1 ε. Μετὰ ταῦτα ἀφικνοῦνται ἐπὶ τὸν Ζαπάταν ποταμόν, τὸ εὖρος τεττάρων πλέθρων. καὶ ἐνταῦθα ἔμειναν ἡμέρας τρεῖς· ἐν δὲ ταύταις ὑποψίαι μὲν
2 ἦσαν, φανερὰ δὲ οὐδεμία ἐφαίνετο ἐπιβουλή. ἔδοξεν οὖν τῷ Κλεάρχῳ συγγενέσθαι τῷ Τισσαφέρνει, εἴ πως δύναιτο παῦσαι τὰς ὑποψίας, πρὶν ἐξ αὐτῶν πόλεμον γενέσθαι· καὶ ἔπεμψέ τινα ἐροῦντα, ὅτι συγγενέσθαι
3 αὐτῷ χρήζοι. ὁ δὲ ἑτοίμως ἐκέλευεν ἥκειν· ἐπειδὴ δὲ συνῆλθον, λέγει ὁ Κλέαρχος τάδε, Ἐγώ, ὦ Τισσαφέρνη, οἶδα μὲν ἡμῖν ὅρκους γεγενημένους καὶ δεξιὰς διδομένας μὴ ἀδικήσειν ἀλλήλους, φυλαττόμενον δὲ σέ τε ὁρῶ ὡς πολεμίους ἡμᾶς, καὶ ἡμεῖς, ὁρῶντες
4 ταῦτα, ἀντιφυλαττόμεθα. ἐπεὶ δὲ σκοπῶν οὐ δύναμαι οὔτε σὲ αἰσθέσθαι πειρώμενον ἡμᾶς κακῶς ποιεῖν, ἐγώ

των πόλεις ἢ κώμας, ἐν αἷς ἠδύναντο νὰ διανυκτερεύσωσι, ἐρατοπέδευον δὲ ἐν ὑπαίθρῳ.—Καιναί] ὑποτίθεται ὅτι ἐρείπια αὐτῆς εἶναι ἡ Senn. — Διῆγον] μετέφερον, ἀπὸ τῆς μιᾶς ὄχθης τῆς πρὸς τὰς Κανὰς εἰς τὴν ἑτέραν, παρ' ἣν ἐστάθμευσαν. — Σχεδίας διφθερίνας] ἀκάτια ἢ λέμβους δερμάτινα. Ἴδε περιγραφὴν τῆς κατασκευῆς ἐν Α'. ε. 10.

Κεφ. ε'. §. 1. Ἔδοξεν οὖν τῷ Κλεάρχῳ] ἀπεφάσισε λοιπὸν ὁ Κλέαρχος. Ταύτην δὲ τὴν σημασίαν ἔχει μάλιστα ἐπὶ τῶν ἀποφάσεων τῆς ἐκκλησίας τοῦ δήμου, τοῦ στρατοῦ κτλ. — Συγγενέσθαι] τὸ κατωτέρω, §. 4, εἰς λόγους ἐλθεῖν. Ἴδε καὶ Α'. ά. 9.—Εἴπως δύναιτο] κατωτέρω, §. 4, τὸ λέγει πληρέστερον, ὅπως, εἰ δυναίμεθα.—Πρὶν] ἴδε Α'. δ'. 13. πρὶν δῆλον εἶναι.—Ἐξ αὐτῶν γενέσθαι] ἴδε Γ. Σ. Α'.—Ἐροῦντα] μέλ. τοῦ λέγω. Ἴδε Α'. γ'. 13.—Χρήζω] μετὰ ψιλοῦ ἀπαρεμφάτ., ὡς ἐδῶ, = ἐπιθυμῶ, ἐξαιτοῦμαι· μετὰ γενικῆς δὲ = ἔχω ἀνάγκην, χρειάζομαι.

§. 3. Ἑτοίμως] εὐθύς, γοργά, ἄνευ δηλαδὴ παρασκευῆς· καθόσον μάλιστα ἑτοῖμος κυρίως λέγεται ἐπὶ πραγμάτων, ἅτινα εἶναι ἕτοιμα εἰς χρῆσιν. διὸ καὶ ἐξ ἑτοιμοτάτου διώκειν, Ξενοφ. Κ. Π. 5. 3. 57, = ἄνευ οὐδεμιᾶς ἀναβολῆς ἢ παρασκευῆς.

§. 4. Σκοπῶν] σκεπτόμενος· σκοπῶ κυρίως=κατοπτεύω, παρατηρῶ, ὡς ἀνωτέρω, Β'. δ'. 24. ἀλλὰ σκοπῶ πρὸς ἐμαυτὸν καὶ διὰ βραχυλογίαν σκοπῶ ἁπλῶς = σκέπτομαι, οὗ ἀναπληροῖ τὸν ἐνεστῶτα καὶ παρατατικόν.

τε σαφῶς οἶδα, ὅτι ἡμεῖς γε οὐδ' ἐπινοοῦμεν τοιοῦτον οὐδέν, ἔδοξέ μοι εἰς λόγους σοι ἐλθεῖν, ὅπως, εἰ δυναίμεθα, ἐξέλοιμεν ἀλλήλων τὴν ἀπιστίαν. καὶ γὰρ οἶδα 5 ἀνθρώπους ἤδη τοὺς μὲν ἐκ διαβολῆς τοὺς δὲ καὶ ἐξ ὑποψίας, οἳ, φοβηθέντες ἀλλήλους, φθάσαι βουλόμενοι πρὶν παθεῖν, ἐποίησαν ἀνήκεστα κακὰ τοὺς οὔτε μέλλοντας οὔτ' αὖ βουλομένους τοιοῦτον οὐδέν. τὰς 6 οὖν τοιαύτας ἀγνωμοσύνας νομίζων συνουσίαις μάλιστα ἂν παύεσθαι, ἦκω καὶ διδάσκειν σε βούλομαι, ὡς σὺ ἡμῖν οὐκ ὀρθῶς ἀπιστεῖς. πρῶτον μὲν γὰρ καὶ 7 μέγιστον οἱ θεῶν ἡμᾶς ὅρκοι κωλύουσι πολεμίους εἶναι ἀλλήλοις· ὅστις δὲ τούτων σύνοιδεν αὐτῷ παρημεληκώς, τοῦτον ἐγὼ οὔποτ' ἂν εὐδαιμονίσαιμι· τὸν γὰρ θεῶν πόλεμον οὐκ οἶδα, οὔτ' ἀπὸ ποίου ἂν τάχους φεύγων τις ἀποφύγοι οὔτ' εἰς ποῖον ἂν σκότος ἀπο-

—Οὐ δύναμαι κτλ] ἀνακολούθως ἀντί, Ἐγὼ οὐ δύναμαι μὲν αἰσθέσθαί σε πειρώμενον ἡμᾶς κακῶς ποιεῖν, σαφῶς δὲ οἶδα κτλ. — Αἰσθέσθαι] ἐννοῆσαι· Αἰσθάνομαι ἐπὶ μὲν τῶν ὑλικωτέρων=ἀκούω, ὀσφραίνομαι, γεύομαι, ἅπτομαι, ὁρῶ· ἐπὶ τῶν δυνάμεων ὅμως τῆς ψυχῆς = μανθάνω, ἐξ ἀκοῆς μάλιστα, ἢ ἐννοῶ σκεπτόμενος. — Ἐξέλοιμεν ἀλλήλων τὴν ἀπιστίαν] = παύσαιμεν ἀλλήλων τὰς ὑποψίας, ὡς εἶπεν ἀνωτέρω, §. 2.

§. 5. Καὶ γὰρ] ἴδε Α'. γ'. 12. —Τοὺς μὲν .. τοὺς δέ, οἱ] κατὰ σχῆμα προλήψεως (ἴδε Β'. γ'. 11. Ἦν Κλέαρχον καταμαθεῖν ὡς ἐπεξάτει·) ἀντί, Ὧν οἱ μὲν .. οἱ δὲ κτλ. Τὸ δὲ ὅλον =Καὶ γὰρ οἶδα ἤδη ἀνθρώπους, οἵ, διότι ἐφοβήθησαν ἀλλήλους οἱ μὲν ἐκ διαβολῆς, οἱ δὲ καὶ ἐξ ὑποψίας, βουλόμενοι φθάσαι ποιήσοντες κακὰ πρὶν παθεῖν (κακά), ἐποίησαν ἀνήκεστα (κακὰ) τοὺς οὔτε μέλλοντας ποιῆσαι (κακὰ) οὔτ' αὖ βουλομένους τοιοῦτον οὐδέν. — Φθάσαι] παραλαμβάνεται ἐκ τῶν ἑπομένων τὸ ποιήσοντες ἀνήκεστα κακά. Περὶ τῆς συντάξεως δὲ ταύτης ἴδε Γ. Σ. Δ'. —Πρὶν παθεῖν] ἴδε Α. δ'. 13.

§. 6. Ἀγνωμοσύνας] ὑποψίας. Αἱ σκέψεις γεννῶσιν ἢ βεβαίας ἢ ἀμφιβόλους γνώμας· αἱ πρῶται λέγονται γνῶμαι ἢ πεποιθήσεις, αἱ δεύτεραι ἀγνωμοσύναι, ἀμφιβολίαι, ὑποψίαι. Ἡ δὲ ἀγνωμοσύνη ἐκ τοῦ ἀγνώμων=ὁ μὴ ἔχων ἐσχηματισμένην γνώμην, ὁ ἄγνωμος, ὡς λέγει ἡ κοινή.—Νομίζων συνουσίαις ἂν παύεσθαι] νομίζων ὅτι συνουσίαις ἂν παυοιντο. Συνουσία δὲ τὸ ἀνωτέρω συγγενέσθαι ἢ εἰς λόγους ἐλθεῖν— Διδάσκειν] = ἑρμηνεύειν, ἐξηγεῖν. Ταύτην δὲ τὴν σημασίαν ἔχει ἐπὶ τῶν μὴ ἐκ συζήματος διδασκάλων.

§. 7. Πρῶτον μὲν] δὲν ἔπεται κατά τι εἶδος ἀνακολουθίας δεύ-

δραίη οὔθ' ὅπως ἂν εἰς ἐχυρὸν χωρίον ἀποσταίη. πάντῃ γὰρ πάντα τοῖς θεοῖς ὕποχα καὶ πανταχῇ πάντων
8 ἴσον οἱ θεοὶ κρατοῦσι. περὶ μὲν δὴ τῶν θεῶν τε καὶ τῶν ὅρκων οὕτω γιγνώσκω, παρ' οἷς ἡμεῖς τὴν φιλίαν, συνθέμενοι, κατεθέμεθα· τῶν δ' ἀνθρωπίνων
9 δὲ ἐγὼ ἐν τῷ παρόντι νομίζω μέγιστον εἶναι ἡμῖν ἀγαθόν. σὺν μὲν γὰρ σοὶ πᾶσα μὲν ὁδὸς εὔπορος, πᾶς δὲ ποταμὸς διαβατός, τῶν τε ἐπιτηδείων οὐκ ἀπορία· ἄνευ δὲ σοῦ πᾶσα μὲν διὰ σκότους ἡ ὁδός — οὐδὲν γὰρ αὐτῆς ἐπιστάμεθα — πᾶς δὲ ποταμὸς δύσπορος,
10 πᾶς δὲ ὄχλος φοβερός, φοβερώτατον δ' ἐρημία· μεστὴ γὰρ πολλῆς ἀπορίας ἐστίν. εἰ δὲ δὴ καὶ μανέντες σε κατακτείναιμεν, ἄλλο τι ἂν ἦ, τὸν εὐεργέτην κατακτείναντες, πρὸς βασιλέα τὸν μέγιστον ἔφεδρον ἀγωνιζοίμεθα ; ὅσων δὲ δὴ καὶ οἵων ἂν ἐλπίδων ἐμαυτὸν στερήσαιμι, εἰ σέ τι κακὸν ἐπιχειρήσαιμι ποιεῖν, ταῦτα
11 λέξω· ἐγὼ γὰρ Κῦρον ἐπεθύμησά μοι φίλον γενέσθαι,

τερον δὲ ἢ ἔπειτα δέ, ἀλλὰ τῶν δ' ἀνθρωπίων ἕνεκα τοῦ παρεμπεσόντος. Περὶ μὲν δὴ τῶν θεῶν, §. 8. — Οἱ τῶν θεῶν ὅρκοι] οἱ πρὸς τοὺς θεοὺς ὅρκοι. Ἴδε Ἀσ. 50. 40. περὶ τὸ μέσον. τοιοῦτο καὶ τὸ ἐπιφερόμενον τὸν θεῶν πόλεμον. — Ἀπὸ ποίου τάχους] πόσον ταχέως φεύγων τις. — Ἀποφύγοι . . ἀποδραίη] ἴδε Α. δ'. 8. Οὔτ' ἀποδεδράκασιν. — Ὅπως ἀποσταίη εἰς ἐχυρὸν χωρίον] = οὐθ' ὅπως ἐκ τοῦ πεδίου τῆς μάχης ἤθελεν ἀποχωρήσει εἰς ὠχυρωμένον τόπον. Ἴδε Α'. β'. 24. — Τοῖς θεοῖς ὕποχα] τοῖς θεοῖς ὑποτεταγμένα. — Ἴσον πάντων κρατοῦσι] ἐπίσης πάντων δεσπόζουσι. Ἐκ παραλλήλου τοῦτο ἐτέθη πρὸς σαφεστέραν ἐξήγησιν τοῦ πάντα τοῖς θεοῖς ὕποχα.

§. 8. Περὶ μὲν δή] ἀλλὰ περὶ μέν. Ἴδε καὶ Α': Θ'. 13. — Οὕτω γινώσκω] ταύτην τὴν γνώμην ἔχω. Β'. γ'. 19. — Παρ' οἷς . . κατεθέμενα] εἰς οὓς (θεοὺς ὀλιγαρκῆ) παρακατεθέσαμεν (πρὸς φύλαξιν) τοὺς ὅρκους, ἀφοῦ τοὺς συνωμολογήσαμεν.

§. 9. Διὰ σκότους] σκοτεινή.

§. 10. Εἰ δὲ δὴ καὶ] εἰ δὲ ἤδη καὶ ἄλλο τι κακὸν ποιοῖμεν καὶ ἀποκτείναιμέν σε μανέντες (ἐκ μανίας). Ἴδε Ἀσ. 665. 24. — Ἄλλο τι ἂν ἦ πολεμήσομεν] = ἆρά γε οὐ πολεμήσομεν ; τὸ δὲ πλῆρες, Ἄλλο τι ἂν ποιήσομεν ἢ πολεμήσομεν. Ἀσ. 808. 39. — Ἔφεδροι] ἕτοιμον ὄντα νὰ ἐκδικηθῇ τὸν θάνατόν σου· διότι ἔφεδρος λέγεται ὁ ἐν ταῖς μονομαχίαις ἕτοιμος νὰ μονομαχήσῃ μὲ τὸν νικητήν. Σχολ. εἰς Ἀριστοφ. Βατραχ. 791.

§. 11. Νομίζων τῶν τότε ἱκανώτατον εἶναι] ἐπειδὴ ἐνόμιζον

νομίζων τῶν τότε ἱκανώτατον εἶναι εὖ ποιεῖν, ὃν βούλοιτο· σὲ δὲ νῦν ὁρῶ τήν τε Κύρου δύναμιν καὶ χώραν ἔχοντα καὶ τὴν σαυτοῦ ἀρχὴν σῴζοντα, τὴν δὲ βασιλέως δύναμιν, ᾗ Κῦρος πολεμίᾳ ἐχρῆτο, σοὶ ταύτην σύμμαχον οὖσαν. τούτων δὲ τοιούτων ὄντων, 12
τίς οὕτω μαίνεται, ὅστις οὐ βούλεταί σοι φίλος εἶναι ; ἀλλὰ μήν — ἐγὼ γὰρ καὶ ταῦτα, ἐξ ὧν ἔχω ἐλπίδας καὶ σὲ βουλήσεσθαι φίλον ἡμῖν εἶναι — οἶδα μὲν 13
γὰρ ὑμῖν Μυσοὺς λυπηροὺς ὄντας, οὓς νομίζω ἂν σὺν τῇ παρούσῃ δυνάμει ταπεινοὺς ὑμῖν παρασχεῖν· οἶδα δὲ καὶ Πισίδας· ἀκούω δὲ καὶ ἄλλα ἔθνη πολλὰ τοιαῦτα εἶναι, ἃ οἶμαι ἂν παῦσαι ἐνοχλοῦντα ἀεὶ τῇ ὑμετέρᾳ εὐδαιμονίᾳ. Αἰγυπτίους δέ, οἷς μάλιστα ὑμᾶς νῦν γιγνώσκω τεθυμωμένους, οὐχ ὁρῶ, ποίᾳ δυνάμει συμμάχῳ χρησάμενοι μᾶλλον ἂν κολάσαισθε τῆς νῦν σὺν ἐμοὶ οὔσης. ἀλλὰ μὴν ἔν γε τοῖς πέριξ οἰκοῦσι 14
σύ, εἰ μὲν βούλοιό τῳ φίλος εἶναι, ὡς μέγιστος ἂν εἴης, εἰ δέ τίς σε λυποίη, ὡς δεσπότης ἂν ἀναστρέφοιο ἔχων ἡμᾶς ὑπηρέτας, οἵ σοι οὐκ ἂν τοῦ μισθοῦ ἕνεκα

ὅτι ἐκ τῶν τότε δυναστῶν αὐτὸς ἦτο ἱκανώτατος. — Εὖ ποιεῖν] ἴδε Α'. γ'. 4. — Ὃν βούλοιτο] ἴδε Γ'. Σ. Γ. — Τήν τε Κύρου δύναμιν καὶ χώραν ἔχοντα] διότι εἶχε δώσει ὁ βασιλεὺς τῷ Τισσαφέρνει καὶ τὴν ἡγεμονίαν ὧν Κῦρος ἐπὶ θαλάσσης ἦρχε σατραπειῶν. Διόδ. 14. 26. — Πολεμίᾳ ἐχρῆτο] = ἐπολέμει. Ἴδε Α'. ε. 3.

§. 13. Ἀλλὰ μήν] ἀνακολούθως ἔμεινε τοῦτο ἀνανταποδοτον. Τὸ δ' ὅλον θὰ ἦτο, Ἀλλὰ μὴν (ἐρῶ γὰρ καὶ ταῦτα, δι' ὧν ἔχω ἐλπίδας καὶ σὲ βουλήσεσθαι φίλον ἡμῖν εἶναι) καὶ ἡμεῖς οὐκ ὀλίγα ὑμῖν χρήσιμοι ἐσόμεθα. Ἴδε Ἀσ. 927. 212. καὶ 922. 199. Περὶ δὲ τοῦ ἀλλὰ μήν ἴδε Α'. Θ'. 18. — Ταπεινοὺς ὑμῖν παρασχεῖν] νὰ τοὺς καταστήσω εὐπειθεῖς πρὸς ὑμᾶς ἢ πρὸς τὴν ὑμετέραν ἀρχήν, ὡς λέγει ὁ Ἰσοκρ. ἐν 3. 55. Περὶ τοῦ παρέχω = ποιῶ, καθιστῶ, ἴδε Ἀσ. 266. 28. — Ἀκούω . . εἶναι] παρ' ἄλλων ἀκούσας γινώσκω. Ἴδε Ἀσ. Εἰσαγ. εἰς Ἑλλ. Σύντ. 606. 78. Μετὰ μετοχῆς δὲ συνασσόμενον τὸ ἀκούω = ἰδίαις αἰσθήσεσι γινώσκω, τὸ ἤκουσα μὲ ταύτιά μου, ὡς λέγει ἡ κοινή. Αὐτόθι. Ἴδε καὶ Γ'. γ'. 16. — Ποίᾳ δυνάμει συμμάχῳ χρησάμενοι] ποίᾳ ἄλλῃ ἢ ταύτῃ, ἣν ἐγὼ ἔχω, συμμαχήσαντες. Ἴδε §. 11. — Μᾶλλον ἂν κολάσαισθε] εὐκολώτερον ἠθέλετε τιμωρήσει. Περὶ τοῦ μᾶλλον = εὐκολώτερον ἴδε καὶ Γ'. β'. 19. Περὶ τοῦ ἂν μὲ μέλλοντα ὁριστ. Ἀσ. Εἰσαγ. εἰς Ἑλλ. Συντ. 438. 54.

§. 14. Ὡς μέγιστος] ὡς ἔξοχος

μόνον ὑπηρετοῦμεν, ἀλλὰ καὶ τῆς χάριτος, ἣν, σωθέν-
15 τες ὑπὸ σοῦ, σοὶ ἂν ἔχοιμεν δικαίως. ἐμοὶ μὲν ταῦτα
πάντα ἐνθυμουμένῳ οὕτω δοκεῖ θαυμαστὸν εἶναι τὸ
δὲ ἡμῖν ἀπιστεῖν, ὥστε καὶ ἥδιστ' ἂν ἀκούσαιμι τοὔ-
νομα, τίς οὕτως ἐστὶ δεινὸς λέγειν, ὥστε σὲ πεῖσαι
λέγων, ὡς ἡμεῖς σοι ἐπιβουλεύομεν. Κλέαρχος μὲν
οὖν τοσαῦτα εἶπε· Τισσαφέρνης δὲ ὧδε ἀπημείφθη.
16 Ἀλλ' ἥδομαι μέν, ὦ Κλέαρχε, ἀκούων σου φρονίμους
λόγους· ταῦτα γὰρ γιγνώσκων, εἴ τι ἐμοὶ κακὸν βου-
λεύοις, ἅμα ἂν μοι δοκεῖς καὶ σαυτῷ κακόνους εἶναι.
ὡς δ' ἂν μάθῃς, ὅτι οὐδ' ἂν ὑμεῖς δικαίως οὔτε βασιλεῖ
17 οὔτ' ἐμοὶ ἀπιστοίητε, ἀντάκουσον. εἰ γὰρ ὑμᾶς ἐβου-
λόμεθα ἀπολέσαι, πότερά σοι δοκοῦμεν ἱππέων
πλήθους ἀπορεῖν ἢ πεζῶν ἢ ὁπλίσεως, ἐν ᾗ ὑμᾶς
μὲν βλάπτειν ἱκανοὶ εἴημεν ἄν, ἀντιπάσχειν δὲ οὐδεὶς
18 κίνδυνος; ἀλλὰ χωρίων ἐπιτηδείων ὑμῖν ἐπιτίθεσθαι

ἢ ἰσχυρότατος πάντων· διότι ἐπὶ θεῶν, βασιλέων, ἀνθρώπων μέγας=ἰσχυρός, ἔξοχος. Ἀλλὰ καὶ ἐπὶ πραγμάτων μέγας = σπουδαῖος. Ἴδε Β'. ς'. 14. Α'. θ'. 24. — Ἔχων ἡμᾶς ὑπηρέτας] ἂν ἔχῃς σωματοφύλακας ἢ μισθοφόρους ἡμᾶς· διότι ὑπηρέται ἐλέγοντο καὶ οἱ ὑπὸ τὰς ἀμέσους διαταγὰς τοῦ στρατηγοῦ στρατιῶται καὶ οἱ μισθοφόροι. Ἴδε Κ. Π. 2. 1. 18, 6. 2. 13. — Τῆς χάριτος . . ἧς] = τῆς χάριτος, ἣν. Ἔλξις. Ἴδε Α'. ά. 8. ὧν Τισσαφέρνης. — Σωθέντες ὑπὸ σοῦ] = εἰ σωθείημεν ὑπὸ σοῦ.

§. 15. Ἀκούσαιμι τὸ ὄνομα, τίς κτλ.]=ἀκούσαιμι τὸ ὄνομα, ὅπως ἴδω, τίς οὕτω δεινός ἐστι. Ἐν τοῖς τοιούτοις ἁρμόζουσι μᾶλλον τὰ ὑπὸ Ἀσ Εἰσαγ. εἰς Ἑλλ. Σύντ. 435. 48. — Οὕτως δεινὸς λέγειν] τόσην κέκτηται πειθώ. λέγεται ἐπὶ τῶν ῥητόρων· ἀλλ' ἡ ῥητορικὴ κατ' Ἀριστοτέλη τέλος ἔχει τὸ πείθειν. Περὶ τοῦ λέγειν ἴδε Ἀσ. 89. 126. — Ἀπημείμφθη] ἀπεκρίνατο. Ἡ λέξις Ὁμηρική.

§. 16. Ἀλλ']=τῇ ἀληθείᾳ. Ἴδε Α'. ή. 17. — Ταῦτα γινώσκων]= ἂν ταύτην ἔχῃς τὴν γνώμην ἢ ἂν τοιαῦτα ἔχῃς φρονήματα. Β'. γ'. 19. — Ὡς δ' ἂν μάθῃς] ἵνα δὲ ἐννοήσῃς. Περὶ δὲ τοῦ ἂν ἐν τελικοῖς λόγοις ἴδε Ἀσ. 404. 181.

§ 17. Πότερα] οὐχὶ ἐπὶ δύο, ὡς συνήθως, ἀλλ' ἐπὶ πολλῶν λέγεται ἐνταῦθα. Τοιοῦτο καὶ τὸ τοῦ Λυσ. Ἐπιταφ. Πῶς δὲ αὐτοὺς χρὴ λῆξαι τῆς λύπης; πότερον κτλ. — Σοὶ δοκοῦμεν] ἴδε Α'. Γ. 12. — Ἐν ᾗ] Καθ' ἕλξιν τοῦτο (ἴδε Ἀσ. 905. 145) ἀντὶ ἐν οἷς, ἱππεῦσι δηλαδὴ καὶ πεζοῖς καὶ ὁπλίταις. Σημαίνει δὲ ἡ ἐν μετὰ δοτικῆς ἐνταῦθα τὸ ὄργανον=δι' ὧν. Ἴδε Ἀσ. 220. 58.

§. 18. Διαπορευεσθε]=διαπορεῖν ἄν σοι δοκοῦμεν; οὐ τοσαῦτα μὲν πεδία, ἃ ὑμεῖς, φίλια ὄντα, σὺν πολλῷ πόνῳ διαπορεύεσθε, τοσαῦτα δὲ ὄρη ὑμῖν ὁρᾶτε ὄντα πορευτέα, ἃ ἡμῖν ἔξεστι προκαταλαβοῦσιν, ἄπορα ὑμῖν παρέχειν, τοσοῦτοι δ' εἰσὶ ποταμοί, ἐφ' ὧν ἔξεστιν ἡμῖν ταμιεύεσθαι, ὁπόσοις ἂν ὑμῶν βουλώμεθα μάχεσθαι; εἰσὶ δ' αὐτῶν οὓς οὐδ' ἂν παντάπασι διαβαίητε, εἰ μὴ ἡμεῖς ὑμᾶς διαπορεύοιμεν. εἰ δ' ἐν πᾶσι τούτοις ἡττώμεθα, ἀλλὰ 19
τό γέ τοι πῦρ κρεῖττον τοῦ καρποῦ ἐστιν, ὃν ἡμεῖς δυναίμεθ' ἂν κατακαύσαντες λιμὸν ὑμῖν ἀντιτάξαι, ᾧ ὑμεῖς, οὐδ' εἰ πάνυ ἀγαθοὶ εἴητε, μάχεσθαι ἂν δύνασθε. πῶς ἂν οὖν, ἔχοντες τοσούτους πόρους πρὸς τὸ 20
ὑμῖν πολεμεῖν, καὶ τούτων μηδένα ἡμῖν ἐπικίνδυνον, ἔπειτα ἐκ τούτων πάντων τοῦτον ἂν τὸν τρόπον ἐξελοίμεθα, ὃς μόνος μὲν πρὸς θεῶν ἀσεβής, μόνος δὲ πρὸς ἀνθρώπων αἰσχρός; παντάπασι δὲ ἀπόρων ἐστὶ καὶ ἀμηχάνων καὶ ἐν ἀνάγκῃ ἐχομένων, καὶ τούτων 21

ρεύεσθε. Ἐνεστὼς ἀντὶ μέλλοντος. Οὕτω καὶ Ζ'. ζ'. 7. ἐξελαύνετε. Ἴδε καὶ Ἀσ. 494. 9. — Ὁρᾶτε ὄντα πορευτέα] ὁρᾶτε ὅτι δεῖ πορεύεσθαι. — Προκαταλαβοῦσι] ἴδε Α'. γ'. 14. — Παρασχεῖν] ἴδε ἀνωτέρω §. 13. ταπεινοὺς παρασχεῖν. — Ταμιεύεσθαι] νὰ τοποθετήσωμεν· λέγεται δὲ ἐπὶ στρατοῦ διηρημένου εἰς σώματα ἐστρατοπεδευμένα μακρὰν ἀλλήλων, καὶ ἔχοντα μὲν ἕκαστον ἰδίαν ἀποστολήν, δυνάμενα δ' ἐν ἀνάγκῃ νὰ παρέχωσιν ἀμοιβαίαν ἐπικουρίαν. Τὸ δὲ ὅλον = ταμιεύεσθαι σώματα τοσαῦτα, ὥστε μάχεσθαι (ἡμᾶς) ὁπόσοις ὑμῶν βουλόμεθα (μάχεσθαι). Ἐν Κ. Π. (Γ'. γ'. 47.) λέγει, Παραδόντες ἑαυτοὺς ἡμῖν ταμιεύεσθαι, ὥστε ὁπόσους ἂν βουλώμεθα αὐτῶν μάχεσθαι.

§. 19. Ἀλλὰ τό γέ τοι πῦρ] ἀλλὰ τὸ πῦρ εἶναι ὁμολογουμένως (γέ τοι) ἰσχυρότερον τοῦ καρποῦ. — Ἀγαθοὶ] γενναῖοι· διότι ἀγαθὸς ὁ ἔχων ἀρετήν τινα, σωφροσύνην δηλαδὴ ἢ δικαιοσύνην ἢ ἀνδρίαν τουτέστιν εὐψυχίαν· ἐπὶ τῆς τελευταίας σημασίας ἔχει συγκριτικὸν κρείσσων καὶ ὑπερθετικὸν κράτιστος. — Ἔπειτα] ἴδε Α'. β'. 25. Εἶτα. — Ὃς μόνος μὲν πρὸς θεῶν ἀσεβὴς κτλ.] = ὅσις κατὰ μὲν τὴν θείαν δικαιοσύνην εἶναι ὁ κατ' ἐξοχὴν ἀσεβής, κατὰ δὲ τὸ ἀνθρώπινον δίκαιον ὃ κατ' ἐξοχὴν αἰσχρός. Οὕτω δύναται νὰ ἑρμηνευθῇ καὶ τὸ ἐν Α'. ς'. 6. Ὅ τι εἶναι δίκαιον καὶ κατὰ τὴν θείαν καὶ κατὰ τὴν ἀνθρωπίνην δικαιοσύνην.

§. 21. Ἀπόρων ἐστί . . οἵτινες ἐθέλουσι] = ἀπόρων ἀνδρῶν ἰδιόν ἐστιν ἐθέλειν. Κυρίως ὅμως = ἀ-

πονηρῶν, οἵτινες ἐθέλουσι δι' ἐπιορκίας τε πρὸς θεοὺς καὶ ἀπιστίας πρὸς ἀνθρώπους πράττειν τι. οὐχ οὕτως ἡμεῖς, ὦ Κλέαρχε, οὔτε ἀλόγιστοι οὔτε ἠλίθιοι ἐσμεν.
22 ἀλλὰ τί δή, ὑμᾶς ἐξὸν ἀπολέσαι, οὐκ ἐπὶ τοῦτο ἤλθομεν; εὖ ἴσθι, ὅτι ὁ ἐμὸς ἔρως τούτου αἴτιος, τὸ τοῖς Ἕλλησιν ἐμὲ πιστὸν γενέσθαι, καί, ᾧ Κῦρος ἀνέβη ξενικῷ διὰ μισθοδοσίας πιστεύων, τούτῳ ἐμὲ καταβῆναι δι' εὐεργεσίας ἰσχυρόν. ὅσα δ' ἐμοὶ χρήσι-
23 μοι ὑμεῖς ἐστε, τὰ μὲν καὶ σὺ εἶπας, τὸ δὲ μέγιστον ἐγὼ οἶδα· τὴν μὲν γὰρ ἐπὶ τῇ κεφαλῇ τιάραν βασιλεῖ μόνῳ ἔξεστιν ὀρθὴν ἔχειν, τὴν δ' ἐπὶ τῇ καρδίᾳ ἴσως ἄν, ὑμῶν παρόντων, καὶ ἕτερος εὐπετῶς ἔχοι.
24 Ταῦτα εἰπὼν ἔδοξε τῷ Κλεάρχῳ ἀληθῆ λέγειν· καὶ εἶπεν, Οὔκουν, ἔφη, οἵτινες, τοιούτων ἡμῖν εἰς φιλίαν ὑπαρχόντων, πειρῶνται διαβάλλοντες ποιῆσαι πολε-

πόρων ἴδιόν ἐστι τοῦτο· ἄποροι δὲ εἰσίν, οἵτινες ἐθέλουσι κτλ. Τοιοῦτο καὶ τὸ ἐν Β'. ς'. 6. Ταῦτα οὐ νῦν φιλοπολέμῳ δοκεῖ κτλ. Ἀλλ' ἴδε Ἀσ. 913. 171. καὶ 172.—Ἠλίθιος] ἄφρων, βλάξ, ἀνόητος, ἐμβρόντητος, μεθ' ὧν εὕρηται πολλάκις ἐκ παραλλήλου, ὡς ἐνταῦθα μετὰ τοῦ ἀλόγιστος = ἀσυλλόγιστος.

§. 22. Ἐξὸν] εἰ καὶ ἦτο δυνατόν. Αἰτιατικὴ ἀπόλυτος τοῦ ἀπροσώπου ἔξεστι=ἐπιτρέπεται, ὅπερ πολλαχοῦ κεῖται ἀντὶ τοῦ ἔνεστι=εἶναι δυνατόν. Ἴδε Ἀσ. 478. 88.—Ἐπὶ τοῦτο ἤλθομεν;] δὲν ἐδοκιμάσαμεν τοῦτο; δὲν ἀπεπειράθημεν νὰ πράξωμεν τοῦτο; Ἴδε καὶ Γ. ά. 18.—Ὁ ἐμὸς κτλ.] = αἰτία τούτου εἶναι ὁ ἐμὸς ἔρως τοῦ γενέσθαι . . καὶ . . καταβῆναι. Ἐπειδὴ ὁ ἔρως προσδιορίζεται πάντοτε ὑπὸ γενικῆς, πιθανῶς ἀντεγράφη τὸ ἀντὶ τοῦ ἄλλως θὰ ἦναι τὸ γενέσθαι κατ' ἐπεξήγησιν προσδιορισμὸς τοῦ ὁ ἔρως.

§. 23. Ὅσα δὲ] εἰς πόσα δέ. Ἀσ. 219. 55.—Τιάρα] πῖλος ὑψηλὸς (καβούκι) περιτετυλιγμένος μὲ κεφαλόδεσμον (σαρίκι)· διὸ ἐλέγετο οὐ μόνον καὶ κίδαρις καὶ κυρβασία, ἀλλὰ καὶ στρόφιον (σαρίκι). Ταύτην δὲ οἱ μὲν βασιλεῖς ἔφερον ὀρθήν, οἱ δὲ σατράπαι κεκλιμένην.—Τὴν ἐπὶ τῇ καρδίᾳ . . ἔχοι] ἐννοεῖται ὀρθήν. Ἐννοεῖ δ' ὅτι, ἂν δὲν θὰ λέγηται βασιλεύς, θὰ ἔχῃ ὅμως βασιλικὰ φρονήματα ἀπειλῶν τὸν βασιλέα διὰ τῶν Ἑλλήνων, ἀλλὰ μὴ φοβούμενος αὐτὸν ὡς δοῦλος. Παρατηρητέον δ' ὅτι ὁ μὲν Κλέαρχος ἤρξατο ἀπὸ συμβουλῶν καὶ ἐτελεύτησε εἰς ἐμμέσους ἀπειλάς· ὁ δὲ Τισσαφέρνης, ὡς πάντες οἱ βάρβαροι, ἤρξατο μὲν ἀπὸ ἀπειλῶν ἐμμέσων, ἐτελεύτησε δὲ εἰς κολακείαν, ἐν ᾗ ὑπέκρυπτε μεμελετημένην ἀπιστίαν.

§. 24. Οὔκουν] . . ἄξιοί εἰσι . . παθεῖν] δὲν πρέπει λοιπὸν νὰ

μίους ἡμᾶς, ἄξιοί εἰσι τὰ ἔσχατα παθεῖν; Καὶ ἐγὼ 25
μέν γε, ἔφη ὁ Τισσαφέρνης, εἰ βούλεσθέ μοι οἵ τε στρατηγοὶ καὶ οἱ λοχαγοὶ ἐλθεῖν ἐν τῷ ἐμφανεῖ, λέξω τοὺς πρὸς ἐμὲ λέγοντας, ὡς σὺ ἐμοὶ ἐπιβουλεύεις καὶ τῇ σὺν ἐμοὶ στρατιᾷ. Ἐγὼ δέ, ἔφη ὁ Κλέαρχος, ἄξω 26
πάντας, καὶ σοὶ αὖ δηλώσω, ὅθεν ἐγὼ περὶ σοῦ ἀκούω. ἐκ τούτων δὴ τῶν λόγων ὁ Τισσαφέρνης φιλοφρο- 27
νούμενος, τότε μὲν μένειν τε αὐτὸν ἐκέλευσε καὶ σύνδειπνον ἐποιήσατο. τῇ δὲ ὑστεραίᾳ ὁ Κλέαρχος, ἐλθὼν ἐπὶ τὸ στρατόπεδον, δῆλός τ' ἦν πάνυ φιλικῶς οἰόμενος διακεῖσθαι τῷ Τισσαφέρνει καί, ἃ ἔλεγεν ἐκεῖνος, ἀπήγγελλεν, ἔφη τε χρῆναι ἰέναι παρὰ Τισσαφέρνην, οὗς ἐκέλευσε, καί, οἳ ἂν ἐλεγχθῶσι διαβάλλοντες τῶν Ἑλλήνων, ὡς προδότας αὐτοὺς καὶ κακόνους τοῖς Ἕλλησιν ὄντας τιμωρηθῆναι. ὑπώπτευε δὲ εἶναι τὸν 28
διαβάλλοντα Μένωνα, εἰδὼς αὐτὸν καὶ συγγεγενημένον Τισσαφέρνει μετ' Ἀριαίου καὶ σταδιάζοντα αὐτῷ καὶ ἐπιβουλεύοντα, ὅπως, τὸ στράτευμα ἅπαν πρὸς ἑαυτὸν λαβών, φίλος ᾖ Τισσαφέρνει. ἐβούλετο δὲ καὶ ὁ Κλέαρ- 29
χος ἅπαν τὸ στράτευμα πρὸς ἑαυτὸν ἔχειν τὴν γνώμην

πάθωσι τὰ ἔσχατα, νὰ ὑποσῶσι τὴν μεγίστην τιμωρίαν; Περὶ τοῦ οὔκουν ἴδε Ἀσ. 805. 29.—Τοιούτων ἡμῖν εἰς φιλίαν ὑπαρχόντων] εἰ καὶ ἔχομεν τοιαύτας πρὸς φιλίαν ἀφορμάς.

§. 25. Καὶ ἐγὼ μέν γε] ἀλλὰ καὶ ἐγὼ τοὐλάχιστον. Ταύτην συνήθως τὴν σημασίαν ἔχει τὸ μέν γε.

§. 26. Ὅθεν]=Ἐκείνους, παρ' ὧν. Α'. γ'. 17.

§. 27. Ἐκ τούτων δὴ τῶν λόγων] ἕνεκα λοιπὸν τούτων τῶν λόγων. Ἀσωπ. 592. 34. — Φιλοφρονούμενος] σκοπὸν προτιθέμενος νὰ φανῇ φιλόφρων, φιλικὰ φρονήματα ἔχων. Α'. γ'. 16. ἐπιδεικνύς.—Δῆλος ἦν . . οἰόμενος] Ἴδε Α'. β. 11.=ἀπροκαλύπτως ἐνόμιζεν.—Πάνυ φιλικῶς . . διακεῖσθαι τῷ Τισσαφέρνει] ὅτι ἐθεωρεῖτο ὑπὸ τοῦ Τισσαφέρνους ξένος φίλος. Διάκειμαί τινι φιλικῶς, ἐχθρικῶς, ἐπιφθόνως, ὑπόπτως κτλ. συνήθως μὲν = θεωρῶ ἐγώ τινα φίλον, ἐχθρόν, κτλ. Ἐνίοτε ὅμως, ἀντιθέτως,= θεωροῦμαι ὑπό τινος φίλος κτλ. Ὁ Θουκυδ. ἐν 8. 68. λέγει, ὑπόπτως τῷ πλήθει διὰ δόξαν δεινότητος διακείμενος = θεωρούμενος ὑπὸ τοῦ πλήθους ὕποπτος. — Εἰδὼς αὐτὸν καὶ συγγεγενημένον Τισσαφέρνει] διότι ἐγίνωσκεν ὅτι καὶ εἰς λόγους ἦλθε μὲ τὸν Τισσαφέρνην. Β'. β'. 1.

§. 29. Πρὸς ἑαυτὸν ἔχων τὴν

καὶ τοὺς παραλυποῦντας ἐκποδὼν εἶναι. τῶν δὲ στρατιωτῶν ἀντέλεγόν τινες αὐτῷ μὴ ἰέναι πάντας τοὺς λοχαγοὺς καὶ στρατηγοὺς μηδὲ πιστεύειν Τισ-
30 σαφέρνει. ὁ δὲ Κλέαρχος ἰσχυρῶς κατέτεινεν, ἔστε διεπράξατο πέντε μὲν στρατηγοὺς ἰέναι, εἴκοσι δὲ λοχαγούς· συνηκολούθησαν δὲ ὡς εἰς ἀγορὰν καὶ τῶν ἄλλων στρατιωτῶν ὡς διακόσιοι.

31 Ἐπεὶ δὲ ἦσαν ἐπὶ ταῖς θύραις ταῖς Τισσαφέρνους, οἱ μὲν στρατηγοὶ παρεκλήθησαν εἴσω, Πρόξενος Βοιώτιος, Μένων Θετταλός, Ἀγίας Ἀρκάς, Κλέαρχος Λάκων, Σωκράτης Ἀχαιός, οἱ δὲ λοχαγοὶ ἐπὶ ταῖς
32 θύραις ἔμενον. οὐ πολλῷ δὲ ὕστερον ἀπὸ τοῦ αὐτοῦ σημείου οἵ τ' ἔνδον συνελαμβάνοντο καὶ οἱ ἔξω κατεκόπησαν. μετὰ δὲ ταῦτα τῶν βαρβάρων τινὲς ἱππέων διὰ τοῦ πεδίου ἐλαύνοντες, ᾧτινι ἐντυγχάνοιεν Ἕλληνι,
33 ἢ δούλῳ ἢ ἐλευθέρῳ, πάντας ἔκτεινον. οἱ δὲ Ἕλληνες τήν τε ἱππασίαν αὐτῶν ἐθαύμαζον, ἐκ τοῦ στρατοπέδου ὁρῶντες, καὶ ὅ τι ἐποίουν ἠμφεγνόουν, πρὶν Νίκαρχος Ἀρκὰς ἦκε φεύγων τετρωμένος εἰς τὴν γαστέρα καὶ τὰ ἔντερα ἐν ταῖς χερσὶν ἔχων καὶ εἶπε
34 πάντα τὰ γεγενημένα. ἐκ τούτου δὴ οἱ Ἕλληνες ἔθεον ἐπὶ τὰ ὅπλα πάντες ἐκπεπληγμένοι καὶ νομίζοντες
35 αὐτίκα ἥξειν αὐτοὺς ἐπὶ τὸ στρατόπεδον. οἱ δὲ πάντες μὲν οὐκ ἦλθον, Ἀριαῖος δὲ καὶ Ἀρτάοζος καὶ Μιθριδάτης, οἳ ἦσαν Κύρῳ πιστότατοι· ὁ δὲ τῶν Ἑλλήνων ἑρμηνεὺς ἔφη καὶ τὸν Τισσαφέρνους ἀδελφὸν

γνώμην] εἰς ἑαυτὸν νὰ εἶναι προσηλωμένον, νὰ φρονῇ τὰ ἑαυτοῦ. — Ἰσχυρῶς κατέτεινε] ἐπέμενε λίαν. Α'. β'. 21. Τὸ δὲ πλῆρες, ἰσχυρῶς κατέτεινε τὸν λόγον.

§. 30. Ὡς εἰς ἀγορὰν] = ὡς ὅτε συνηκολούθουν αὐτοῖς εἰς τὴν ἀγορὰν πορευομένοις, ἐπομένως ἄοπλοι.

§. 31. Ἐπὶ ταῖς θύραις]=παρὰ τὰ πρόθυρα. Α'. γ'. 20. καὶ Α'. δ. 4.

§. 32. Ἀπὸ τοῦ αὐτοῦ σημείου] ἀπὸ τῆς αὐτῆς παραγγέλσεως, λέγει ἐν Δ'. ά. 5. = διὰ τοῦ αὐτοῦ σημείου. Ἀσ. 588. 19.

§. 33. Ἱππασίαν] τὴν περὶ τὸ ἱππεύειν ἄσκησιν.—Ἠμφιγνόουν] δὲν ἐγίνωσκον ἀκριβῶς. — Πρὶν] ἕως οὗ. Κυρίως οὐ πρόσθεν σαφῶς ἔγνωσαν, πρὶν ἦκε. Ἴδε Α'. ά. 10.

§. 35. Εἰς τριακοσίους] Α'. ά. 10. εἰς δισχιλίους. — Εἴ τις] Β'. ά. 8.

σὺν αὐτοῖς ὁρᾶν καὶ γιγνώσκειν· συνηκολούθουν δὲ καὶ ἄλλοι Περσῶν τεθωρακισμένοι εἰς τριακοσίους. οὗτοι, ἐπεὶ ἐγγὺς ἦσαν, προσελθεῖν ἐκέλευον, εἴ τις 36
εἴη τῶν Ἑλλήνων ἢ στρατηγὸς ἢ λοχαγός, ἵνα ἀπαγγείλωσι τὰ παρὰ βασιλέως. μετὰ ταῦτα ἐξῆλθον 37
φυλαττόμενοι τῶν Ἑλλήνων στρατηγοὶ μὲν Κλεάνωρ Ὀρχομένιος καὶ Σοφαίνετος Στυμφάλιος, σὺν αὐτοῖς δὲ Ξενοφῶν Ἀθηναῖος, ὅπως μάθοι τὰ περὶ Προξένου· Χειρίσοφος δ' ἐτύγχανεν ἀπὼν ἐν κώμῃ τινὶ σὺν ἄλλοις ἐπισιτιζόμενος. ἐπεὶ δὲ ἐστησαν εἰς ἐπήκοον, 38
εἶπεν Ἀριαῖος τάδε, Κλέαρχος μέν, ὦ ἄνδρες Ἕλληνες, ἐπεὶ ἐπιορκῶν τε ἐφάνη καὶ τὰς σπονδὰς λύων, ἔχει τὴν δίκην καὶ τέθνηκε, Πρόξενος δὲ καὶ Μένων, ὅτι κατήγγειλαν αὐτοῦ τὴν ἐπιβουλήν, ἐν μεγάλῃ τιμῇ εἰσιν. ὑμᾶς δὲ βασιλεὺς τὰ ὅπλα ἀπαιτεῖ. ἑαυτοῦ γὰρ εἶναί φησιν, ἐπείπερ Κύρου ἦσαν τοῦ ἐκείνου δούλου. πρὸς ταῦτα ἀπεκρίναντο οἱ Ἕλληνες, ἔλεγε 39
δὲ Κλεάνωρ ὁ Ὀρχομένιος, Ὦ κάκιστε ἀνθρώπων Ἀριαῖε καὶ οἱ ἄλλοι, ὅσοι ἦτε Κύρου φίλοι, οὐκ αἰσχύνεσθε οὔτε θεοὺς οὔτ' ἀνθρώπους, οἵτινες, ὁμόσαντες ἡμῖν τοὺς αὐτοὺς φίλους καὶ ἐχθροὺς νομεῖν, προδόντες ἡμᾶς σὺν Τισσαφέρνει τῷ ἀθεωτάτῳ τε καὶ πανουργοτάτῳ, τούς τε ἄνδρας αὐτούς, οἷς ὤμνυτε, ἀπολωλέκατε καί, τοὺς ἄλλους ἡμᾶς προδεδωκότες, σὺν

§. 27. Φυλαττόμενοι] μετ' ἐπιφυλάξεως. Β'. δ'. 24.—Ξενοφῶν] ἴδε Γ'. ά. 4. — Ἐπισιτιζόμενος] Α'. δ'. 19.

§. 38. Ἔστησαν εἰς ἐπήκοον] ἐστάθησαν εἰς θέσιν ἐπιτρέπουσαν ν' ἀκούσωσι τὰ λεγόμενα. Ἐν Κ. Π. Δ'. γ'. 3. λέγει, Στάς, ὅπου ἔμελλον αὐτοῦ ἐξακούσεσθαι τὰ βουλευόμενα, λέγει τάδε. Ἴδε καὶ Γ'. γ'. 1, Δ'. δ'. 5, Ζ. ς'. 8. — Ἔχει τὴν δίκην]=ἔχει τὴν προσήκουσαν τιμωρίαν = ἐτιμωρήθη προσηκόντως. Ἀσ. 142. 26. Ἴδε καὶ Γ. Σ. ς'.—Ἑαυτοῦ γὰρ εἶναι] Γ. Σ. Α'. — Δούλου] σκλάβου· διότι εἷς μόνος ἦτο ἐλεύθερος, ὁ βασιλεύς· πάντων δὲ τῶν ἄλλων ἀνεξαιρέτως καὶ ἡ περιουσία καὶ ἡ τιμὴ καὶ ἡ ζωὴ ἐξηρτᾶτο ἐκ μόνης τῆς θελήσεως τοῦ βασιλέως. Ἴδε Α'. ά. 3.

§. 39. Πρὸς ταῦτα] Α'. γ'. 19. —Οἵτινες . . ἀπολωλέκατε καὶ . . ἔρχεσθε] ὅτι ἀπολωλέκατε. Ἴδε Α'. ς'. 5.—Ὁμόσαντες . . προδόντες] = εἰ καὶ ὠμόσατε . . προδόντες . . ἀπολωλέκατε.

40 τοῖς πολεμίοις ἐφ' ἡμᾶς ἔρχεσθε; ὁ δὲ Ἀριαῖος εἶπε, Κλέαρχος γὰρ πρόσθεν ἐπιβουλεύων φανερὸς ἐγένετο Τισσαφέρνει τε καὶ Ὀρόντᾳ καὶ πᾶσιν ἡμῖν τοῖς σὺν
41 τούτοις. ἐπὶ τούτοις Ξενοφῶν τάδε εἶπε, Κλέαρχος μὲν τοίνυν, εἰ παρὰ τοὺς ὅρκους ἔλυε τὰς σπονδάς, τὴν δίκην ἔχει — δίκαιον γὰρ ἀπόλλυσθαι τοὺς ἐπιορκοῦντας — Πρόξενος δὲ καὶ Μένων, ἐπείπερ εἰσὶν ὑμέτεροι μὲν εὐεργέται, ἡμέτεροι δὲ στρατηγοί, πέμψατε αὐτοὺς δεῦρο· δῆλον γάρ, ὅτι, φίλοι γε ὄντες ἀμφοτέροις, πειράσονται καὶ ὑμῖν καὶ ἡμῖν τὰ βέλτιστα
42 συμβουλεῦσαι. πρὸς ταῦτα οἱ βάρβαροι, πολὺν χρόνον διαλεχθέντες ἀλλήλοις, ἀπῆλθον οὐδὲν ἀποκρινάμενοι.

1 ς'. Οἱ μὲν δὴ στρατηγοί, οὕτω ληφθέντες, ἀνήχθησαν ὡς βασιλέα καὶ ἀποτμηθέντες τὰς κεφαλὰς ἐτελεύτησαν, εἷς μὲν αὐτῶν Κλέαρχος ὁμολογουμένως ἐκ πάντων τῶν ἐμπείρως αὐτοῦ ἐχόντων δόξας γενέσθαι ἀνὴρ καὶ πολεμικὸς καὶ φιλοπόλεμος ἐσχάτως.
2 καὶ γὰρ δή, ἕως μὲν πόλεμος ἦν τοῖς Λακεδαιμονίοις πρὸς τοὺς Ἀθηναίους, παρέμενεν· ἐπεὶ δὲ εἰρήνη ἐγένετο, πείσας τὴν αὐτοῦ πόλιν, ὡς οἱ Θρᾷκες ἀδικοῦσι τοὺς Ἕλληνας καί, διαπραξάμενος ὡς ἐδύνατο παρὰ

§. 40. *Κλέαρχος γὰρ*] = *Οὐκ αἰσχύνομαι· ὁ μὲν γὰρ Κλέαρχος.* Ἀσ. 822. 95.

§. 41. *Ἐπὶ τούτοις*] μετὰ ταῦτα, τούτων λεχθέντων. Ἀσ. 617. 128.—*Κλέαρχος μὲν τοίνυν*] *Ἆρα ἢ τούτων οὕτως ἐχόντων, ὁ μὲν Κλέαρχος κτλ.—Πρόξενος δὲ καὶ Μένων . . πέμψατε*] Ἀνακόλουθον. *Ἴδε* Ἀσ. 919. 191. *Ἴδε καὶ Γ'. β'. 12, Γ'. γ'. 16.*

Κεφ. ς'. §. 1. *Οἱ μὲν δὴ στρατηγοί*] *Ἵνα δὲ ἐπανέλθω εἰς τὴν διακοπεῖσαν τοῦ λόγου σειράν, οἱ μὲν στρατηγοὶ κτλ.* Ἀσ. 922. 199. *περὶ τὸ τέλος καὶ 200. — Ἀποτμηθέντες τὰς κεφαλὰς*] ἀποκεφαλισθέντες ἢ κατατομηθέντες. *Ἐκ τοῦ ἀποτέμνω τινὸς τὴν κεφαλὴν γίνεται παθητικὸν ἀποτέμνεταί τις τὴν κεφαλήν.* Ἀσ. 280. 20. — *Τῶν ἐμπείρως αὐτοῦ ἐχόντων*] *ἴδε Α'. θ'. 1. ἐν πείρᾳ γενέσθαι. — Πολεμικὸς*] *ἔχων τὰ προσόντα τοῦ καλῶς πολεμεῖν ἢ τοῦ καλῶς διοικεῖν τὰ τοῦ πολέμου. Ἴδε καὶ Α'. δ'. 1. Βασιλικώτατος. Καὶ περὶ μὲν τοῦ πολεμικὸς λέγει ἐν §. 7—8, περὶ δὲ τοῦ φιλοπόλεμος ἐν §. 2—7. — Ἐσχάτως*]=*ἄκρως, τὰ μάλιστα.*

§. 2. *Καὶ γὰρ*] *Α'. γ'. 12. — Πόλεμος*] *ὁ Πελοποννησιακός. — Παρέμενεν*] *σαθερῶς ἔμεινε τῷ τῆς πολιτείας ἤθει, ὡς λέγει ὁ Δημοσθένης. τοῦτο δὲ συνᾴδει καὶ τῷ ἑπομένῳ οὐκέτι πείθεται.—Καὶ διαπραξάμενος παρὰ τῶν ἐφόρων, ἐξέπλει*] = *καὶ διαπραξάμενος δοθῆναι αὐτῷ παρὰ τῶν ἐφόρων ἐκπλέειν, ἐξέπλει. Ἴδε Β'. γ'. 25. Διαπεπραγμένος ἦκοι κτλ. — Ὡς ἠδύνατο*] *μὲ κάθε τρόπον, ὡς λέγει ἡ κοινή· ἐξ οὗ καὶ δῆλον ὅτι ὁ Ξενοφῶν ἀποδοκιμάζει τὴν ἀπείθειαν τοῦ Κλεάρχου, ὡς παραπείσαντος τοὺς ἐφόρους. — Ὡς πολεμήσων*] *Α'. ά. 3.—Περίνθου*] πόλις Θρᾳκικὴ εἰς τὰ παράλια τῆς προποντίδος, ἥτις βραδύτερον μετωνομάσθη Ἡράκλεια, τὰ νῦν Ἐσκὶ Ἐρεγκλὶ (Ἐρεκλὶ = Ἡράκλεια.)

§. 3. *Πῶς*] κἄπως, διά τινας λόγους.—*Ἔξω ὄντος αὐτοῦ, ἀποστρέφειν αὐτὸν*] =*ἔξω* (*τῆς Σπάρτης*) *ὄντα ἀποστρέφειν αὐτόν.* Ἀσ. 476. 81.—*Ἰσθμοῦ*] *τῆς Κορίνθου· διότι οὗτος, ὡς σπουδαιότατος πάντων τῶν τότε, ἐτίθετο ἄνευ ἰδιαιτέρου προσδιορισμοῦ. — Ἐνταῦθα*] *τότε. Α'. ή. 19.—Οὐκέτι*] *Α'. έ. 12. οὔπω ἦκεν. — Ὥρχετο πλέων*] *Γ. Σ. Δ'.*

§. 4. *Ἐθανατώθη*] *εἰς θάνατον κατεδικάσθη.—Ὑπὸ τῶν οἴκοι τελῶν*] *ὑπὸ τῶν ἀρχόντων τῆς πατρίδος. Οἱ ἐν τέλει*=*οἱ ἄρχοντες, ἐν οἷς καὶ οἱ ἔφοροι τῆς Σπάρτης, καθόσον μάλιστα τοιαύτας ποινὰς μόνον οἱ ἔφοροι ἠδύναντο νὰ ἐπιβάλλωσιν. Ξενοφ. Περὶ πολιτ. Λακεδ. Η'. 4.—Ἄλλῃ γέγραπται*] *ἴδε Α'. ά. 9. κτλ.*

§. 5. *Ἀπὸ τούτου δή*] *ἀπὸ τούτου πλέον τοῦ χρόνου. —Ἔφερε καὶ ἦγε*] *ἐδέσποζε· τοὺς ἔκαμε ὅ τι ἤθελε, ὡς λέγει ἡ κοινή. λέγεται δὲ κυρίως ἐπὶ κατακτητῶν, οἵτινες τὰ μὲν ἄψυχα φέρουσι μεθ' ἑαυτῶν ἢ λεηλατοῦσι, τὰ δὲ ἔμψυχα ἄγουσιν ἢ αἰχμαλωτίζουσιν.— Πολεμῶν διεγένετο*] *ἴδε Γ. Σ. Δ'. — Αὖ*] *ἴδε Β'. γ'. 27.*

§. 6. *Ἐξὸν*] *ἴδε Β'. έ. 22.*]—*Ρᾳ-*

τῶν ἐφόρων, ἐξέπλει ὡς πολεμήσων τοῖς ὑπὲρ Χερρονήσου καὶ Περίνθου Θρᾳξίν. ἐπεὶ δέ, μεταγνόντες 3 πως οἱ ἔφοροι, ἤδη ἔξω ὄντος αὐτοῦ, ἀποστρέφειν αὐτὸν ἐπειρῶντο ἐξ Ἰσθμοῦ, ἐνταῦθα οὐκέτι πείθεται, ἀλλ' ᾤχετο πλέων εἰς Ἑλλήσποντον. ἐκ τούτου καὶ 4 ἐθανατώθη ὑπὸ τῶν ἐν τῇ Σπάρτῃ τελῶν ὡς ἀπειθῶν. ἤδη δέ, φυγὰς ὤν, ἔρχεται πρὸς Κῦρον· καὶ ὁποίοις μὲν λόγοις ἔπεισε Κῦρον, ἄλλῃ γέγραπται, δίδωσι δὲ αὐτῷ Κῦρος μυρίους δαρεικούς· ὁ δὲ λαβὼν 5 οὐκ ἐπὶ ῥᾳθυμίαν ἐτράπετο, ἀλλ', ἀπὸ τούτων τῶν χρημάτων συλλέξας στράτευμα, ἐπολέμει τοῖς Θρᾳξὶ καὶ μάχῃ τε ἐνίκησε καὶ ἀπὸ τούτου δὴ ἔφερε καὶ ἦγε τούτους καὶ πολεμῶν διεγένετο, μέχρι Κῦρος ἐδεήθη τοῦ στρατεύματος· τότε δὲ ἀπῆλθεν ὡς σὺν ἐκείνῳ αὖ πολεμήσων. ταῦτα οὖν φιλοπολέμου μοι δοκεῖ 6

ἀνδρὸς ἔργα εἶναι, ὅστις, ἐξὸν μὲν εἰρήνην ἔχειν ἄνευ αἰσχύνης καὶ βλάβης, αἱρεῖται πολεμεῖν· ἐξὸν δὲ ῥᾳθυμεῖι, βούλεται πονεῖν· ὧστε πολεμεῖν· ἐξὸν δὲ χρήματα ἔχειν ἀκινδύνως, αἱρεῖται πολεμῶν μείονα ταῦτα ποιεῖν. ἐκεῖνος δέ, ὥσπερ εἰς παιδικὰ ἢ εἰς ἄλλην τινὰ ἡδονήν, ἤθελε δαπανᾶν εἰς πόλεμον. οὕτω μὲν φιλο-
7 πόλεμος ἦν· πολεμικὸς δὲ αὖ ταύτῃ ἐδόκει εἶναι, ὅτι φιλοκίνδυνός τε ἦν καὶ ἡμέρας καὶ νυκτὸς ἄγων ἐπὶ τοὺς πολεμίους καὶ ἐν τοῖς δεινοῖς φρόνιμος, ὡς οἱ
8 παρόντες πανταχοῦ πάντες ὡμολόγουν. καὶ ἀρχικὸς δ' ἐλέγετο εἶναι ὡς δυνατὸν ἐκ τοῦ τοιούτου τρόπου, οἷον κἀκεῖνος εἶχεν· ἱκανὸς μὲν γάρ, ὡς τις καὶ ἄλλος, φροντίζειν ἦν, ὅπως ἔχοι ἡ στρατιὰ αὐτῷ τὰ ἐπιτήδεια καὶ παρασκευάζειν ταῦτα, ἱκανὸς δὲ καὶ ἐμποιῆσαι
9 τοῖς παροῦσιν, ὡς πιστέον εἴη Κλεάρχῳ. τοῦτο δ'

θυμεῖν] ἀργῶς ζῆν· διὸ καὶ ἀντιτάσσεται τὸ πονεῖν. Ἀλλὰ ῥᾳθυμεῖν καὶ τὸ ἀμελεῖν καὶ τὸ ἡδυπαθῶς ζῆν καὶ τὸ ἄφρονά τινα εἶναι.—Ὥσπερ εἰς παιδικὰ κτλ.]=ὥσπερ ἄλλοι ἐθέλουσι δαπανᾶν εἰς παιδικά, οὕτως αὐτὸς ἤθελε δαπανᾶν εἰς πόλεμον. Παιδικὰ δὲ ὁ παρὰ φύσιν ἔρως.—Εἰς παιδικά . . εἰς πόλεμον] εἰς ἐπίτευξιν παιδικῶν ἢ παρὰ φύσιν ἐρώτων . . εἰς διεκπεραίωσιν πολέμου. Ἀσ. 601. 69.

§. 7. Οὕτω μὲν φιλοπόλεμος . . πολεμικὸς δ' αὖ ταύτῃ] = διὰ τούτους μὲν τοὺς λόγους ἦτο φιλοπόλεμος, πολεμικὸς δ' ἀφ' ἑτέρου διὰ τοὺς ἐπιφερομένους (λόγους).—Ἄγων ἐπὶ τοὺς πολεμίους] = στρατεύων ἐπὶ τοὺς πολεμίους. —Καὶ ἡμέρας καὶ νυκτὸς] τόσον τὴν ἡμέραν, ὅσον καὶ τὴν νύκτα ἢ οὐ μόνον τὴν ἡμέραν, ἀλλὰ καὶ τὴν νύκτα. Ἀσ 671. 47. — Φρόνιμος] διατηρῶν τὴν παρουσίαν τοῦ πνεύματος, μὴ σαστίζων, ὡς λέγει ἡ κοινή.

§. 8. Καὶ ἀρχικὸς δὲ] Περὶ μὲν τοῦ Καὶ . . δὲ ἴδε Α'. ά. 2. περὶ δὲ τοῦ ἀρχικὸς Α'. Θ'. 1. βασιλικώτατος. Τὸ δὲ ὅλον = ἐλέγετο δὲ προσέτι ὅτι εἶχε τὰ προσόντα καλοῦ στρατηγοῦ ἐφ' ὅσον ἦτο δυνατόν, ὅσον δηλαδὴ ἐπέτρεπεν αὐτῷ ὁ τοιοῦτος χαρακτήρ, ὁποῖον εἶχε καὶ ἐκεῖνος. Πιθανώτερον ὅρως τὸ ἐκ τοῦ τοιούτου τρόπου κτλ. νὰ προσδιορίζῃ τὸ ἀρχικός, καὶ τότε τὸ ὅλον =ἐλέγετο δ' ὅτι, καθόσον τῷ ἦτο δυνατόν, καὶ ἀρχικὸς ἦτο ἕνεκα τοῦ χαρακτῆρος κτλ.—Ὡς τις καὶ ἄλλος] Α'. γ'. 15.—Ἐμποιῆσαι τοῖς στρατιώταις, ὡς πιστέον εἴη] νὰ ἐμποιήσῃ τὴν γνώμην ἢ ἰδέαν ὅτι πρέπει νὰ ἔχωσιν ἐμπιστοσύνην ἢ πεποίθησιν. Εἰς τὸν Οἰκονομ. ΚΑ'. 7. λέγει, Ἐρωμένοι ἄρχοντες γίγνωνται, οἱ ἂν δύνωνται ἐμποιῆσαι τοῖς στρατιώταις ἀκολουθητέον εἶναι καὶ διὰ πυρὸς καὶ διὰ παντὸς κινδύνου.

§. 9. Ἐκ τοῦ χαλεπὸς εἶναι]

ἐποίει ἐκ τοῦ χαλεπὸς εἶναι· καὶ γὰρ ὁρᾶν στυγνὸς ἦν καὶ τῇ φωνῇ τραχύς, ἐκόλαζέ τε ἀεὶ ἰσχυρῶς, καὶ ὀργῇ ἐνίοτε ὡς καὶ αὐτῷ μεταμέλειν ἔσθ' ὅτε, καὶ γνώμῃ δ' ἐκόλαζεν· ἀκολάζου γὰρ στρατεύματος οὐδὲν ἡγεῖτο ὄφελος εἶναι· ἀλλὰ καὶ λέγειν αὐτὸν ἔφασαν ὡς δέοι 10
τὸν στρατιώτην φοβεῖσθαι μᾶλλον τὸν ἄρχοντα ἢ τοὺς πολεμίους, εἰ μέλλοι ἢ φυλακὰς φυλάξειν ἢ φίλων ἀφέξεσθαι ἢ ἀπροφασίστως ἰέναι πρὸς τοὺς πολεμίους. ἐν μὲν οὖν τοῖς δεινοῖς ἤθελον αὐτοῦ 11
ἀκούειν σφόδρα καὶ οὐκ ἄλλον ἠροῦντο οἱ στρατιῶται — καὶ γὰρ τὸ στυγνὸν τότε φαιδρὸν αὐτοῦ ἐν τοῖς προσώποις ἔφασαν φαίνεσθαι καὶ τὸ χαλεπὸν ἐρρωμένου πρὸς τοὺς πολεμίους ἐδόκει εἶναι, ὥστε σωτήριον, οὐκέτι χαλεπὸν ἐφαίνετο — ὅτε δ' ἔξω τοῦ δει- 12
νοῦ γένοιντο καὶ ἐξείη πρὸς ἄλλους ἄρχοντας ἀπιέναι, πολλοὶ αὐτὸν ἀπέλειπον· τὸ γὰρ ἐπίχαρι οὐκ εἶχεν, ἀλλ' ἀεὶ χαλεπὸς ἦν καὶ ὠμός· ὥστε διέκειντο πρὸς αὐτὸν οἱ στρατιῶται, ὥσπερ παῖδες πρὸς διδάσκαλον. καὶ γὰρ οὖν φιλίᾳ μὲν καὶ εὐνοίᾳ ἑπομένους 13

ἕνεκα τῆς ἄκρας αὐστηρότητός του. διότι χαλεπὸς ἐπὶ ἀνθρώπων = δυσμεταχείριστος, σκυθρωπός, κακός, σκληρός· διὸ καὶ ἐκ παραλλήλου λέγει κατωτέρω, §. 12, χαλεπὸς καὶ ὠμὸς ἦν, δηλαδὴ καθ' ὑπερβολὴν αὐστηρός.—Ὁρᾶν στυγνὸς]=κατὰ τὸ βλέμμα ἀγριωπός· ἀντίθετον τούτου τὸ κατωτέρω φαιδρός=χαρωπός, ὁ γλυκὺ βλέμμα ἔχων. — Ἀεὶ] = ἐκάστοτε, ὁσάκις δηλαδὴ ἐλάμβανεν ἀφορμήν.—Ἰσχυρῶς] Α'. β'. 21.—Ἔσθ' ὅτε] ἐνίοτε. Ἴδε Γ. Σ. Η'.—Ἀκόλαστος] ὁ ἀτιμώρητος, ὁ ἀχαλίνωτος, ὁ μηδεμίαν τιμωρίαν φοβούμενος χάριν τῆς κακοηθείας του. — Οὐδὲν . . ὄφελος εἶναι] ἴδε Α'. γ'. 11.

§. 10. Εἰ μέλλοι] ὁσάκις μέλλει. Ταύτην τὴν σημασίαν ἔχει πολλάκις ὁ εἰ μετ' εὐκτικῆς. Ἴδε καὶ Α'. 5. 9, Β'. γ'. 11. — Φίλων ἀφέξεσθαι] = τὰ τῶν φίλων φείδεσθαι ἢ σέβεσθαι· τὸ πλῆρες, φίλων τὰς χεῖρας ἀπέχεσθαι = ἀπὸ τῶν φίλων (τῶν τοῖς φίλοις ἀνηκόντων) τὰς χεῖρας ἔχειν.

§. 11. Ἐρρωμένον]=κατάλληλον ἵνα ἐμποιήσῃ θάρρος. Κυρίως ἐρρωμένον, μετοχὴ ἐπιθέτου σημασίαν ἔχουσα,=τολμηρός, θαρραλέος, εὔτολμος.

§. 12. Ὅτε γένοιτο ἔξω τοῦ δεινοῦ] ὁσάκις ἀπηλλάσσοντο τοῦ κινδύνου. Ἴδε Γ. Σ. Γ'. — Ὥξε διέκειντο κτλ.] ἄρα τῶν μαθητῶν ἡ πειθαρχία ἦτο τότε περισσοτέρα τῆς στρατιωτικῆς πειθαρχίας!

§. 13. Καὶ γὰρ οὖν] Α'. θ'. 8.

οὐδέποτε εἶχεν· οἵτινες δὲ ἢ ὑπὸ πόλεως τεταγμένοι ἢ ὑπὸ τοῦ δεῖσθαι ἢ ἄλλῃ τινὶ ἀνάγκῃ κατεχόμενοι
14 παρείησαν αὐτῷ, σφόδρα πειθομένοις ἐχρῆτο. ἐπεὶ δὲ ἤρξαντο νικᾶν σὺν αὐτῷ τοὺς πολεμίους, ἤδη μεγάλα ἦν τὰ χρησίμους ποιοῦντα εἶναι τοὺς σὺν αὐτῷ στρατιώτας· τό τε γὰρ πρὸς τοὺς πολεμίους θαρραλέως ἔχειν παρῆν καὶ τὸ τὴν παρ' ἐκείνου τιμωρίαν φο-
15 βεῖσθαι αὐτοὺς εὐτάκτους ἐποίει. τοιοῦτος μὲν δὴ ἄρχων ἦν· ἄρχεσθαι δὲ ὑπὸ ἄλλων οὐ μάλα ἐθέλειν ἐλέγετο. ἦν δέ, ὅτε ἐτελεύτα, ἀμφὶ τὰ πεντήκοντα ἔτη.
16 Πρόξενος δὲ ὁ Βοιώτιος, εὐθὺς μὲν μειράκιον ὤν, ἐπεθύμει γενέσθαι ἀνὴρ τὰ μεγάλα πράττειν ἱκανός· καὶ διὰ ταύτην τὴν ἐπιθυμίαν ἔδωκε Γοργίᾳ ἀργύριον
17 τῷ Λεοντίνῳ. ἐπεὶ δὲ συνεγένετο ἐκείνῳ, ἱκανὸς νομίσας ἤδη εἶναι καὶ ἄρχειν καὶ φίλος ὢν τοῖς πρώτοις μὴ ἡττᾶσθαι εὐεργετῶν, ἦλθε εἰς ταύτας τὰς σὺν Κύρῳ πράξεις. καὶ ᾤετο κτήσεσθαι ἐκ τούτων ὄνομα
18 μέγα καὶ δύναμιν μεγάλην καὶ χρήματα πολλά· το-

—Ἢ ὑπὸ τοῦ δεῖσθαι] ἢ διότι ἦσαν ἐνδεεῖς.

§. 14. Μεγάλα ἦν τὰ χρησίμους ποιοῦντα] σπουδαῖα ἦσαν τὰ αἴτια, ἅτινα συνετέλουν νὰ τοὺς καθιστῶσι χρησούς. — Τό τε γὰρ πρὸς τοὺς πολεμίους κτλ.] διότι καὶ τὸ πρὸς τοὺς πολεμίους θάρρος παρηκολούθει αὐτούς. Κυρίως, Διότι καὶ τὸ νὰ εἶναι θαρραλέος (Α'. ἡ. 13.) πρὸς τοὺς πολεμίους ἦτο παρόν.—Ἀμφὶ τὰ πεντήκοντα ἔτη] πεντηκοντούτης ὡς ἔγγιστα. Ἀσ. 611. 106.

§. 16. Εὐθὺς μειράκιον ὤν] ἐν ᾧ ἔτι ἦτο μειράκιον ἢ εὐθὺς ἀπὸ τῆς μειρακιώδους ἡλικίας του. Ἴδε Ἀσ. 468. 52. — Τὰ μεγάλα] ἴδε Β'. ἐ. 14. Ὡς μέγιστος.—Γοργίᾳ] περιφήμῳ σοφιστῇ διὰ τὴν ῥητορικὴν δεινότητα καὶ εὐφράδειαν καλῷ τε καὶ χρυσῷ ὀνομαζομένῳ.

§. 17. Ἐπεὶ συνεγένετο] ἀφοῦ ἐτελείωσε τὰς παρ' αὐτῷ σπουδάς του. Καὶ συγγίγνομαι μὲν ἢ σύνειμι καὶ ὁμιλῶ τινι λέγεται καὶ ἐπὶ μαθητῶν φοιτώντων παρὰ σπουδαίῳ μάλιστα διδασκάλῳ καὶ οἱονεὶ συναναστρεφομένων αὐτῷ. Καὶ ἡ μὲν πρᾶξις λέγεται συνουσία, οἱ δὲ μαθηταὶ συνόντες ἢ ὁμιληταί. Ταὐτὸ ἐλέγετο ἐνίοτε καὶ διατρίβω παράτινι· ἐξ οὗ διατριβαὶ αἱ σπουδαῖαι πραγματεῖαι, ἐν αἷς καὶ αἱ Ἐπικτήτου διατριβαί. Περὶ δὲ τοῦ συνεγένετο=συνεγεγόνει ἴδε Α'. ά. 2. ἐποίησε ἢ Α'. Θ'. 9. ἐπολέμησε.—Μὴ ἡττᾶσθαι εὐεργετῶν] ἴδε Α'. Θ'. 11. ἔς τε νικῶν . . ἀλεξόμενος.

§. 18. Ἔνδηλον . . εἶχε]=ἔνδηλον παρεῖχε=καταφανὲς ἐποίει.

σούτων δ' ἐπιθυμῶν, σφόδρα ἔνδηλον αὖ καὶ τοῦτο εἶχεν, ὅτι τούτων οὐδὲν ἂν θέλοι κτᾶσθαι μετὰ ἀδικίας, ἀλλὰ σὺν τῷ δικαίῳ καὶ καλῷ ᾤετο δεῖν τούτων τυγχάνειν, ἄνευ δὲ τούτων μή. ἄρχειν δὲ καλῶν μὲν 19
καγαθῶν δυνατὸς ἦν· οὐ μέντοι οὔτ' αἰδῶ τοῖς στρατιώταις ἑαυτοῦ οὔτε φόβον ἱκανὸς ἐμποιῆσαι, ἀλλὰ καὶ ἠσχύνετο μᾶλλον τοὺς στρατιώτας ἢ οἱ ἀρχόμενοι ἐκεῖνον· καὶ φοβούμενος μᾶλλον ἦν φανερὸς τὸ ἀπεχθάνεσθαι τοῖς στρατιώταις ἢ οἱ στρατιῶται τὸ ἀπιστεῖν ἐκείνῳ. ᾤετο δὲ ἀρκεῖν πρὸς τὸ ἀρχικὸν 20
εἶναι καὶ δοκεῖν τὸν μὲν καλῶς ποιοῦντα ἐπαινεῖν, τὸν δὲ ἀδικοῦντα μὴ ἐπαινεῖν. τοιγαροῦν αὐτῷ οἱ μὲν καλοί τε κἀγαθοὶ τῶν συνόντων εὔνοι ἦσαν, οἱ δὲ ἄδικοι ἐπεβούλευον, ὡς εὐμεταχειρίστῳ ὄντι. ὅτε δὲ ἀπέθνησκεν, ἦν ἐτῶν ὡς τριάκοντα.

Μένων δὲ ὁ Θετταλὸς δῆλος ἦν ἐπιθυμῶν μὲν 21
πλουτεῖν ἰσχυρῶς, ἐπιθυμῶν δὲ ἄρχειν, ὅπως πλείω λαμβάνοι, ἐπιθυμῶν δὲ τιμᾶσθαι, ἵνα πλείω κερδαίνοι· φίλος τε ἐβούλετο εἶναι τοῖς μέγιστον δυναμένοις, ἵνα, ἀδικῶν, μὴ διδοίη δίκην. ἐπὶ δὲ τὸ κατεργάζε- 22
σθαι, ὧν ἐπιθυμοίη, συντομωτάτην ᾤετο ὁδὸν εἶναι διὰ τοῦ ἐπιορκεῖν τε καὶ ψεύδεσθαι καὶ ἐξαπατᾶν.

§. 19. Καλῶν κἀγαθῶν] χρηστῶν. Λέγεται δὲ ἡ φράσις καλὸς κἀγαθὸς ἐπὶ ἀνθρώπων χρηστῶν καὶ τιμίων, ἀντιθέτως τοῖς ἀδίκοις καὶ πονηροῖς· ἐνίοτε ὅμως λέγεται καὶ ἐπὶ πραγμάτων ὑπὸ καλῶν κἀγαθῶν γενομένων. — Οἱ ἀρχόμενοι] οἱ ὑπὸ τὰς διαταγάς του. —Ἀπιστεῖν ἐκείνῳ] μὴ πείθεσθαι ἐκείνῳ.

§. 20. Πρὸς τὸ ἀρχικὸν εἶναι καὶ δοκεῖν]=ἵνα ἔχῃ καὶ φαίνηται ἔχων τὰ προσόντα καλοῦ στρατηγοῦ, ἐνόμιζεν ὅτι ἀρκετὸν ἦτο τοὺς μὲν καλῶς ποιοῦντας νὰ ἐπαινῇ κτλ.—Τῶν συνόντων] τῶν συμπολεμιστῶν. — Ὡς εὐμεταχειρίστῳ ὄντι]=ὡς ἄνθρωπον, τὸν ὁποῖον ἠδύναντο νὰ παίζωσιν ὅπως ἤθελον. —Ὡς τριάκοντα] ἂν δὲν ἐγράφη κατὰ λάθος ὡς ἀντὶ εἷς εἶναι ἀπαράλλακτον μὲ τὸ παρ' ἡμῖν σύνηθες ὡς τριάκοντα. Ἴδε καὶ Α'. ἡ. 6. Ὅσον ἑξακόσιοι. Ἡ δὲ σημασία αὕτη συνᾴδει τῇ κολαστικῇ σημασίᾳ τοῦ ὡς, περὶ ἧς. Ἴδε Α'. ἐ. 9.

§. 21. Δῆλος ἦν ἐπιθυμῶν] Α'. β'. 11. — Ἰσχυρῶς]. λίαν· ἴδε Α'. β'. 21. προσδιορίζει δὲ τὸ ἐπιθυμῶν.—Διδοίη δίκην] Α'. γ'. 20.

§. 22. Διὰ τοῦ ἐπιορκεῖν κτλ.] =διὰ τῆς ἐπιορκίας κτλ. — Τὸ δ' ἁπλοῦν καὶ τὸ ἀληθὲς] τὴν

τὸ δ' ἁπλοῦν καὶ ἀληθὲς τὸ αὐτὸ τῷ ἡλιθίῳ εἶναι.
23 στέργων δὲ φανερὸς μὲν ἦν οὐδένα· ὅτῳ δὲ φαίη φίλος εἶναι, τούτῳ ἔνθηλος ἐγίγνετο ἐπιβουλεύων, καὶ πολεμίου μὲν οὐδενὸς κατεγέλα, τῶν δὲ συνόντων
24 πάντων ὡς καταγελῶν ἀεὶ διελέγετο. καὶ τοῖς μὲν τῶν πολεμίων κτήμασιν οὐκ ἐπεβούλευε — χαλεπὸν γὰρ ᾤετο εἶναι τὰ τῶν φυλαττομένων λαμβάνειν — τὰ δὲ τῶν φίλων μόνος ᾤετο εἰδέναι ῥᾷστον ὂν ἀφύλακτα
25 λαμβάνειν. καὶ ὅσους μὲν αἰσθάνοιτο ἐπιόρκους καὶ ἀδίκους, ὡς εὖ ὡπλισμένους ἐφοβεῖτο, τοῖς δ' ὁσίοις καὶ ἀληθειαν ἀσκοῦσιν ὡς ἀνάνδροις ἐπειρᾶτο χρῆσθαι.
26 ὥσπερ δέ τις ἀγάλλεται ἐπὶ θεοσεβείᾳ καὶ ἀληθείᾳ καὶ δικαιότητι, οὕτω Μένων ἠγάλλετο τῷ ἐξαπατᾶν δύνασθαι, τῷ πλάσασθαι ψευδῆ, τῷ φίλους διαγελᾶν· τὸν δὲ μὴ πανοῦργον τῶν ἀπαιδεύτων ἀεὶ ἐνόμιζεν εἶναι. καὶ παρ' οἷς μὲν ἐπεχείρει πρωτεύειν φιλίᾳ, διαβάλλων τοὺς πρώτους, τούτους ᾤετο δεῖν κτήσασθαι.
27 τὸ δὲ πειθομένους τοὺς στρατιώτας παρέχεσθαι ἐκ τοῦ συναδικεῖν αὐτοῖς ἐμηχανᾶτο. τιμᾶσθαι δὲ καὶ θεραπεύεσθαι ἠξίου ἐπιδεικνύμενος, ὅτι πλεῖστα δύναιτο καὶ ἐθέλοι ἂν ἀδικεῖν. εὐεργεσίαν δὲ κατέλεγεν,

εἰλικρίνειαν δὲ καὶ ἀλήθειαν. Ἀσ. 167. 118. Ὁ δὲ Πλάτων ἐν Κρατ. 405. λέγει, Κατὰ τὸ ἁπλοῦν καὶ ἀληθές· ταὐτὸν γάρ ἐστιν. Ὥστε τὸ ἀληθὲς ἐκ παραλλήλου τιθέμενον ἐπεξηγεῖ σαφέστερον τὸ ἁπλοῦν. — Τῷ ἡλιθίῳ] = τῇ ἠλιθιότητι, τῇ βλακείᾳ· γένους οὐδετέρου. Ἴδε καὶ Β'. ε. 21. ἠλίθιος.

§. 23. Ὡς καταγελῶν] = περὶ δὲ τῶν συμπολεμούντων αὐτῷ διελέγετο, ὡς εἰ προὐτίθετο νὰ ἐμπαίξῃ πάντας αὐτούς. Ἴδε Α'. β'. 1. ὡς Πισίδας βουλόμενος καὶ Α'. γ'. 16. ἐπιδεικνύς.

§. 26. Τῶν ἀπαιδεύτων εἶναι] =ὅτι ἀνήκει εἰς τὴν τάξιν τῶν ἀγροίκων ἢ ἀνοήτων. Ὁ Πλάτων θέτει ἐκ παραλλήλου τὸ ἀγροῖκος.—Διαβάλλων τοὺς πρώτους] παραλαμβάνεται ἐκ τῶν ἡγουμένων τὸ φιλίᾳ=διαβάλλων τοὺς ἐπὶ φιλίᾳ πρώτους. Τὸ δὲ ὅλον =Καὶ διαβάλλων τοὺς ἐπέχοντας τὴν πρώτην τάξιν φίλους του εἰς ἐκείνους, παρ' οἷς ἐπεχείρει νὰ γείνῃ ὁ πρώτιστος τῶν φίλων, ἐνόμιζεν ὅτι οὕτως ἔπρεπε, διὰ τῆς διαβολῆς δηλαδὴ τῶν ἐπισηθίων φίλων του, ν' ἀποκτήσῃ τούτους, τουτέστι τὴν φιλίαν τούτων.

§. 27. Εὐεργεσίαν δὲ κτλ.] Ὁσάκις δέ τις ἀπεχώρει ἀπ' αὐτοῦ, μετὰ τῶν εὐεργεσιῶν αὐτοῦ συγ-

ὁπότε τις αὐτοῦ ἀφίσταιτο, ὅτι, χρώμενος αὐτῷ, οὐκ ἀπώλεσεν αὐτόν. καὶ τὰ μὲν δὴ ἀφανῆ ἔξεστι περὶ αὐτοῦ ψεύδεσθαι· ἃ δὲ πάντες ἴσασι, τάδ' ἐστί· παρὰ 28
Ἀριστίππου μέν, ἔτι ὡραῖος ὤν, στρατηγεῖν διεπράξατο τῶν ξένων· Ἀριαίῳ δέ, βαρβάρῳ ὄντι, ὅτι μειρακίοις καλοῖς ἥδετο, οἰκειότατος, ἔτι ὡραῖος ὤν, ἐγένετο· αὐτὸς δὲ παιδικὰ εἶχε Θαρύπαν, ἀγένειος ὤν, γενειῶντα. ἀποθνησκόντων δὲ τῶν συστρατήγων, ὅτι ἐξράτευσαν 29
ἐπὶ βασιλέα σὺν Κύρῳ, ταὐτὰ πεποιηκὼς οὐκ ἀπέθανε, μετὰ δὲ τὸν τῶν ἄλλων θάνατον στρατηγῶν τιμωρηθεὶς ὑπὸ βασιλέως ἀπέθανεν, οὐχ ὥσπερ Κλέαρχος καὶ οἱ ἄλλοι στρατηγοὶ ἀποτμηθέντες τὰς κεφαλάς, ὅσπερ τάχιστος θάνατος δοκεῖ εἶναι, ἀλλά, ζῶν αἰκισθεὶς ἐνιαυτόν, ὡς πονηρὸς λέγεται τῆς τελευτῆς τυχεῖν.

Ἀγίας δὲ ὁ Ἀρκὰς καὶ Σωκράτης ὁ Ἀχαιὸς καὶ 30
τούτω ἀπεθανέτην. τούτων δὲ οὔτ', ὡς ἐν πολέμῳ κακῶν οὐδεὶς κατεγέλα οὔτ' εἰς φιλίαν αὐτοὺς ἐμέμφετο. ἦστην δὲ ἄμφω ἀμφὶ τὰ πέντε καὶ τριάκοντα ἔτη ἀπὸ γενεᾶς.

κατηρίθμει καὶ τοῦτο, ὅτι, ἂν καὶ τὸν εἶχεν εἰς τὴν ὑπηρεσίαν του, δὲν τὸν ἀπώλεσεν.

§. 28. Ὡραῖος ὤν] εἰς τὸ ἄνθος τῆς ἡλικίας του εὑρισκόμενος. —Παιδικὰ εἶχε] ἠρᾶτο. Ἴδε Β'. ϛ'. 6.

§. 29. Ἀποτμηθέντες τὰς κεφαλὰς] ἴδε Β'. ϛ'. 1.—Αἰκισθεὶς] βασανισθείς. Αἰκία κάκωσις τοῦ σώματος διὰ πληγῶν, τραυμάτων ἢ ἄλλης ἀτιμωτικῆς πράξεως.

§. 30. Τούτω ἀπεθανέτην] ἀμφότερα δυϊκοῦ ἀριθμοῦ, ἐπὶ δυο λεγόμενα. — Κατεγέλα] ἐμέμφετο, ἐπέκρινεν οὕτως, ὥστε νὰ τοὺς παραξήσῃ καταγελάστους. Ἄρα κατεγέλα = κατειρωνεύετο.

ΒΙΒΛΙΟΝ ΤΡΙΤΟΝ.

1 Ὅσα μὲν δὴ ἐν τῇ ἀναβάσει τῇ μετὰ Κύρου οἱ Ἕλληνες ἔπραξαν μέχρι τῆς μάχης, καὶ ὅσα, ἐπεὶ Κῦρος ἐτελεύτησεν, ἐγένετο, ἀπιόντων τῶν Ἑλλήνων σὺν Τισσαφέρνει ἐν ταῖς σπονδαῖς, ἐν τῷ πρόσθεν λόγῳ δε-
2 δήλωται. ἐπεὶ δὲ οἵ τε στρατηγοὶ συνειλημμένοι ἦσαν καὶ τῶν λοχαγῶν καὶ τῶν στρατιωτῶν οἱ συνεπόμενοι ἀπολώλεσαν, ἐν πολλῇ δὴ ἀπορίᾳ ἦσαν οἱ Ἕλληνες, ἐννοούμενοι μὲν ὅτι ἐπὶ ταῖς βασιλέως θύραις ἦσαν, κύκλῳ δὲ αὐτοῖς πάντῃ πολλὰ καὶ ἔθνη καὶ πόλεις πολέμιαι ἦσαν, ἀγορὰν δὲ οὐδεὶς ἔτι παρέξειν ἔμελλεν, ἀπεῖχον δὲ τῆς Ἑλλάδος οὐ μεῖον ἢ μύρια στάδια, ἡγεμὼν δ' οὐδεὶς τῆς ὁδοῦ ἦν, ποταμοὶ δὲ διεῖργον ἀδιάβατοι ἐν μέσῳ τῆς οἴκαδε ὁδοῦ, προὐδεδώκεσαν δὲ αὐτοὺς καὶ οἱ σὺν Κύρῳ ἀναβάντες βάρβαροι, μόνοι δὲ καταλελειμμένοι ἦσαν οὐδὲ ἱππέα οὐδένα σύμμαχον ἔχοντες, ὥστε εὔδηλον ἦν ὅτι, νικῶντες μέν, οὐδένα ἂν κατακάνοιεν, ἡττηθέντων δὲ αὐτῶν, οὐδεὶς

§. 1. *Ὅσα μὲν δή*] ὅσα μὲν ἤδη.

§. 2. *Οἵ τε στρατηγοί*] *Κλέαρχος, Πρόξενος, Μένων.* *Ἴδε Β'. ε.* 31.—*Ἐν πολλῇ δή*] ἐν πολλῇ ἦδη.—*Ἐννοούμενοι*] = σκεπτόμενοι. ταύτην δὲ τὴν σημασίαν ἔχει καὶ τὸ ἐννοῶ, ἐνεργητικῶς. *Ἴδε Β'. δ'.* 5.—*Ἐννοούμενοι μὲν .. κύκλῳ δὲ*]=ἐννοούμενοι μὲν .. ἐνθυμούμενοι δέ οὕτω πως εἶπε καὶ ἐν *Β'. δ'.* 5. ὅπου ἐκ πολλῶν μερῶν τὸ μὲν σπουδαιότερον προτάσσεται μετὰ τοῦ μέν, τὰ δὲ ἧττον σπουδαῖα ἐπιφέρονται διὰ τοῦ δέ· ἀλλ' ἀνακολούθως παρελείφθη τὸ ἐνθυμούμενος. — *Ἐπὶ ταῖς θύραις*] *Α'. β'.* 11. — *Ἀγορὰν .. παρέξει*] *Β'. γ'.* 24.— *Τῆς οἴκαδε ὁδοῦ*] τῆς εἰς τὴν πατρίδα ἀγούσης ὁδοῦ.— *Νικῶντες*] = εἰ νικῷεν. Οὕτω καὶ τὸ μικρὸν κατωτέρω ἡττωμένων =εἰ ἡττῷντο.— *Κατακάνοιεν*] *Α'. θ'.* 6.

ἂν λειφθείη. ταῦτα ἐννοούμενοι καὶ ἀθύμως ἔχοντες 3
ὀλίγοι μὲν αὐτῶν εἰς τὴν ἑσπέραν σίτου ἐγεύσαντο, ὀλίγοι δὲ πῦρ ἀνέκαυσαν, ἐπὶ δὲ τὰ ὅπλα πολλοὶ οὐκ ἦλθον ταύτην τὴν νύκτα, ἀνεπαύοντο δὲ ὅπου ἐτύγχανεν ἕκαστος, οὐ δυνάμενοι καθεύδειν ὑπὸ λύπης καὶ πόθου πατρίδων, γονέων, γυναικῶν, παίδων, οὓς οὔ ποτ' ἐνόμιζον ἔτι ὄψεσθαι. οὕτω μὲν δὴ διακείμενοι πάντες ἀνεπαύοντο.

Ἦν δέ τις ἐν τῇ στρατιᾷ Ξενοφῶν Ἀθηναῖος, ὃς, 4
οὔτε στρατηγὸς οὔτε λοχαγὸς οὔτε στρατιώτης ὤν, συνηκολούθει, ἀλλὰ Πρόξενος αὐτὸν μετεπέμψατο οἰκοθεν, ξένος ὢν ἀρχαῖος· ὑπισχνεῖτο δὲ αὐτῷ, εἰ ἔλθοι, φίλον αὐτὸν Κύρῳ ποιήσειν, ὃν αὐτὸς ἔφη κρείττω ἑαυτῷ νομίζειν τῆς πατρίδος. ὁ μέντοι Ξενο- 5
φῶν, ἀναγνοὺς τὴν ἐπιστολήν, ἀνακοινοῦται Σωκράτει τῷ Ἀθηναίῳ περὶ τῆς πορείας. καὶ ὁ Σωκράτης, ὑποπτεύσας μή τι πρὸς τῆς πόλεως οἱ ἐπαίτιον εἴη Κύρῳ φίλον γενέσθαι, ὅτι ἐδόκει ὁ Κῦρος προθύμως τοῖς

§. 3. *Εἰς τὴν ἑσπέραν*] = τὸ ἑσπέρας. *Ἀσ.* 603. 71.—*Ἐπὶ τὰ ὅπλα*] εἰς τὸ στρατόπεδον. *Α'. ε.* 17. *Κατὰ χώραν ἔθεντο τὰ ὅπλα.* — *Ἀνεπαύοντο δέ, ὅπου ἐτύγχανεν ἕκαστος, οὐ δυνάμενοι*] ἀξία παρατηρήσεως ἡ ἐναλλαγὴ τῶν ἀριθμῶν διὰ τὴν ἕκασος, περιληπτικὴν σημασίαν ἔχουσαν.

§. 4. *Ἦν δέ τις ἐν τῇ στρατιᾷ Ξενοφῶν Ἀθηναῖος*] περὶ ἑαυτοῦ ὡς περὶ ἄλλου τινὸς ὁμιλεῖ. Οὕτω καὶ ἐν *Α'. ἡ.* 15. καὶ *Γ'. ά.* 10. Τοῦτο δὲ διότι κατὰ Τζέτζην εἶχεν ἐπιγεγραμμένον τὸ βιβλίον οὕτως. *Κύρου μὲν ἡ Ἀνάβασις, τὸ βιβλίον Θεμιστογένους δ' ἔστι τοῦτο Συρακουσίου. Ἀλλὰ καὶ Πλούταρχος ἐν βιβλίῳ ἐπιγεγραμμένῳ, Πότερα Ἀθηναῖοι κατὰ πόλεμον ἢ κατὰ σοφίαν ἐνδοξότεροι, λέγει, Ξενοφῶν μὲν γὰρ αὐτὸς ἑαυτοῦ γέγονεν ἱστορία, γράψας ἃ ἐστρατήγησε καὶ κατώρθωσε, καὶ Θεμιστογένει λέγει [ἐντέλει τῶν Ἑλληνικῶν] περὶ τούτων συντετάχθαι [τὸ βιβλίον], ἵνα πιστότερος ᾖ διηγούμενος ἑαυτὸν ὡς ἄλλον, ἑτέρῳ τῇ τῶν λόγων δόξαν χαριζόμενος.* — *Ξένος*] *Β'. ά.* 5. — *Κρείττω*] = ὠφελιμώτερον. Οὕτω καὶ ἐν *Γ'. β'.* 21, *Δ'. ς'.* 11. *Τὸ δὲ ὅλον*=ὃν αὐτὸς (ὁ Πρόξενος) ἔλεγεν ὅτι θεωρεῖ δι' ἑαυτὸν ὠφελιμώτερον τῆς πατρίδος· ἢ παρ' οὗ (Κύρου) ἤλπιζε ν' ἀποκτήσῃ τιμὴν καὶ δοξαν μείζω ἐκείνης, ἣν ἠδύνατο ν' ἀποκτήσῃ παρὰ τῆς πατρίδος του

§. 5. *Ἀνακοινοῦται*] ἀνακοινῶ ἢ ἀνακοινοῦμαι, διότι

Λακεδαιμονίοις ἐπὶ τὰς Ἀθήνας συμπολεμῆσαι, συμβουλεύει τῷ Ξενοφῶντι ἐλθόντα εἰς Δελφοὺς ἀνακοι-6 νῶσαι τῷ θεῷ περὶ τῆς πορείας. ἐλθὼν δ' ὁ Ξενοφῶν ἐπήρετο τὸν Ἀπόλλω, τίνι ἂν θεῶν θύων καὶ εὐχόμενος κάλλιστα καὶ ἄριστα ἔλθοι τὴν ὁδόν, ἣν ἐπινοεῖ καὶ καλῶς πράξας σωθείη. καὶ ἀνεῖλεν αὐτῷ ὁ Ἀπόλ-7 λων θεοῖς, οἷς ἔδει θύειν. ἐπεὶ δὲ πάλιν ἦλθε, λέγει τὴν μαντείαν τῷ Σωκράτει. ὁ δ' ἀκούσας ἠτιᾶτο αὐτόν, ὅτι οὐ τοῦτο πρῶτον ἠρώτα, πότερον λῷον εἴη αὐτῷ πορεύεσθαι ἢ μένειν, ἀλλ' αὐτὸς κρίνας ἰτέον εἶναι τοῦτ' ἐπυνθάνετο, ὅπως ἂν κάλλιστα πορευθείη. ἐπεὶ μέντοι οὕτως ἤρου, ταῦτ', ἔφη, χρὴ ποιεῖν ὅσα

ἀμφότερα λέγονται ἄνευ προφανοῦς διαφορᾶς, = ἴδιόν τι καθιςῶ καὶ ἄλλῳ τινὶ κοινόν, ἵνα μάθω τὴν γνώμην αὐτοῦ· διὸ ἀνακοινῶ ἢ ἀνακοινοῦμαι =συμβουλεύομαί τινα. — Μή τι πρὸς τῆς πόλεως οἱ ἐπαίτιον εἴη] = μὴ τῷ Κύρῳ φίλον γενέσθαι εἴη τι ἐπαίτιον αὐτῷ πρὸς τῆς πόλεως = μὴ τοῦτο θεωρήσῃ ἡ πόλις ἀξιόμεμπτον ἢ ἀξιόποινον· διότι ἐπαίτιον οὐ μόνον τὸ παρέχον ἀφορμὴν εἰς αἰτίασιν δηλαδὴ κατηγορίαν, ἀλλὰ καὶ ἡ ὑπὸ τοῦ δικαστηρίου ἐπιβαλλομένη ποινή. Περὶ τοῦ οἱ ἴδε Α'. ά. 8. Περὶ δὲ τοῦ πρὸς τῆς πόλεως ἴδε Β'. γ'. 18. οὐκ ἀχαρίστως μοι ἔξειν οὔτε πρὸς ὑμῶν κτλ. — Ἐπὶ τὰς Ἀθήνας συμπολεμῆσαι] μετὰ τῶν Πελοποννησίων προθύμως συνεπολέμησε κατὰ τῶν Ἀθηναίων. Τοῦτο δ' ἐγένετο περὶ τὸ τέλος τοῦ Πελοποννησιακοῦ πολέμου.

§. 6. Ἔλθοι τὴν ὁδόν] δύναται δὰ διανύσῃ τὴν ὁδόν. Ἴδε Ἀσ. Εἰσαγ. εἰς Ἑλλην. Σύνταξ. 807. 33. Ἴδε Α'. β'. 5. ἐξελαύνοι. — Καλῶς πράξας] εὐτυχήσας ἢ ἐπιτυχὼν τοῦ σκοποῦ του. Α'. θ'. 10. — Θεοῖς, οἷς ἔδει θύειν] εἰς ὡρισμένας πράξεις ὡρισμένοι ἦσαν οἱ θεοί, εἰς οὓς ὤφειλον νὰ θύσωσι. Τοῦτο ἐπὶ τοῦ παρόντος ἀγνοῶν ἠρώτησε τὸ μαντεῖον ὁ Ξενοφῶν. Περὶ δὲ τοῦ θεοῖς= τοῖς θεοῖς ἴδε Α'. δ'. 10. ὅσα ὧραι φύουσιν. Ἐτέθη δὲ δοτικὴ θεοῖς ἀντὶ αἰτιατικῆς καθ' ἕλξιν. Ἴδε Α'. θ'. 19. ἧς ἄρχοι χώρας. Τῶν θεῶν τούτων ἑνὸς μόνου ἐμνημόνευσεν ἐν ΣΤ'. ά. 22.—Ἀνεῖλε] ἐπὶ θεῶν καὶ χρησηρίων ἀναιρέω= σημαίνω, ὑποδεικνύω, λέγω (εἶπεν ἡ Πυθία λέγει Ἡρόδ. ἐν Α'. 13.) τὸ δὲ ἀντικείμενον αὐτοῦ, ὡς πάντων τῶν τοιαύτης φύσεως ῥημάτων, τίθεται ἢ κατ' αἰτιατικήν, ὡς ἐνταῦθα καὶ ἐν Πλατ. Νομ. Θ'. 865, ἢ κατ' ἀπαρέμφατον, ὅπερ σύνηθες· τότε δὲ ἀναιρῶ =κελεύω ἢ προτρέπω (Κελεύομαι ὑπὸ τοῦ θεοῦ, λέγει Ξενοφ. ἐν Οἰκ. 17. 2.)

§. 7. Λῷον] ὠφελιμώτερον, ὡς ἀνωτέρω, §. 4, τὸ κρείττω—Ὅπως ἂν πορευθείη] κατ' ἐπεξήγησιν

ὁ θεὸς ἐκέλευσεν. ὁ μὲν δὴ Ξενοφῶν οὕτω θυσάμε-8 νος οἷς ἀνεῖλεν ὁ θεός, ἐξέπλει, καὶ καταλαμβάνει ἐν Σάρδεσι Πρόξενον καὶ Κῦρον μέλλοντας ἤδη ὁρμᾶν τὴν ἄνω ὁδόν, καὶ συνεστάθη Κύρῳ. προθυμουμέ-9 νου δὲ τοῦ Προξένου, καὶ ὁ Κῦρος συμπροὐθυμεῖτο μεῖναι αὐτόν· εἶπε δὲ ὅτι, ἐπειδὰν τάχιστα ἡ στρατεία λήξῃ, εὐθὺς ἀποπέμψει αὐτόν. ἐλέγετο δὲ ὁ στόλος εἶναι εἰς Πισίδας. ἐστρατεύετο μὲν δὴ οὕτως ἐξαπα-10 τηθεὶς οὐχ ὑπὸ Προξένου· οὐ γὰρ ᾔδει τὴν ἐπὶ βασιλέα ὁρμὴν οὐδὲ ἄλλος οὐδεὶς τῶν Ἑλλήνων πλὴν Κλεάρχου. ἐπεὶ μέντοι εἰς Κιλικίαν ἦλθον, σαφὲς πᾶσιν ἤδη ἐδόκει εἶναι, ὅτι ὁ στόλος εἴη ἐπὶ βασιλέα. φοβούμενοι δὲ τὴν ὁδόν, καὶ ἄκοντες ὅμως οἱ πολλοὶ δι' αἰσχύνην καὶ ἀλλήλων καὶ Κύρου συννηκολούθησαν· ὧν εἷς καὶ Ξενοφῶν ἦν. ἐπεὶ δὲ ἀπορία ἦν, ἐλυπεῖτο 11 μὲν σὺν τοῖς ἄλλοις καὶ οὐκ ἐδύνατο καθεύδειν· μικρὸν δ' ὕπνου λαχὼν εἶδεν ὄναρ. ἔδοξεν αὐτῷ, βροντῆς γενομένης, σκηπτὸς πεσεῖν εἰς τὴν πατρῴαν οἰκίαν, καὶ ἐκ τούτου λάμπεσθαι πᾶσαν. περίφοβος δ' εὐθὺς 12 ἀνηγέρθη· καὶ τὸ ὄναρ πῇ μὲν ἔκρινεν ἀγαθόν, ὅτι, ἐν πόνοις ὢν καὶ κινδύνοις, φῶς μέγα ἐκ Διὸς ἰδεῖν

προσδιορισμὸς τοῦ τοῦτο. — Οἷς ἀνεῖλεν ὁ θεὸς] παραλαμβάνεται ἐκ τῶν ἡγουμένων τὸ θύειν.

§. 8. Μέλλοντας ἤδη ὁρμᾶν] ἐν ᾧ ἤδη ἔμελλον ν' ἀρχίσωσι πορευόμενοι τὴν πρὸς τὰ ἄνω ὁδόν. Ὁρμῶ τὴν ἄνω ὁδὸν = ἄρχομαι ἀναβαίνων. Ἴδε Α'. ά. 2. ἀναβαίνει· περὶ δὲ τοῦ ὁρμῶ τὴν ὁδὸν ἴδε §. 6. ἔλθοι τὴν ὁδόν.—Ἐπειδὰν τάχιστα] =εὐθὺς ἅμα. Τοῦτο λέγεται καὶ εὐθὺς ἐπειδὴ μετὰ παρῳχ. ὁριςτ. ἐπὶ παρελθόντων. Ἴδε §. 13 — Ἀποπέμψει] θ' ἀποξείλῃ παρ' ἡμῖν τὸ ἀποπέμπω λέγεται ἐπὶ ἀνθρώπων, οὓς κακοὺς κακῶς ἀποπέμπομεν.—Στόλος] Α'. β'. 5.—Εἰς Πισίδας] Α'. ά. 11.

§. 10. Μὲν δὴ] = μέντοι, ἀλλὰ μὲ καταβατικὴν σημασίαν. Ἴδε Α'. θ'. 13.—Φοβούμενοι δὲ τὴν ὁδὸν καὶ ἄκοντες .. ὅμως συνηκολούθησαν.] Ἀλλά, εἰ καὶ ἐφοβοῦντο τὴν ὁδόν, ὅμως καὶ ἄκοντες συνηκολούθησαν. Ὁ ὅμως δεικνύει ὅτι ἡ μετοχὴ εἶναι ἐναντιωματική. —Δι' αἰσχύνην] = αἰσχυνόμενοι.

§. 11. Σκηπτὸς] κεραυνός· διὸ καὶ ἐνσκήπτει ἐπὶ κεραυνοῦ κυρίως λέγεται· ἀλλὰ τὸ κατ' ἀρχὰς ἐσήμαινε βίαιον ἄνεμον ἢ θύελλαν μετὰ ἀσραπῶν καὶ βροντῶν συνοδευομένην

§. 12. Πῇ μέν .. πῇ δὲ] ἀφ'

ἔδοξε· πῇ δὲ καὶ ἐφοβεῖτο, ὅτι ἀπὸ Διὸς μὲν βασιλέως τὸ ὄναρ ἐδόκει αὐτῷ εἶναι, κύκλῳ δὲ ἐδόκει λάμπεσθαι τὸ πῦρ, μὴ οὐ δύναιτο ἐκ τῆς χώρας ἐξελθεῖν τῆς βασιλέως, ἀλλ' εἴργοιτο πάντοθεν ὑπό τινων ἀποριῶν. ὁποῖόν τι μέντοι ἐστὶ τὸ τοιοῦτον ὄναρ ἰδεῖν, ἔξεστι σκοπεῖν ἐκ τῶν συμβάντων μετὰ τὸ ὄναρ· γίγνεται γὰρ τάδε. εὐθὺς ἐπειδὴ ἀνηγέρθη, πρῶτον μὲν ἔννοια αὐτῷ ἐμπίπτει, τί κατάκειμαι; ἡ δὲ νὺξ προβαίνει, ἅμα δὲ τῇ ἡμέρᾳ εἰκὸς τοὺς πολεμίους ἥξειν· εἰ δὲ γενησόμεθα ἐπὶ βασιλεῖ, τί ἐμποδὼν μὴ οὐχί, πάντα μὲν τὰ χαλεπώτατα ἐπιδόντας, πάντα δὲ τὰ δεινότατα παθόντας, ὑβριζομένους ἀποθανεῖν; ὅπως δ' ἀμυνούμεθα, οὐδεὶς παρασκευάζεται οὐδὲ ἐπιμελεῖται, ἀλλὰ κατακείμεθα, ὥσπερ ἐξὸν ἡσυχίαν ἄγειν. ἐγὼ οὖν τὸν ἐκ ποίας πόλεως στρατηγὸν προσδοκῶ ταῦτα πράξειν; ποίαν δ' ἡλικίαν ἐμαυτῷ ἐλθεῖν ἀναμένω; οὐ γὰρ

13 14

ἐνὸς μὲν .. ἀφ' ἑτέρου δὲ· κυρίως κατ' ἕνα μὲν τρόπον .. κατ' ἄλλον δὲ τρόπον, ὡς λέγει ἡ κοινή. —Πῇ δὲ καὶ ἐφοβεῖτο, ὅτι .. μὴ] =πῇ δέ, ὅτι (διότι) ἀπὸ Διὸς μὲν τὸ ὄναρ ἐδόκει εἶναι κτλ. ἐφοβεῖτο, μὴ οὐ δύναιτο κτλ. — Τπό τινων ἀποριῶν] ὑπό σπουδαίων τινῶν ἀποριῶν. Ἀσ. 124. 97.

§. 13. Ὁποῖόν τι κτλ. = ὁποῖόν τι μέν τοι ἐστὶ τὸ ἰδεῖν τοιοῦτον ὄνειρον = σὰν τί νὰ εἶναι ἡ ἐμφάνισις τοιούτου ὀνείρου. — Εὐθὺς ἐπειδὴ] ἴδε §. 8. ἐπειδὰν τάχιστα. — Πρῶτον μὲν] ἀνταπόδοσις ἐν τῷ §. 15. ἐκ τούτου. ἀνίσταται = μετὰ τοῦτο δὲ ἀνίσταται. Οὕτω καὶ ἐν Γ. β'. 1. καὶ 4. πρῶτον μέν .. ἐπὶ τούτῳ. — Ἔννοια ἐμπίπτει] πέφτει ὸὲ συλλογή, λέγει ἡ κοινή, ἢ τοῦ χώθη σ' τὸ μυαλό του ἡ ἰδέα = τῷ ἐπῆλθεν ἡ σκέψις. Τοῦτο δὲ ἐπὶ δυσαρέσκων μέν, αἰφνιδίως ἢ ἀπροσδοκήτως ἐπερχομένων. — Γενησόμεθα ἐπὶ βασιλεῖ] Γ. Σ. Α'. — Τί ἐμποδὼν μὴ οὐχὶ ἀποθανεῖν] = τί θὰ ἐμποδίσῃ νὰ μὴ ἀποθάνωμεν, ἀφοῦ κτλ. Ἀσ. 582. 95. — Ἐπιδόντας τὰ χαλεπώτατα] ὑποσάντας τὰ χαλεπώτατα, ὑποβληθέντας εἰς τὰς σκληροτάτας βασάνους· κυρίως = ἀφοῦ ἴδωμεν ζῶντες ἢ ἀφοῦ ζήσωμεν καὶ ἴδωμεν τὰ χαλεπώτατα. Ἴδε καὶ Ζ'. ά. 30. — Τβριζομένους] ἀτιμαζομένους· διότι ὕβρις καὶ ὑβρίζω λέγεται ἐπὶ πράξεων καὶ λόγων φερόντων ὄνειδος καὶ ἀτιμίαν, ἑπομένως ἐπὶ ἀδίκων καὶ μάλιστα ἀσελγῶν καί τυραννικῶν λόγων ἢ ἔργων.

§. 14. Ὅπως ἀμυνούμεθα] πῶς νὰ ὑπερασπίσωμεν ἡμᾶς αὐτούς. Α'. ά. 4. — Ὥσπερ ἐξὸν] = ὥσπερ εἰ ἐξῆν = ὡς ἂν ἦτο ἐπιτεταραμένον. Ἴδε Α'. β'. 1. καὶ Β'. έ. 22. — Ἐγὼ οὖν κτλ.] κατὰ βραχυλογίαν ἀντί, Ἐγὼ οὖν τίς στρατηγὸς προσδοκῶ ταῦτα πράξειν; ἐκ ποίας δὲ πόλεως ἔσται οὗτος; ταῦτα δὲ λέγει, διότι ὑπελείπετο Χειρίσοφος ὁ Λακεδαιμόνιος, ὅστις κατὰ πᾶσαν πιθανότητα ἔμελλε νὰ διαδεχθῇ τὸν Κλέαρχον· ὅπερ καὶ ἐγένετο· ἴδε Γ'. β'. 37, ς'. ά. 26. Ἀλλ' εἰς τῶν Λακεδαιμονίων τὴν φρόνησιν δὲν εἶχε, φαίνεται, ὁ Ξενοφῶν πεποίθησιν. Καὶ ἀληθῶς ἐν δειναῖς περιςάσεσιν οἱ Σπαρτιᾶται γενναῖοι μὲν ἦσαν, φρόνιμοι δὲ ὄχι. — Ἡλικίαν] κατ' ἄλλους μὲν ἦτο 44 ὡς ἔγγιστα ἐτῶν, κατ' ἄλλους δὲ πολὺ νεώτερος. Ἴδε Βίον Ξενοφῶντος ἐν ἀρχῇ.

§. 15. Οὔτε καθεύδειν .. οὔτε κατακεῖσθαι] = οὐ μόνον νὰ κοιμῶμαι, ἀλλ' οὔτε πλαγιασμένος νὰ εἶμαι. Ὅπως τὸ καὶ .. καί, οὕτω καὶ τὰ ἀποφατικὰ τούτων οὔτε .. οὔτε κτλ. ἔχουσι τὴν σημασίαν τοῦ οὐ μόνον .. ἀλλὰ καί.

§. 16. Οὐ πρότερον .. πρὶν] ἴδε Α'. ά. 10. — Τὸν πόλεμον ἐξέφηναν] = τὸν πόλεμον ἐκήρυξαν. Ἴδε Γ'. γ'. 5. κυρίως ὅμως = τὸν ὑποκεκρυμμένον πόλεμον καταφανῆ ἐποίησαν. — Ὡς κάλλιςα] = ὅτι κάλιςα. Ἴδε Α'. ά. 6. ὅτι ἀπαρασκευότατον.

§. 17. Καὶ μήν] Καὶ ὅμως εἶναι βέβαιον ὅτι. Ἴδε καὶ Α'. 6'. 18. Ἀλλὰ μήν. — Εἰ ὑφησόμεθα] = ἂν ταπεινωθῶμεν· διότι ὑφίημι λέγεται κυρίως ἐπὶ τῶν ἱςίων, ὅταν τὰφίνωμεν νὰ πέσωσι κάτω. Μεταφορικῶς ὑφίεμαι = ἀφίνω νὰ ταπεινωθῶ, ἐξ ἀμελείας ἢ ῥᾳθυμίας ταπεινοῦμαι, παραμελῶ. — Ἐπὶ βασιλεῖ γενησόμεθα] ἴδε Γ. Σ. Α'. — Ὃς] = διότι οὗτος. Α'. ς'. 5. — Καὶ τεθνηκότος ἤδη] εἰ καὶ τεθνεὼς ἤδη ἔκειτο. — Ὡς ποιήσοντες] ἴδε

ἔγωγ' ἔτι πρεσβύτερος ἔσομαι, ἐὰν τήμερον προδῶ ἐμαυτὸν τοῖς πολεμίοις. ἐκ τούτου ἀνίσταται καὶ συγκαλεῖ τοὺς Προξένου πρῶτον λοχαγούς. ἐπεὶ δὲ συνῆλθον, ἔλεξεν, Ἐγώ, ὦ ἄνδρες λοχαγοί, οὔτε καθεύδειν δύναμαι, ὥσπερ οἶμαι οὐδ' ὑμεῖς, οὔτε κατακεῖσθαι ἔτι, ὁρῶν ἐν οἷοις ἐσμέν· οἱ μὲν γὰρ πολέμιοι δῆλον ὅτι οὐ πρότερον πρὸς ἡμᾶς τὸν πόλεμον ἐξέφηναν, πρὶν ἐνόμισαν καλῶς τὰ ἑαυτῶν παρεσκευάσθαι· ἡμῶν δ' οὐδεὶς οὐδὲν ἀντεπιμελεῖται, ὅπως ὡς κάλλιστα ἀγωνιούμεθα· καὶ μήν, εἰ ὑφησόμεθα καὶ ἐπὶ βασιλεῖ γενησόμεθα, τί οἰόμεθα πείσεσθαι, ὃς καὶ τοῦ ὁμομητρίου καὶ ὁμοπατρίου ἀδελφοῦ, καὶ τεθνηκότος ἤδη, ἀποτεμὼν τὴν κεφαλὴν καὶ τὴν χεῖρα ἀνεσαύρωσεν; ἡμᾶς δέ, οἷς κηδεμὼν μὲν οὐδεὶς πάρεστιν, ἐστρατεύσαμεν δὲ ἐπ' αὐτὸν ὡς δοῦλον ἀντὶ βασιλέως ποιήσοντες καὶ ἀποκτενοῦντες

15 16 17

εἰ δυναίμεθα, τί ἂν οἰόμεθα παθεῖν ; ἆρ' οὐκ ἂν ἐπὶ 18
πᾶν ἐλθοι, ὡς, ἡμᾶς τὰ ἔσχατα αἰκισάμενος, πᾶσιν
ἀνθρώποις φόβον παράσχοι τοῦ στρατεῦσαί ποτε ἐπ'
αὐτόν ; ἀλλ' ὅπως τοι μὴ ἐπ' ἐκείνῳ γενησόμεθα,
πάντα ποιητέον. ἐγὼ μὲν οὖν, ἔστε μὲν αἱ σπονδαὶ 19
ἦσαν, οὔποτε ἐπανόμην ἡμᾶς μὲν οἰκτείρων, βασιλέα
δὲ καὶ τοὺς σὺν αὐτῷ μακαρίζων, διαθεώμενος αὐτῶν
ὅσην μὲν χώραν καὶ οἵαν ἔχοιεν, ὡς δὲ ἄφθονα τὰ
ἐπιτήδεια, ὅσους δὲ θεράποντας, ὅσα δὲ κτήνη, χρυ-
σὸν δέ, ἐσθῆτα δέ· τὰ δ' αὖ τῶν στρατιωτῶν ὁπότε 20
ἐνθυμοίμην, ὅτι τῶν μὲν ἀγαθῶν πάντων οὐδενὸς
ἡμῖν μετείη, εἰ μὴ πριαίμεθα, ὅτου δ' ὠνησόμεθα
ἤδειν ἔτι ὀλίγους ἔχοντας, ἄλλως δέ πως πορίζεσθαι
τὰ ἐπιτήδεια ἢ ὠνουμένους ὅρκους ἤδη κατέχοντας
ἡμᾶς — τοῦτ' οὖν λογιζόμενος ἐνίοτε τὰς σπονδὰς μᾶλ-

λον ἐφοβούμην ἢ νῦν τὸν πόλεμον. ἐπεὶ μέντοι ἐκεῖ- 21
νοι ἔλυσαν τὰς σπονδάς, λελύσθαι μοι δοκεῖ καὶ ἡ
ἐκείνων ὕβρις καὶ ἡ ἡμετέρα ὑποψία· ἐν μέσῳ γὰρ
ἤδη κεῖται ταὐτα τὰ ἀγαθὰ ἆθλα, ὁπότεροι ἂν ἡμῶν
ἄνδρες ἀμείνονες ὦσιν, ἀγωνοθέται δ' οἱ θεοί εἰσιν,
οἳ σὺν ἡμῖν, ὡς τὸ εἰκός, ἔσονται· οὗτοι μὲν γὰρ 22
αὐτοὺς ἐπιωρκήκασιν· ἡμεῖς δέ, πολλὰ ὁρῶντες ἀγαθά,
στερρῶς αὐτῶν ἀπειχόμεθα διὰ τοὺς τῶν θεῶν ὅρ-
κους. ὥστε ἐξεῖναί μοι δοκεῖ ἰέναι ἐπὶ τὸν ἀγῶνα πολὺ
σὺν φρονήματι μείζονι ἢ τούτοις. ἔτι δ' ἔχομεν σώ- 23
ματα ἱκανώτερα τούτων καὶ ψύχη καὶ θάλπη καὶ πό-
νους φέρειν· ἔχομεν δὲ καὶ ψυχὰς σὺν τοῖς θεοῖς
ἀμείνονας· οἱ δὲ ἄνδρες καὶ τρωτοὶ καὶ θνητοὶ μᾶλλον
ἡμῶν, ἢν οἱ θεοί, ὥσπερ τὸ πρόσθεν, νίκην ἡμῖν δι-
δῶσιν. ἀλλ' ἴσως γὰρ καὶ ἄλλοι ταῦτ' ἐνθυμοῦνται. 24
πρὸς τῶν θεῶν μὴ ἀναμένωμεν ἄλλους ἐφ' ἡμᾶς ἐλ-
θεῖν παρακαλοῦντας ἐπὶ τὰ κάλλιστα ἔργα, ἀλλ' ἡμεῖς
ἄρξωμεν τοῦ ἐξορμῆσαι καὶ τοὺς ἄλλους ἐπὶ τὴν ἀρε-

Α'. ά. 3. ὡς ἀποκτενῶν. — Ἐπὶ πᾶν ἔλθοι] Θὰ κάμῃ ὅ τι μπορέσῃ, ὡς λέγει ἡ κοινή. Ἴδε ὅμως καὶ Β'. έ. 22. ἐπὶ τοῦτο ἥλθομεν.— Τὰ ἔσχατα αἰκισάμενος] εἰς τὰς ἐσχάτας ἢ σκληροτάτας βασάνους ὑποβαλών. Ἴδε Β'. ς'. 29. Περὶ δὲ τῆς διπλῆς αἰτιατικῆς ἴδε Ἀσ. 265. 24. ς'.

§. 18. Ἀλλ' ὅπως τοι μὴ ἐπ' ἐκείνῳ γενησόμεθα] = ἀλλὰ γιὰ νὰ μή, σᾶς λέγω (= προτρέπω =τοι), ὑποταγῶμεν εἰς ἐκεῖνον, θὰ ἔλεγεν ἡ κοινή. ἔχει δηλαδὴ τὸ τοὶ παρακελευσματικὴν σημασίαν, φέρουσαν ἅμα παραμυθίαν τοῖς ἀκροαταῖς. — Πάντα ποιητέον] ὀφείλομεν νὰ ἐπιχειρήσωμεν πᾶν ὅ τι ἐξαρτᾶται ἀφ' ὑμῶν.

§. 19. Ἐγὼ μὲν οὖν κτλ.] = Ἀλλ', ὅπως καὶ ἂν ἔχωσι ταῦτα, ἐγὼ μὲν .. οὔ ποτ' ἐπανόμην .. Τίνα δὲ ὑμεῖς γνώμην εἴχετε, οὐκ οἶδα. Ἀλλὰ τὸ δεύτερον μέρος τοῦ ἀντιθετικοῦ λόγου παρελείφθη ὡς εὐκόλως ἐννοούμενον. Ἴδε καὶ Α'. β'. 1. Περὶ δὲ τοῦ οὖν ἴδε Α'. β'. 12. Τῇ δ' οὖν στρατιᾷ.— Διαθεώμενος αὐτῶν ὅσην μὲν χώραν ἔχοιεν]=διαθεώμενος ὅσην αὐτοὶ χώραν ἔχοιεν. Πρόληψις. Ἴδε Α'. ς'. 5. ὡς ἐγένετο.

§. 20. Ὁπότε ἐνθυμοίμην] ὁσάκις ἐσυλλογιζόμην. Α'. β'. 7. — Ὅτου δ' ὠνησόμεθα κτλ.]=ἤδειν δ' ὅτι ὀλίγοι μὲν ἔτι ἔχουσι χρήματα, ἀνθ' ὧν (= ἵνα) ὠνήσονται, ὅρκοι δὲ ἤδη (= μέχρι τοῦ νῦν) κατεῖχον ἡμᾶς ἄλλως πως ἢ ὠνουμένους πορίζεσθαι τὰ ἐπιτήδεια. Καὶ διατί μὲν τὸ ἤδειν καθ' ὁριστικήν, ἐν ᾧ τὸ μετείη κατ' εὐκτικήν, ἴδε Γ. Σ. Γ. Περὶ δὲ τοῦ ὅτου ὠνησόμεθα =ἵνα ὠνώμεθα ἢ ὥστε ὠνεῖσθαι ἴδε Α'. γ'. 14. ὅστις ἀπάξει καὶ Β'. γ'. 4. ἄνδρες οἵτινες.— Ἤδη] = μέχρι τοῦ νῦν ἢ μέχρι τοῦ χρόνου, καθ' ὃν ἐλύσαμεν τὰς σπονδάς· διότι τὸ ἤδη, ἐνίοτε δὲ καὶ τὸ δή, μετὰ παρῳχημένων = ἕως τότε, μετὰ δὲ μέλλοντος =εὐθὺς τώρα. — Ταῦτ' οὖν λογιζόμενος] ταῦτ' οὖν ὁπότε ἐνθυμοίμην, ὡς εἶπεν ἀνωτέρω. Ἴδε Α'. έ. 14. εὐθὺς οὖν.

§. 21. Λελύσθαι μοι δοκεῖ] πιστεύω ἀδιστάκτως ὅτι ἀνυπερθέτως θὰ παύσῃ· διότι καὶ ἡμεῖς λέγομεν πολλάκις νομίζω ἀντὶ ἔχω πεποίθησιν. Περὶ δὲ τοῦ λελύσθαι = λελύσεσθαι ἴδε Ἀσ. 490. 27.— Τρὶς] ἴδε ἀνωτέρω, §. 13, ὑβριζομένους.— Ἐν μέσῳ γὰρ ἤδη κτλ.] = ἤδη γὰρ ταγαθὰ ταῦτα, κείμενα ἐν μέσῳ (ἡμῶν τε καὶ ἐκείνων) εἰσὶν ἆθλα ἐκείνοις, ὁπότεροι ἡμῶν ἄνδρες ἀμείνονες ὦσι=βραβεῖα προωρισμένα δι' ἐκείνους, οἵτινες θ' ἀναδειχθῶσι γενναιότεροι. Περὶ τοῦ κεῖται ἆθλα ἴδε Ἀσ. 196. 16.— Ἀμείνονες ὦσι]= μᾶλλον εὔψυχοι ἤ, ὡς λέγει ἐν §. 42, ὅσοι ταῖς ψυχαῖς ἐρρωμενώτεροι ἔσαν ἐπὶ τοὺς πολεμίους.

§. 22. Αὐτοὺς ἐπιωρκήκασι] ἴδε Β'. δ'. 7.— Ὁρῶντες]=εἰ καὶ ἑωρῶμεν.— Διὰ τοὺς τῶν θεῶν ὅρκους] ἴδε Β'. γ'. 28, Β'. έ. 7. — Οἱ δ' ἄνδρες] = οἱ δὲ πολέμιοι. Οὕτω καὶ ἐν Γ'. δ'. 40, Δ'. ς'. 9, ΣΤ'. έ. 16. Ἀλλαχοῦ δὲ οὐχὶ ἄνδρας, ἀλλ' ἀνθρώπους καλεῖ τοὺς πολεμίους, ὡς ἐν Δ'. β'. 7. Ζ'. γ'. 43 καὶ 47.

§. 23. Καὶ τρωτοὶ καὶ θνητοὶ] =δύνανται καὶ νὰ τρωθῶσι καὶ νὰ φονευθῶσι. Κυρίως ὅμως θνητοὶ οἱ ὑποκείμενοι εἰς θάνατον. —Μᾶλλον] εὐκολώτερον. Ἴδε Β'. έ. 13.—Καὶ ἄλλοι] = ἄλλων σωμάτων· διότι ὁμιλεῖ πρὸς τοὺς λοχαγοὺς τοῦ Προξένου.

§. 24. Παρακαλοῦντας]=ἐξορμῶντας ἢ, ὡς λέγει ἡ κοινή, παρακινοῦντας, κατὰ τὸ ὁ πλοῦ-

τήν. φάνητε τῶν λοχαγῶν ἄριστοι καὶ τῶν στρατηγῶν
25 ἀξιοστρατηγότεροι. κἀγὼ δέ, εἰ μὲν ὑμεῖς ἐθέλετε
ἐξορμᾶν ἐπὶ ταῦτα, ἕπεσθαι ὑμῖν βούλομαι, εἰ δ' ὑμεῖς τάττετέ με ἡγεῖσθαι, οὐδὲν προφασίζομαι τὴν
ἡλικίαν, ἀλλὰ καὶ ἀκμάζειν ἡγοῦμαι ἐρύκειν ἀπ' ἐμαυτοῦ τὰ κακά.
26 Ὁ μὲν ταῦτ' ἔλεξεν· οἱ δὲ λοχαγοὶ ἀκούσαντες
ἡγεῖσθαι ἐκέλευον πάντες, πλὴν Ἀπολλωνίδης τις
ἦν βοιωτιάζων τῇ φωνῇ· οὗτος δ' εἶπεν ὅτι φλυαροίη, ὅσις λέγοι ἄλλως σωτηρίας ἂν τυχεῖν ἢ βα-
σιλέα πείσας, εἰ δύναιτο, καὶ ἅμα ἤρχετο λέγειν τὰς
27 ἀπορίας. ὁ μέντοι Ξενοφῶν, μεταξὺ ὑπολαβών, ἔλεξεν
ὧδε, Ὦ θαυμασιώτατε ἄνθρωπε, σύγε οὐδὲ ὁρῶν
γιγνώσκεις οὐδὲ ἀκούων μέμνησαι, ἐν ταὐτῷ γε μέντοι ἦσθα τούτοις, ὅτε βασιλεύς, ἐπεὶ Κῦρος ἀπέθανε,
μέγα φρονήσας ἐπὶ τούτῳ, πέμπων ἐκέλευε παραδιδό-
28 ναι τὰ ὅπλα, ἐπεὶ δὲ ἡμεῖς οὐ παραδόντες, ἀλλ' ἐξοπλισάμενοι ἐλθόντες παρεσκηνήσαμεν αὐτῷ, τί οὐκ
ἐποίησε πρέσβεις πέμπων καὶ σπονδὰς αἰτῶν καὶ παρέ-
29 χων τὰ ἐπιτήδεια, ἕστε σπονδῶν ἔτυχεν ; ἐπεὶ δ' αὖ

τος παρακαλεῖ τοὺς νέους ἐπὶ τὰς ἡδονάς.—Φάνητε] ἀσυνδέτως. Ἴδε Ἀσ. 881. 67.

§. 25. Ἀλλὰ καὶ ἀκμάζειν] = οὐ μόνον οὐδόλως προβάλλω ὡς πρόφασιν τὴν ἡλικίαν, ἀλλὰ καὶ νομίζω ὅτι εἰμαι εἰς τὴν ἀκμήν μου.—Ἐρύκειν] = ὥστε ν' ἀποκρούσω. Ἴδε Ἀσ. 433. 36. Εἶναι δὲ ἡ λέξις ποιητικὴ καὶ σημαίνει ἀναχαιτίζω τι βιαίως φερόμενον.—Ἀπ' ἐμαυτοῦ]=διὰ τῆς συνέσεως καὶ δραστηριότητός μου. Ἐπὶ τοιαύτης σχεδὸν περιστάσεως ὁ Ἰσοκράτης εἶπε περὶ τοῦ Κόνωνος οὐδὲν ἄλλο ἐφόδιον ἔχων ἢ τὸ σῶμα τὸ ἑαυτοῦ.

§. 26. Πλὴν Ἀπολλωνίδης τις ἦν] ἴδε Α'. ἡ. 20 πλὴν ἐπὶ τῷ εὐωνύμῳ.

§. 27. Μεταξὺ ὑπολαβών] διακόψας αὐτὸν ἀγορεύοντα. Ὑπολαμβάνω λόγον=ἀποδέχομαι συμβουλήν· ὑπολαμβάνω τὸν λόγον=ἀποκρίνομαι· ὑπολαμβάνω μεταξὺ τὸν λόγον διακόπτων τὸν ἀγορεύοντα λέγω ἐγώ. —Ἐν ταὐτῷ γε μέντοι ἦσθα τούτοις] ὅμως εἰς τὸ αὐτὸ ἀκριβῶς (γε) μέρος ἦσο μὲ τούτους. Ἴδε Α'. θ'. 14. τούς γε ἀγαθοὺς μέντοι.

§. 28. Παρεσκηνήσαμεν] ἐγγὺς ἐστρατοπεδεύσαμεν αὐτῷ. Ἴδε Β'. β'. 15.— Τί οὐκ ἐποίησεν ;] Δὲν μετῆλθε πᾶν μέσον ; Ἴδε § 18. ἆρ' οὐκ ἂν ἐπὶ πᾶν ἔλθοι ; . . πάντα ποιητέον.

§ 29. Αὖ] ἴδε Β'. γ'. 27. —

οἱ στρατηγοὶ καὶ λοχαγοί, ὥσπερ δὴ σὺ κελεύεις, εἰς
λόγους αὐτοῖς ἄνευ ὅπλων ἦλθον, πιστεύσαντες ταῖς
σπονδαῖς, οὐ νῦν ἐκεῖνοι παιόμενοι, κεντούμενοι,
ὑβριζόμενοι οὐδὲ ἀποθανεῖν οἱ τλήμονες δύνανται,
καὶ μάλ' οἶμαι ἐρῶντες τούτου ; ἃ σὺ πάντα εἰδώς, τοὺς
μὲν ἀμύνεσθαι κελεύοντας φλυαρεῖν φῄς, πείθειν δὲ
πάλιν κελεύεις ἰόντας ; ἐμοὶ δέ, ὦ ἄνδρες, δοκεῖ τὸν 30
ἄνθρωπον τοῦτον μήτε προσίεσθαι εἰς ταὐτὸν ἡμῖν
αὐτοῖς, ἀφελομένους τε τὴν λοχαγίαν, σκεύη ἀναθέντας,
ὡς τοιούτῳ χρῆσθαι· οὗτος γὰρ καὶ τὴν πατρίδα καται-
σχύνει καὶ πᾶσαν τὴν Ἑλλάδα, ὅτι, Ἕλλην ὤν, τοιοῦτός
ἐστιν. ἐντεῦθεν ὑπολαβὼν Ἀγασίας Στυμφάλιος εἶ- 31
πεν, Ἀλλὰ τούτῳ γε οὔτε τῆς Βοιωτίας προσήκει οὐ-
δὲν οὔτε τῆς Ἑλλάδος παντάπασιν, ἐπεὶ ἐγὼ αὐτὸν
εἶδον ὥσπερ Λυδὸν ἀμφότερα τὰ ὦτα τετρυπημένον.
καὶ εἶχεν οὕτως. τοῦτον μὲν οὖν ἀπήλασαν· οἱ δὲ 32
ἄλλοι παρὰ τὰς τάξεις ἰόντες, ὅπου μὲν στρατηγὸς σῶς
εἴη, τὸν στρατηγὸν παρεκάλουν, ὁπόθεν δὲ οἴχοιτο τὸν

Οὐ νῦν ἐκεῖνοι . . οὐδὲ ἀποθανεῖν δύνανται ;]=δὲν εἶναι ἀληθὲς ὅτι οὐδὲ ν' ἀποθάνωσι δύνανται. Ἴδε Ἀσ. 803. 22.— Καὶ μάλα ἐρῶντες τούτου]=ἂν καὶ μάλα ἐπιθυμοῦσι τοῦτο ; — Πείθειν] νὰ ἐπιχειρήσωμεν νὰ τὸν πείσωμεν. Ἀσ. 494. 10.— Πάλιν] = ἐκ δευτέρου. Οὕτω καὶ ἐν Α'. ς'. 7. πάλιν δὲ ὁ Κῦρος ἠρώτα· Εἶναι δὲ τὸ πάλιν προσδιορισμὸς τοῦ πείθειν, ὡς φαίνεται καὶ ἐκ τῶν ἀνωτέρω καὶ ἐξ ὧν εἶπεν ἐν Β'. ἑ. 2. κ. ἑ.

§. 30. Μήτε προσίεσθαι εἰς ταὐτὸ ἡμῖν αὐτοῖς] μήτε εἰς τὰ συμβούλιά μας νὰ τὸν δεχώμεθα. Ὁ Πλάτων ἐν Φαίδρῳ 255. λέγει, Προσέσθαι αὐτὸν εἰς ὁμιλίαν. Καὶ τὸ μὲν προσιέμαί τινα ἤ τι =ἀφίνω νὰ μὲ πλησιάσῃ τις ἤτι, ἑπομένως ἐπιτρέπω, δέχομαι, ξέργω, μοὶ ἀρέσκει κ. τ. τ. τὸ δὲ ὅλον ἐνταῦθα = μήτε νὰ ἐπιτρέπωμεν νὰ ἔρχηται εἰς τὸ αὐτὸ μὲ ἡμᾶς μέρος. — Ὡς τοιούτῳ] =ὡς σκευοφόρῳ· κυρίως δὲ =ὡς τοιούτῳ, οἷοι ἐκεῖνοι, ἐφ' οὓς ἀνατιθέμεθα σκεύη.

§. 31. Ἐντεῦθεν ὑπολαβών] τὸ μὲν ἐντεῦθεν=ἐκ τούτου, ὅπερ συνήθως=μετὰ τοῦτο. Ἴδε Α'. β'. 17, γ'. 13, ς'. 8. κτλ. Περὶ δὲ τοῦ ὑπολαβὼν ἴδε ἀνωτέρω, §. 27. μεταξὺ ὑπολαβών.— Τούτῳ οὐδὲν προσήκει οὔτε τῆς Βοιωτίας]=οὐδεμίαν σχέσιν ἔχει μὲ τὴν Βοιωτίαν. Ταύτην τὴν σημασίαν ἔχει τὸ προσήκω μετὰ δοτικῆς καὶ γενικῆς συντασσόμενον.

§. 32. Ὁπόθεν δὲ οἴχοιτο] ἀπὸ τῆς τάξεως δ' ἐκείνης, ἧς ὁ στρατηγὸς εἶχεν ἀποθάνει. Ὡς ἡμεῖς ἀντὶ ἀπέθανε λέγομεν πάει ὁ

ὑποστράτηγον, ὅπου δ' αὖ λοχαγὸς σῶς εἴη, τὸν λο-
35 χαγόν. ἐπεὶ δὲ πάντες συνῆλθον, εἰς τὸ πρόσθεν τῶν
ὅπλων ἐκαθέζοντο· καὶ ἐγένοντο οἱ συνελθόντες στρα-
τηγοὶ καὶ λοχαγοὶ ἀμφὶ τοὺς ἑκατόν. ὅτε δὲ ταῦτα
34 ἦν, σχεδὸν μέσαι ἦσαν νύκτες. ἐνταῦθα Ἱερώνυμος
Ἠλεῖος, πρεσβύτατος ὢν τῶν Προξένου λοχαγῶν, ἦρχετο
λέγειν ὧδε, Ἡμῖν, ὦ ἄνδρες στρατηγοὶ καὶ λοχαγοί,
ὁρῶσι τὰ παρόντα ἔδοξε καὶ αὐτοῖς συνελθεῖν καὶ
ὑμᾶς παρακαλέσαι, ὅπως βουλευσαίμεθα, εἴ τι δυναί-
μεθα ἀγαθόν· λέξον δ', ἔφη, καὶ σύ, ὦ Ξενοφῶν,
35 ἅπερ καὶ πρὸς ἡμᾶς. ἐκ τούτου λέγει τάδε Ξενοφῶν,
Ἀλλὰ ταῦτα μὲν δὴ πάντες ἐπιστάμεθα, ὅτι βασιλεὺς
καὶ Τισσαφέρνης, οὓς μὲν ἐδυνήθησαν, συνειλήφασιν
ἡμῶν, τοῖς δ' ἄλλοις δῆλον ὅτι ἐπιβουλεύουσιν, ὡς,
ἢν δύνωνται, ἀπολέσωσιν. ἡμῖν δέ γε οἶμαι πάντα
ποιητέα, ὡς μήποτ' ἐπὶ τοῖς βαρβάροις γενώμεθα, ἀλλὰ
36 μᾶλλον, ἢν δυνώμεθα, ἐκεῖνοι ἐφ' ἡμῖν. εὖ τοίνυν ἐπί-
στασθε ὅτι ὑμεῖς, τοσοῦτοι ὄντες, ὅσοι νῦν συνεληλύ-
θατε, μέγιστον ἔχετε καιρόν· οἱ γὰρ στρατιῶται οὗτοι
πάντες πρὸς ὑμᾶς βλέπουσι· κἂν μὲν ὑμᾶς ὁρῶσιν
ἀθύμους, πάντες κακοὶ ἔσονται· ἢν δὲ ὑμεῖς αὐτοί τε
παρασκευαζόμενοι φανεροὶ ἦτε ἐπὶ τοὺς πολεμίους καὶ
τοὺς ἄλλους παρακαλῆτε, εὖ ἴστε ὅτι ἕψονται ὑμῖν

καῦμένος, οὕτω καὶ οἱ ἀρχαῖοι μεταχειρίζονται τὸ οἴχεσθαι ἀντὶ τοῦ τεθνηκέναι.

§. 33. *Εἰς τὸ πρόσθεν τῶν ὅπλων*] ἐνν. χωρίον, μέρος. Ἴδε Α'. ἐ. 17. — *Ἐκαθέζοντο*] = συνήρχοντο, ὅπως βουλεύσαιντο, ὡς λέγει κατωτέρω· διότι ἐν ταῖς ἐκκλησίαις τὸ πάλαι ἐκάθηντο. Ἴδε καὶ ΣΤ'. β'. 5. ἡμῶν καθημένων=ἐκκλησιαζόντων ἢ συλλεγομένων εἰς σύσκεψιν. Ὁ δ' Ὅμηρος ἐν Ὀδ. Α. 372. λέγει Ἀγορήνδε καθεζώμεθα κιόντες πάντες.

§. 34. *Ἐνταῦθα*] = τότε. Ἴδε Α'. ἡ. 19. — *Καὶ σὺ*] ἐπερίμενέ τις καὶ τούτοις. — *Ἐκ τούτου*] = ἐντεῦθεν λαβὼν ἀφορμήν. — *Ὡς ἀπολέσωσιν*] =ἵνα ἀπολέσωσιν. Ἀσ. 731. 2. κ. ἐ. — *Πάντα ποιητέα*] ἴδε ἀνωτέρω, §. 18. — *Ἐπὶ τοῖς βαρβάροις γενώμεθα*] ἴδε Γ. Σ. Α'.

§. 36. *Μέγιστον ἔχετε καιρόν*] τὰ μάλιστα χρήσιμοί ἐσε. Κυρίως = ἀρίση παρέχεται ὑμῖν εὐκαιρία, ἵνα δείξητε πόσον ὠφέλιμοι δύνασθε νὰ φανῆτε τῷ στρατῷ. Ἐκ τοιαύτης ἐννοίας καὶ οἱ

καὶ πειράσονται μιμεῖσθαι. ἴσως δέ τοι καὶ δίκαιόν 37
ἐστιν ὑμᾶς διαφέρειν τι τούτων. ὑμεῖς γάρ ἐστε στρα-
τηγοί, ὑμεῖς ταξίαρχοι καὶ λοχαγοί· καὶ ὅτε εἰρήνη ἦν,
ὑμεῖς καὶ χρήσιμοι καὶ τιμαῖς τούτων ἐπλεονεκτεῖτε.
καὶ νῦν τοίνυν, ἐπεὶ πόλεμός ἐστιν, ἀξιοῦν δεῖ ὑμᾶς
αὐτοὺς ἀμείνους τε τοῦ πλήθους εἶναι καὶ προβου-
λεύειν τούτων καὶ προπονεῖν, ἤν που δέῃ. καὶ νῦν 38
πρῶτον μὲν οἶμαι ἂν ὑμᾶς μέγα ὀνῆσαι τὸ στρά-
τευμα, εἰ ἐπιμεληθείητε, ὅπως ἀντὶ τῶν ἀπολωλότων
ὡς τάχιστα στρατηγοὶ καὶ λοχαγοὶ ἀντικατασταθῶσιν·
ἄνευ γὰρ ἀρχόντων οὐδὲν ἂν οὔτε καλὸν οὔτε ἀγαθὸν
γένοιτο ὡς μὲν συνελόντι εἰπεῖν οὐδαμοῦ, ἐν δὲ δὴ
τοῖς πολεμικοῖς παντάπασιν· ἡ μὲν γὰρ εὐταξία σώ-
ζειν δοκεῖ, ἡ δὲ ἀταξία πολλοὺς ἤδη ἀπολώλεκεν. ἐπει- 39
δὰν δὲ καταστήσησθε τοὺς ἄρχοντας, ὅσους δεῖ, ἢν
καὶ τοὺς ἄλλους στρατιώτας συλλέγητε καὶ παραθαρ-
ρύνητε, οἶμαι ἂν ὑμᾶς πάνυ ἐν καιρῷ ποιῆσαι· νῦν 40
γὰρ ἴσως καὶ ὑμεῖς αἰσθάνεσθε, ὡς ἀθύμως μὲν ἦλθον

ἀξιωματικοὶ ἀπὸ λοχαγοῦ καὶ ἄνω λέγονται ἐπικαίριοι. Ἴδε Ξενοφ. Κ. Π. Γ'. γ'. 12. — *Κακοὶ*] δειλοί. Καθὼς ἀγαθὸς = γενναῖος, εὔψυχος (ἴδε Β'. ἐ. 19.), οὕτω καὶ κακὸς = δειλός, μικρόψυχος. — *Παρακαλῆτε*] ἴδε Γ'. ά. 24.

§. 37. *Ἴσως δέ τοι*] εὐγενὴς ἔκφρασις ἀντὶ πάντως, ἀναμφιβόλως. — *Διαφέρειν τι τούτων*] νὰ ὑπερέχητε κατά τι τούτων. Ἐπὶ ταύτης τῆς σημασίας τὸ καθ' ὃ ὑπερέχομεν τίθεται οὐ μόνον κατ' αἰτιατικὴν ἁπλῆν, ἀλλὰ καὶ διὰ τῆς πρὸς ἢ κατὰ μετὰ αἰτιατικῆς καὶ διὰ τῆς ἐπὶ μετὰ δοτικῆς. — *Ἀξιοῦν*] νὰ φρονῆτε ἀναμφισβήτως, νὰ παραδέχησθε ὡς ἀληθειαν αὐταπόδεικτον· διὸ καὶ ἀξιώματα παρὰ φιλοσόφοις καὶ μαθηματικοῖς τὰ μηδεμιᾶς ἀποδείξεως χρῄζοντα. — *Προβουλεύειν*] προνοεῖν. — *Προπονεῖν*] νὰ μοχθῇ ὑπὲρ τούτων. Ἀσ. 596. 48. — *Ἤν που δέῃ*] = ὅπου ἤ ὅταν γίνηται ἀνάγκη. Καθὼς εἴτις=ὅστις (ἴδε Β'. ά. 8.), οὕτω καὶ εἴ που, ἤν που κ. τ. τ. = ὅπου.

§. 38. *Ὡς μὲν συνελόντι εἰπεῖν οὐδαμοῦ κτλ.*]=εἰς οὐδεμίαν μὲν ἐπιχείρησιν, ἵνα ἐν συντόμῳ εἴπω, ὁμολογουμένως ἀλλ' ὅμως ἐν τοῖς πολεμικοῖς. Ἐννοεῖ δ' ὅτι, καὶ ἂν ἐν τοῖς ἄλλοις, οἷον τοῖς πολιτικοῖς, δύναταί νὰ γείνῃ καλόν τι ἄνευ ἀρχόντων, ἐν τοῖς πολεμικοῖς ὅμως εἶναι ἀδύνατον νὰ γείνῃ. — *Πάνυ ἐν καιρῷ ποιῆσαι*] ὅτι ἠθέλετε μεγάλως ὠφελήσει. Ἴδε καὶ ἀνωτέρω, §. 36. μέγιστον ἔχετε καιρόν.

§. 40. *Οὕτως ἐχόντων*] τῶν στρατιωτῶν. — *Ὅ τι ἄν τις*

ἐπὶ τὰ ὅπλα, ἀθύμως δὲ πρὸς τὰς φυλακάς. ὥξε, οὕτω
γ' ἐχόντων, οὐκ οἶδα ὅ τι ἄν τις χρήσαιτο αὐτοῖς, εἴτε
41 νυκτὸς δέοι τι εἴτε καὶ ἡμέρας. ἢν δέ τις αὐτῶν τρέψῃ
τὰς γνώμας, ὡς μὴ τοῦτο μόνον ἐννοῶνται, τί πείσον-
ται, ἀλλὰ καὶ τί ποιήσουσι, πολὺ εὐθυμότεροι ἔσονται·
42 ἐπίστασθε γὰρ δή, ὅτι οὔτε πλῆθός ἐστιν οὔτε ἰσχὺς
ἡ ἐν τῷ πολέμῳ τὰς νίκας ποιοῦσα, ἀλλ', ὁπότεροι ἂν
σὺν τοῖς θεοῖς ταῖς ψυχαῖς ἐρρωμενέστεροι ἴωσιν ἐπὶ
τοὺς πολεμίους, τούτους ὡς ἐπὶ τὸ πολὺ οἱ ἀντίοι οὐ
43 δέχονται. ἐντεθύμημαι δ' ἔγωγε, ὦ ἄνδρες, καὶ τοῦτο,
ὅτι, ὁπόσοι μὲν μαστεύουσι ζῆν ἐκ παντὸς τρόπου ἐν
τοῖς πολεμικοῖς, οὗτοι μὲν κακῶς τε καὶ αἰσχρῶς ὡς
ἐπὶ τὸ πολὺ ἀποθνήσκουσιν, ὁπόσοι δὲ τὸν μὲν θάνα-
τον ἐγνώκασι πᾶσι κοινὸν εἶναι καὶ ἀναγκαῖον ἀν-
θρώποις, περὶ δὲ τοῦ καλῶς ἀποθνήσκειν ἀγωνίζονται,
τούτους ὁρῶ μᾶλλόν πως εἰς τὸ γῆρας ἀφικνουμένους
44 καί, ἕως ἂν ζῶσιν, εὐδαιμονέστερον διάγοντας· ἃ καὶ
ἡμᾶς δεῖ νῦν καταμαθόντας — ἐν τοιούτῳ γὰρ καιρῷ
ἐσμεν — αὐτούς τε ἄνδρας ἀγαθοὺς εἶναι καὶ τοὺς
45 ἄλλους παρακαλεῖν. ὁ μὲν ταῦτ' εἰπὼν ἐπαύσατο.
μετὰ δὲ τοῦτον εἶπε Χειρίσοφος, Ἀλλὰ πρόσθεν μέν,
ὦ Ξενοφῶν, τοσοῦτον μόνον σε ἐγίγνωσκον, ὅσον
ἤκουον Ἀθηναῖον εἶναι· νῦν δὲ καὶ ἐπαινῶ σε ἐφ' οἷς
λέγεις τε καὶ πράττεις, καὶ βουλοίμην ἂν ὅτι πλείους
46 εἶναι τοιούτους· κοινὸν γὰρ ἂν εἴη τὸ ἀγαθόν. καὶ

χρήσαιτο αὐτοῖς] = πᾶς δύναταί τις νὰ ὠφεληθῇ ἐξ αὐτῶν (ἴδε Α'. γ'. 5. τῇ Κύρου φιλίᾳ χρῆσθαι) ἢ πῶς ἄν τις χρησίμους ποιήσειεν αὐτούς, ὡς εἶπεν ἐν Β'. ϛ'. 14. — Δέοι τι] = ἤθελε γείνει ἀνάγκη τις. Περὶ δὲ τοῦ νυκτὸς καὶ ἡμέρας ἴδε Α'. ζ'. 18. Τῇ ἐνδεκάτῃ ἡμέρᾳ .. δέκα ἡμερῶν.

§. 42. Ἀλλ' ὁπότερος κτλ.] ἀνακολούθως ἀντί, Ἀλλὰ τὸ ἐρρωμένον ἢ ἡ εὐψυχία· ὁπότεροι γὰρ κτλ.

§. 43. Μαστεύουσι] = ζητοῦσιν ἢ ἐπιχειροῦσι. Ποιητικὴ ἡ λέξις. — Ἐκ παντὸς τρόπου] = μὲ πάντα τρόπον, θεμιτὸν ἢ ἀθέμιτον. — Ἐγνώκασι] = φρονοῦσι. Ἴδε Β'. γ'. 19.

§ 44. Παρακαλεῖν] = προτρέπειν, παρακινεῖν. Ἴδε §. 24.

§. 45. Ἀλλὰ] = τῇ ἀληθείᾳ. Ἴδε Α'. ἡ. 17. — Ἤκουον εἶναι] ἴδε Β'. ἐ. 13. — Ὅ τι πλείστους] ἴδε Α'. ά. 6. Ὅ τι ἀπαρασκευότατον.

§. 46. Μὴ μέλλωμεν] = μὴ βραδύνωμεν. Ταύτην τὴν σημασίαν ἔχει ἄνευ ἀπαρεμφάτου λεγόμενον. — Ἥκετε] ἐπανέλθετε. Β'. ά. 9.

§. 47. Μέλλοιτο] = βραδύτερον τοῦ δέοντος γένοιτο τὰ δέοντα. Ταύτην τὴν σημασίαν ἔχει τὸ παθητικὸν τοῦ μέλλω. — Δαρδανεὺς] ἐκ Δαρδάνου, τρωϊκῆς πόλεως παρὰ τὸν Ἑλλήσποντον. — Κλεάνωρ] ἄλλοτε λέγεται Ἀρκὰς καὶ ἄλλοτε Ὀρχομένιος, διότι καὶ ὁ Ὀρχομενὸς Ἀρκαδικὴ πόλις εἶναι.

Κεφ. β'. §. 1. Ὑπέφαινε] ἤρξατο φαινομένη. Λέγεται μάλιστα ἐπὶ τοῦ ἕαρος καὶ τῆς ἠοῦς.

§. 2. Τὰ παρόντα, ὁπότε] = τὰ γιγνόμενα νῦν, ὅτε.

§. 3. Ὅμως δὲ δεῖ κτλ.] = ἀλλ' ὅμως ὀφείλομεν, ἐκ τῆς παρούσης καταστάσεώς μας διδασκόμενοι, νὰ ἤμεθα ἄνδρες γενναῖοι καὶ νὰ μὴ ἀμελῶμεν, ἀλλὰ νὰ πειρώμεθα κτλ. Περὶ τοῦ ὑφίεσθαι ἴδε Γ'. ά. 17. Τὸ δὲ τελέθειν, = γίγνομαι ἢ μᾶλλον εἶμαι γεγενημένος, εἶναι ποιητικὴ λέξις. — Εἰ δὲ μὴ] δυναίμεθα νι-

νῦν, ἔφη, μὴ μέλλωμεν, ὦ ἄνδρες, ἀλλ' ἀπελθόντες
ἤδη αἱρεῖσθε οἱ δεόμενοι ἄρχοντας, καὶ ἑλόμενοι ἥκετε
εἰς τὸ μέσον τοῦ στρατοπέδου καὶ τοὺς αἱρεθέντας
ἄγετε· ἔπειτ' ἐκεῖ συγκαλοῦμεν τοὺς ἄλλους στρατιώ-
τας· παρέστω δ' ἡμῖν, ἔφη, καὶ Τολμίδης ὁ κῆρυξ.
καὶ ἅμα ταῦτ' εἰπὼν ἀνέστη, ὡς μὴ μέλλοιτο, ἀλλὰ 47
περαίνοιτο τὰ δέοντα. ἐκ τούτου ἡρέθησαν ἄρχοντες
ἀντὶ μὲν Κλεάρχου Τιμασίων Δαρδανεύς, ἀντὶ δὲ Σω-
κράτους Ξανθικλῆς Ἀχαιός, ἀντὶ δὲ Ἀγίου Κλεάνωρ
Ἀρκάς, ἀντὶ δὲ Μένωνος Φιλήσιος Ἀχαιός, ἀντὶ δὲ
Προξένου Ξενοφῶν Ἀθηναῖος.

β'. Ἐπεὶ δὲ ᾔρηντο, ἡμέρα τε σχεδὸν ὑπέφαινε καὶ 1
εἰς τὸ μέσον ἦκον οἱ ἄρχοντες, καὶ ἔδοξεν αὐτοῖς, προ-
φυλακὰς καταστήσαντας, συγκαλεῖν τοὺς στρατιώτας.
ἐπεὶ δὲ καὶ οἱ ἄλλοι στρατιῶται συνῆλθον, ἀνέστη
πρῶτον μὲν Χειρίσοφος ὁ Λακεδαιμόνιος καὶ ἔλεξεν
ὧδε, Ὦ ἄνδρες στρατιῶται, χαλεπὰ μὲν τὰ παρόντα, 2
ὁπότε ἀνδρῶν στρατηγῶν τοιούτων στερόμεθα καὶ
λοχαγῶν καὶ στρατιωτῶν, πρὸς δ' ἔτι καὶ οἱ ἀμφὶ
Ἀριαῖον, οἱ πρόσθεν σύμμαχοι ὄντες, προδεδώκασιν
ἡμᾶς· ὅμως δὲ δεῖ ἐκ τῶν παρόντων ἄνδρας ἀγαθοὺς 3
τελέθειν καὶ μὴ ὑφίεσθαι, ἀλλὰ πειρᾶσθαι, ὅπως, ἢν
μὲν δυνώμεθα, καλῶς νικῶντες σωζώμεθα· εἰ δὲ μή,
ἀλλά καλῶς γε ἀποθνήσκωμεν, ὑποχείριοι δὲ μηδέ-

ποτε γενώμεθα ζῶντες τοῖς πολεμίοις· οἶμαι γὰρ ἂν ἡμᾶς τοιαῦτα παθεῖν, οἷα τοὺς ἐχθροὺς οἱ θεοὶ ποιή-
4 σειαν. ἐπὶ τούτῳ Κλεάνωρ Ὀρχομένιος ἀνέστη καὶ ἔλεξεν ὧδε, Ἀλλ' ὁρᾶτε μέν, ὦ ἄνδρες, τὴν βασιλέως ἐπιορκίαν καὶ ἀσέβειαν, ὁρᾶτε δὲ τὴν Τισσαφέρνους ἀπιστίαν, ὅστις λέγων, ὡς γείτων τε εἴη τῆς Ἑλλάδος καὶ περὶ πλείστου ἂν ποιήσαιτο σῶσαι ἡμᾶς, καὶ ἐπὶ τούτοις αὐτὸς ὀμόσας ἡμῖν, αὐτὸς δεξιὰς δούς, αὐτὸς ἐξαπατήσας συνέλαβε τοὺς στρατηγούς, καὶ οὐδὲ Δία ξένιον ᾐδέσθη, ἀλλά, Κλεάρχῳ καὶ ὁμοτράπεζος γενόμενος, αὐτοῖς τούτοις ἐξαπατήσας τοὺς ἄν-
5 δρας ἀπολώλεκεν. Ἀριαῖος δέ, ὃν ἡμεῖς ἠθέλομεν βασιλέα καθιστάναι καὶ ἐδώκαμεν καὶ ἐλάβομεν πιστὰ μὴ προδώσειν ἀλλήλους, καὶ οὗτος οὔτε τοὺς θεοὺς δείσας οὔτε Κῦρον τεθνηκότα αἰδεσθείς, τιμώμενος μάλιστα ὑπὸ Κύρου ζῶντος, νῦν πρὸς τοὺς ἐκείνου ἐχθίστους ἀποστὰς ἡμᾶς τοὺς Κύρου φίλους κακῶς
6 ποιεῖν πειρᾶται. ἀλλὰ τούτους μὲν οἱ θεοὶ ἀποτίσαιντο. ἡμᾶς δὲ δεῖ ταῦτα ὁρῶντας μήποτε ἐξαπατηθῆναι ἔτι ὑπὸ τούτων, ἀλλὰ μαχομένους ὡς ἂν δυνώμεθα κράτιστα τοῦτο, ὅ τι ἂν δοκῇ τοῖς θεοῖς πάσχειν.
7 Ἐκ τούτου Ξενοφῶν ἀνίσταται ἐσταλμένος ἐπὶ

κῶντες σώζεσθαι. — Ἀλλὰ καλῶς γε ἀποθνήσκωμεν] ὡς ἀποθνήσκωμεν τοὐλάχιστον ἐνδόξως.

§. 4. *Λέγων . . καὶ ὀμόσας*] τροπικαί μετοχαί. — *Περὶ πλείστου ἂν ποιήσαιτο σῶσαι*] πολυτιμότατον θὰ ἐθεώρει νὰ μᾶς σώσῃ, ἂν ἠδύνατο (νὰ μᾶς σώσῃ). *Ὥσε ὁ ἂν φέρεται εἰς τὸ σῶσαι.* — *Αὐτὸς δεξιὰς δούς*] = εἰ καὶ αὐτὸς ἔδωκεν ἐνόρκους ὑποσχέσεις. Ἐναντιωματικὴ ἡ μετοχή. — *Κλεάρχῳ καὶ ὁμοτράπεζος γενόμενος*] = οὐ μόνον φιλοφρονούμενος Κλέαρχον, ἀλλὰ καὶ ὁμοτράπεζος αὐτῷ γενόμενος. — *Αὐτοῖς τούτοις*] δι' αὐτῶν τούτων τῶν μέσων, λέγων δηλαδὴ ὅτι γείτων τε εἴη καὶ περὶ πλείστου ποιήσαιτο σῶσαι ἂν κτλ.

§. 5. *Καὶ οὗτος*]=ὡς ὁ Τισσαφέρνης, οὕτω καὶ οὗτος. *Ἴδε Α'. Θ'. 6. καὶ ἄρκτον.*

§. 6. *Ἀποτίσαιντο*]=εἴθε νὰ τιμωρήσωσι. Κυρίως τὸ μέσον τοῦ ἀποτίνω σημαίνει κάμνω τινὰ ν' ἀποζημιώσῃ ἐμὲ ἢ ἄλλον τινὰ δι' ἀδίκημά τι. — *Πάσχειν*] εὐτυχῆσαι δηλαδὴ ἢ δυστυχῆσαι, τουτέστι νικῆσαι ἢ ἡττηθῆναι· διότι πάθος καὶ πάσχω εἶναι ἐκ τῶν μέσων λέξεων, ὁτὲ μὲν ἐπὶ καλοῦ, ὁτὲ δὲ ἐπὶ κακοῦ τεθειμένων.

§. 7. *Ἐσταλμένος*] ἐνδεδυμένος· ἐξ οὗ καὶ στολὴ = ἐνδυμασία. *Ἴδε Α'. β'. 27, Δ'. ε'. 33. κτλ. Κυρίως ὅμως ἐσταλμένος ἐπὶ πόλεμον ὡς ἠδύνατο κάλλιστα* = φορῶν ὡς οἷόν τε καλλίστην διὰ τὸν πόλεμον στολήν = ὡς οἷόν τε καλλίστην πολεμικὴν στολήν. — *Ὀρθῶς ἔχειν*] = εἶναι ὀρθόν. *Ἴδε Α'. ἡ. 13. ὅπως καλῶς ἔχοι.*

§. 8. *Διὰ φιλίας ἰέναι*]=φιλικῶς. *Ἀσ. 606. 84. — Καὶ τοὺς στρατηγοὺς οἷα πεπόνθασιν*] = οἷα καὶ οἱ στρατηγοὶ πεπόνθασιν. *Ἴδε Α'. ϛ'. 5. ἐξήγγειλε τὴν κρίσιν ὡς ἐγένετο.* — *Ὧν πεποιήκασι*]=ἐκείνων, ἃ πεποιήκασι. *Ἴδε Α'. γ'. 10. ὧν νομίζει ὑπ' ἐμοῦ ἠδικῆσθαι. — Δίκην ἐπιθεῖναι*] ἴδε Γ. Σ. ΣΤ'. — *Διὰ παντὸς πολέμου*] = ἀδιαλείπτως πολεμοῦντες. *Ἴδε Γ'. γ'. 5. τὸν πόλεμον ἀκήρυκτον εἶναι.*

§. 9. *Μιᾷ ὁρμῇ*] = ἐκ μιᾶς καὶ τῆς αὐτῆς ὁρμῆς (ψυχικῆς δυνάμεως)=ὁμοθυμαδόν. *Ἀσ. 93. 141. — Τὸν θεὸν*] *Δία τὸν σωτῆρα, ὡς φαίνεται καὶ ἐκ τῶν ἀμέσως*

πόλεμον ὡς ἐδύνατο κάλλιστα, νομίζων, εἴτε νίκην διδοῖεν οἱ θεοί, τὸν κάλλιστον κόσμον τῷ νικᾶν πρέπειν, εἴτε τελευτᾶν δέοι, ὀρθῶς ἔχειν τῶν καλλίστων ἑαυτὸν ἀξιώσαντα ἐν τούτοις τῆς τελευτῆς τυγχάνειν· τοῦ λόγου δὲ ἤρχετο ὧδε, Τὴν μὲν τῶν βαρβάρων 8
ἐπιορκίαν τε καὶ ἀπιστίαν λέγει μὲν Κλεάνωρ, ἐπίστασθε δὲ καὶ ὑμεῖς, οἶμαι. εἰ μὲν οὖν βουλόμεθα πάλιν αὐτοῖς διὰ φιλίας ἰέναι, ἀνάγκη ἡμᾶς πολλὴν ἀθυμίαν ἔχειν, ὁρῶντας καὶ τοὺς στρατηγούς, οἳ διὰ πίστεως αὐτοῖς ἑαυτοὺς ἐνεχείρισαν, οἷα πεπόνθασιν· εἰ μέντοι διανοούμεθα σὺν τοῖς ὅπλοις, ὧν τε πεποιήκασι, δίκην ἐπιθεῖναι αὐτοῖς, καὶ τὸ λοιπὸν διὰ παντὸς πολέμου αὐτοῖς ἰέναι, σὺν τοῖς θεοῖς πολλαὶ ἡμῖν καὶ καλαὶ ἐλπίδες εἰσὶ σωτηρίας. τοῦτο δὲ λέγοντος αὐτοῦ, 9
πτάρνυταί τις. ἀκούσαντες δ' οἱ στρατιῶται, πάντες μιᾷ ὁρμῇ προσεκύνησαν τὸν θεόν, καὶ ὁ Ξενοφῶν εἶπε, Δοκεῖ μοι, ὦ ἄνδρες, ἐπεί, περὶ σωτηρίας ἡμῶν λεγόντων, οἰωνὸς τοῦ Διὸς τοῦ σωτῆρος ἐφάνη, εὔξασθαι τῷ θεῷ τούτῳ θύσειν σωτήρια, ὅπου ἂν πρῶτον εἰς φιλίαν χώραν ἀφικώμεθα, συνεπεύξασθαι δὲ καὶ τοῖς ἄλλοις θεοῖς θύσειν κατὰ δύναμιν. καὶ ὅτῳ δοκεῖ ταῦτ', ἔφη, ἀνατεινάτω τὴν χεῖρα. καὶ ἀνέτειναν ἅπαντες. ἐκ τούτου ηὔξαντο καὶ ἐπαιάνισαν. ἐπεὶ δὲ τὰ τῶν θεῶν καλῶς εἶχεν, ἤρχετο πάλιν ὧδε,

ΕΙΣΜΑΝΟΓΙΟ

10 Εὐτύγχανον λέγων, ὅτι πολλαὶ καὶ καλαὶ ἐλπίδες ἡμῖν εἶεν σωτηρίας· πρῶτον μὲν γὰρ ἡμεῖς μὲν ἐμπεδοῦμεν τοὺς τῶν θεῶν ὅρκους, οἱ δὲ πολέμιοι ἐπιωρκήκασί τε καὶ τὰς σπονδὰς παρὰ τοὺς ὅρκους λελύκασιν. οὕτω δ' ἐχόντων, εἰκὸς τοῖς μὲν πολεμίοις ἐναντίους εἶναι τοὺς θεούς, ἡμῖν δὲ συμμάχους, οἵπερ ἱκανοί εἰσι καὶ τοὺς μεγάλους ταχὺ μικροὺς ποιεῖν καὶ τοὺς μικρούς, κἂν ἐν δεινοῖς ὦσι, σώζειν εὐπετῶς, ὅταν βού-
11 λωνται. ἔπειτα δὲ — ἀναμνήσω γὰρ ὑμᾶς καὶ τοὺς τῶν προγόνων τῶν ἡμετέρων κινδύνους, ἵνα εἰδῆτε ὡς ἀγαθοῖς τε ὑμῖν προσήκει εἶναι σώζονταί τε σὺν τοῖς θεοῖς καὶ ἐκ πάνυ δεινῶν οἱ ἀγαθοί· ἐλθόντων μὲν γὰρ Περσῶν καὶ τῶν σὺν αὐτοῖς παμπληθεῖ στόλῳ ὡς ἀφανιούντων αὖθις τὰς Ἀθήνας, ὑποστῆναι αὐ-
12 τοῖς Ἀθηναῖοι τολμήσαντες, ἐνίκησαν αὐτούς. καὶ εὐξάμενοι τῇ Ἀρτέμιδι, ὁπόσους κατακάνοιεν τῶν πο-
13 λεμίων, τοσαύτας χιμαίρας θύσειν τῇ θεῷ, ἐπεὶ οὐκ εἶχον ἱκανὰς εὑρεῖν, ἔδοξεν αὐτοῖς κατ' ἐνιαυτὸν πεντακοσίας θύειν, καὶ ἔτι καὶ νῦν ἀποθύουσιν· ἔπειτα, ὅτε Ξέρξης ὕστερον, ἀγείρας τὴν ἀναρίθμητον στρατιάν, ἦλθεν ἐπὶ τὴν Ἑλλάδα, καὶ τότε ἐνίκων οἱ ἡμέτεροι πρόγονοι τοὺς τούτων προγόνους καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν· ὧν ἔστι μὲν τεκμήρια ὁρᾶν τὰ τρόπαια, μέγιστον δὲ μαρτύριον ἡ ἐλευθερία τῶν

ἐπιφερομένων. — Ἐκ τούτου] = μετὰ τοῦτο. Συχνὰ κεῖται ἐπὶ ταύτης τῆς σημασίας. — Τὰ τῶν θεῶν καλῶς εἶχε]=τὰ ἀφορῶντα εἰς τοὺς θεοὺς ἔλαβον καλὴν ἔκβασιν. Α'. ἡ. 13. Περὶ δὲ τοῦ παρατατικοῦ ἴδε Ἀσ. 496. 20.

§. 10. Ἐμπεδοῦμεν] φυλάττομεν, σεβόμεθα. Ἐμπεδῶ κυρίως = ξερόνω. — Οὕτω δ' ἐχόντων] = τούτων δὲ οὕτως ἐχόντων.

§ 11. Ἔπειτα δὲ κτλ.] ἀνακόλουθον ἀντὶ τοῦ, ἔπειτα δὲ (ἀναμνήσω γὰρ ὑμᾶς καὶ τοὺς τῶν προγόνων τῶν ἡμετέρων κινδύνους, ἵνα εἰδῆτε ὡς ἀγαθοῖς ὑμῖν προσήκει εἶναι), εὖ ἴστε ὅτι σώζονται κτλ. — Ἐλθόντων μὲν γὰρ] ἀπόδοσις τούτου εἶναι τὸ κατωτέρω, §. 13, ἔπειτα ὅτε Ξέρξης. Ἀσ. 700. 41. δ'.—Ὡς ἀφανιούντων αὖθις] = ἵνα καταςήσωσι πάλιν τὰς Ἀθήνας ἀφανεῖς, δηλαδὴ ἵνα τὰς ἐπαναφέρωσιν εἰς τὴν προτέραν ἀδοξίαν. Ἄλλως τὸ αὖθις θὰ ἦτο περιττόν.

§. 12. Χιμαίρας] αἶγας. Χίμαιρα παρὰ Δωριεῦσι μὲν ἡ νέα

πόλεων, ἐν αἷς ὑμεῖς ἐγένεσθε καὶ ἐτράφητε· οὐδένα γὰρ ἄνθρωπον δεσπότην, ἀλλὰ τοὺς θεοὺς προσκυνεῖτε. τοιούτων μέν ἐστε προγόνων. οὐ μὲν δὴ 14 τοῦτό γε ἐρῶ, ὡς ὑμεῖς καταισχύνετε αὐτούς· ἀλλ' οὔπω πολλαὶ ἡμέραι, ἀφ' οὗ, ἀντιταξάμενοι τούτοις τοῖς ἐκείνων ἐκγόνοις, πολλαπλασίους ὑμῶν αὐτῶν ἐνικᾶτε σὺν τοῖς θεοῖς. καὶ τότε μὲν δὴ περὶ τῆς Κύρου βασι- 15 λείας ἄνδρες ἦτε ἀγαθοί. νῦν δ', ὁπότε περὶ τῆς ὑμετέρας σωτηρίας ὁ ἀγών ἐστι, πολὺ δήπου ὑμᾶς προσήκει καὶ ἀμείνονας καὶ προθυμοτέρους εἶναι. ἀλλὰ 16 μὴν καὶ θαρραλεωτέρους νῦν πρέπει εἶναι πρὸς τοὺς πολεμίους· τότε μὲν γάρ, ἄπειροι ὄντες αὐτῶν τό τε πλῆθος ἄμετρον ὁρῶντες, ὅμως ἐτολμήσατε σὺν τῷ πατρίῳ φρονήματι ἰέναι ἐπ' αὐτούς· νῦν δέ, ὁπότε καὶ πεῖραν ἤδη ἔχετε αὐτῶν, ὅτι θέλουσι, καὶ πολλαπλάσιοι ὄντες, μὴ δέχεσθαι ὑμᾶς, τί ἔτι ὑμῖν προσήκει τούτους φοβεῖσθαι; μηδὲ μέντοι τοῦτο μεῖον δόξητε ἔχειν, εἰ 17 οἱ Κύρειοι, πρόσθεν σὺν ἡμῖν ταττόμενοι, νῦν ἀφεξήκασιν· ἔτι γὰρ οὗτοι κακίονές εἰσι τῶν ὑφ' ἡμῶν ἡττημένων· ἔφευγον γοῦν πρὸς ἐκείνους καταλιπόντες ἡμᾶς, τοὺς δ' ἐθέλοντας φυγῆς ἄρχειν πολὺ κρεῖττον σὺν τοῖς πολεμίοις ταττομένους ἢ ἐν τῇ ἡμετέρᾳ τάξει

αἶξ, παρ' Ἀθηναίοις δὲ καὶ ἡ πάσης ἡλικίας. — Εὐξάμενος τῇ Ἀρτέμιδι] τὸ γεγονὸς τοῦτο ἄλλοι ἄλλως διηγοῦνται· πιθανώτερον φαίνεται τὸ ὑπὸ τοῦ συγγραφέως ἱστορούμενον. Ἴδε σχόλια εἰς Ἀριστοφ. Ἱππεῖς 657, Πλουτάρχ. Περὶ Ἡροδότου κακοηθείας 862, Αἰλιαν. Ποικλ. Ἱστορ. Π. 25. — Ἀποθύουσι] κατὰ χρέος θύσιν. Ἴδε Α'. ζ'. 18. ἀπέδωκε.

§. 14. Οὐ μὲν δή] ἴδε Α'. Θ'. 13. — Ἀλλ'] τῇ ἀληθείᾳ, ὁμολογουμένως. Α'. ἡ. 17. — Πολλαπλασίους] = καίπερ πολλαπλασίους ὄντας.

§. 16. Ἄπειροι ὄντες]=εἰ καὶ ἦσθε ἄπειροι. Ἐναντιωματικὴ ἡ μετοχή, ὡς δεικνύει καὶ τὸ ἐπιφερόμενον ὅμως.—Σὺν τῷ πατρίῳ φρονήματι] =μὲ τὴν ἰδιάζουσαν εἰς τὴν πατρίδα σας μεγαλοφροσύνην ἂν ὅμως πατρίῳ = πατρῴῳ, = μὲ τὴν ὑπὸ τῶν πατέρων ὑμῖν κληροδοτηθεῖσαν μεγαλοφροσύνην. — Ὅτι θέλουσι κτλ.] = ὅτι προτιμῶσιν, ἂν καὶ εἶναι πολλαπλάσιοι, νὰ μὴ ἀνθίσανται καθ' ὑμῶν, νὰ τρέπωνται δηλαδὴ εἰς φυγήν. Α'. ἰ. 6.

§. 17. Τοῦτο μεῖον δόξητε ἔχειν κτλ.] μηδὲ ὅτι κατὰ τοῦτο μειονεκτεῖτε, ὑποδεέστεροι εἶσθε, ὅτι δηλαδὴ ὁ βαρβαρικὸς τοῦ

18 ὁρᾶν. εἰ δέ τις ὑμῶν ἀθυμεῖ, ὅτι ἡμῖν μὲν οὐκ εἰσὶν ἵππεῖς, τοῖς δὲ πολεμίοις πολλοὶ πάρεισιν, ἐνθυμήθητε, ὅτι οἱ μύριοι ἱππεῖς οὐδὲν ἄλλο ἢ μύριοί εἰσιν ἄνθρωποι· ὑπὸ μὲν γὰρ ἵππου ἐν μάχῃ οὐδεὶς πώποτε οὔτε δηχθεὶς οὔτε λακτισθεὶς ἀπέθανεν, οἱ δὲ ἄνδρες εἰσὶν οἱ ποιοῦντες, ὅ τι ἂν ἐν ταῖς μάχαις γίγνηται.
19 οὐκοῦν τῶν ἱππέων πολὺ ἡμεῖς ἐπ' ἀσφαλεστέρου ὀχήματός ἐσμεν· οἱ μὲν γὰρ ἐφ' ἵππων κρέμανται φοβούμενοι οὐχ ἡμᾶς μόνον, ἀλλὰ καὶ τὸ καταπεσεῖν· ἡμεῖς δ', ἐπὶ γῆς βεβηκότες, πολὺ μὲν ἰσχυρότερον παίσομεν, ἢν τις προσίῃ, πολὺ δὲ μᾶλλον, ὅτου ἂν βουλώμεθα, τευξόμεθα. ἐνὶ μόνῳ προέχουσιν οἱ ἱππεῖς ἡμᾶς,
20 φεύγειν αὐτοῖς ἀσφαλέστερόν ἐστιν ἢ ἡμῖν. εἰ δὲ δὴ τὰς μὲν μάχας θαρρεῖτε, ὅτι δὲ οὐκέτι ἡμῖν Τισσαφέρνης ἡγήσεται οὐδὲ βασιλεὺς ἀγορὰν παρέξει, τοῦτο ἄχθεσθε, σκέψασθε πότερον κρεῖττον Τισσαφέρνην ἡγεμόνα ἔχειν, ὃς ἐπιβουλεύων ἡμῖν φανερός ἐστιν, ἢ οὓς ἂν ἡμεῖς ἄνδρας λαβόντες ἡγεῖσθαι κελεύωμεν, οἳ εἴσονται, ὅτι, ἤν τι περὶ ἡμᾶς ἁμαρτάνωσι, περὶ τὰς ἑαυτῶν

Κύρου στρατός, ὃς πρότερον ἐτάσσετο μεθ' ἡμῶν, ἀπέσχηκεν ἤδη πρὸς τοὺς πολεμίους. Ἴδε Β'. δ'. 1. καὶ 9. — *Κακίονες*] μᾶλλον μικρόψυχοι ἢ δειλοί. Ὡς ἀγαθὸς =γενναῖος (Β'. ἐ. 19.), οὕτω καὶ κακὸς=δειλός.—Ἔφευγον γοῦν] =ἔφευγον τοὐλάχιστον· ἐν ταῖς ἀποδείξεσι δὲ τὸ γοῦν, ὡς καὶ τὸ ἡμέτερον τοὐλάχιστον = ἀπόδειξις δὲ τούτου εἶναι ὅτι.—Ἡ ἐν τῇ ἡμετέρᾳ τάξει ὁρᾶν] ταττομένους, κατὰ τὸ ὁ δειλὸς τῆς πατρίδος προδότης ἐστίν.

§. 18. *Εἰσὶν οἱ ποιοῦντες*] = ποιοῦσι κατ' ἐξοχήν.—Ὀχήματος] = σχήματος· διότι ὄχημα = πᾶν ὅ τι βαστάζει ἢ φέρει τι, ὡς τὰ ἅρματα, αἱ ἅμαξαι, τὰ πλοῖα, οἱ ἵπποι· καὶ ὁ Ποσειδῶν λέγεται ὄχημα γῆς ὡς βαστάζων τὴν γῆν. Γίνεται δὲ ἡ λέξις ἐκ τοῦ ἔχω, ὄχος = τὸ βαστάζον. — *Πολὺ δὲ μᾶλλον*] =εὐκολώτερον. Β'. ἐ. 13. — *Βεβηκότες*] ἐρηριγμένους, βεβαίως ἑστηκότας, ὡς λέγει Ἡσύχιος.

§. 20. *Τὰς μάχας θαρρεῖτε*] δὲν φοβεῖσθε τὰς μάχας. Ὁ Δημοσθένης ἐν Ὀλυνθ. Γ'. λέγει, Οὔτε Φίλιππος ἐθάρρει τούτους=καὶ ὁ Φιλ. ἐφοβεῖτο τούτους. —Ἤν τι περὶ ἡμᾶς ἁμαρτάνωσι] = ἂν διαπράξωσι σφάλματα βλάπτοντα ἡμᾶς, τὰ σφάλματα ταῦτα θὰ βλάψωσι καὶ τὰ σώματα (διότι θὰ τρωθῶσιν) καὶ τὰς ψυχὰς αὐτῶν (διότι πιθανὸν καὶ ν' ἀποθάνωσι). Σημείωσαι δ' ὅτι οὐχὶ σπανίως ψυχὴ = ζωή.

ψυχὰς καὶ σώματα ἁμαρτάνουσι. τὰ δὲ ἐπιτήδεια πό- 21
τερον ὠνεῖσθαι κρεῖττον ἐκ τῆς ἀγορᾶς, ἧς οὗτοι παρεῖχον μικρὰ μέτρα πολλοῦ ἀργυρίου, μηδὲ τοῦτο ἔτι ἔχοντας, ἢ αὐτοὺς λαμβάνειν, ἥπερ κρατῶμεν, μέτρῳ χρωμένους ὁπόσῳ ἂν ἕκαστος βούληται. εἰ δὲ ταῦτα 22
μὲν γιγνώσκετε ὅτι κρείττονα, τοὺς δὲ ποταμοὺς ἄπορον νομίζετε εἶναι καὶ μεγάλως ἡγεῖσθε ἐξαπατηθῆναι διαβάντες, σκέψασθε, εἰ ἄρα τοῦτο καὶ μωρότατον πεποιήκασιν οἱ βάρβαροι· πάντες γὰρ ποταμοί, ἢν καὶ πρόσω τῶν πηγῶν ἄποροι ὦσι, προϊοῦσι πρὸς τὰς πηγὰς διαβατοὶ γίγνονται οὐδὲ τὸ γόνυ βρέχοντες. εἰ δὲ μήθ' οἱ ποταμοὶ διήσουσιν ἡγεμών τε μηδεὶς ἡμῖν 23
φανεῖται, οὐδ' ὡς ἡμῖν γε ἀθυμητέον. ἐπιστάμεθα γὰρ Μυσούς, οὓς οὐκ ἂν ἡμῶν φαίημεν βελτίους εἶναι, οἳ [βασιλέως ἄκοντος] ἐν τῇ βασιλέως χώρᾳ πολλάς τε καὶ εὐδαίμονας καὶ μεγάλας πόλεις οἰκοῦσιν, ἐπιστάμεθα δὲ Πισίδας ὡσαύτως. Λυκάονας δὲ καὶ αὐτοὶ εἴδομεν, ὅτι, ἐν τοῖς πεδίοις τὰ ἐρυμνὰ καταλαβόντες, τὴν τούτων χώραν καρποῦνται. καὶ ἡμᾶς δ' ἂν ἔφην 24
ἔγωγε χρῆναι μήπω φανεροὺς εἶναι οἴκαδε ὡρμημέ-

§. 21. Ἧς οὗτοι παρεῖχον.]Ἔλξις. Ἴδε Α'. ά. 8. ὧν Τισσαφέρνης. Τὸ δὲ ὅλον=τὰ δ' ἐπιτήδεια πότερον κρεῖττον ὠνεῖσθαι ἐκ τῆς ἀγορᾶς, ἣν παρεῖχον, μικρὰ μέτρα πολλοῦ ἀργυρίου, εἰ καὶ μηδὲ τοῦτο ἔχομεν, ἢ ἡμᾶς αὐτοὺς λαμβάνειν κτλ.

§. 22. *Διαβάντες*]=ἐν τῇ διαβάσει.—Εἰ ἄρα]=μὴ τυχόν, μὲ σημασίαν θετικὴν=ὅ τι πράγματι — Τοῦτο καὶ μωρότατον πεποιήκασι]=τοῦτό ἐστι τὸ μωρότατον, ὧν πεποιήκασι. Λέγει δὲ τοῦτο, διότι ἐπίστευον πάντες, ὅτι ὁ βασιλεύς, ἵνα καταστῇ ἡ ὁδὸς ἄπορος, καὶ τάφρους ὤρυξε καὶ τείχη ἤγειρεν. Ἴδε Β'. δ'. 4. — *Προϊοῦσι πρὸς τὰς πηγὰς διαβατοὶ γίγνονται*]= ἀνδράσι προϊοῦσι κτλ. = διαβατοὶ γίγνονται ὑπὸ τῶν προχωρούντων πρὸς τὰς πηγάς.

§. 23. *Διήσουσιν*]=ἐπιτρέψουσι τὴν διάβασιν. Μέλλων τοῦ διΐημι=ἀφίνω νὰ περάσῃ. — Οὐδ' ὡς]=οὐδὲ διὰ τοῦτο. Α'. ή. 21. — *Μυσοὺς .. Πισίδας*] Μυσοὶ καὶ Πισίδαι ἐν τῇ βασιλέως χώρᾳ κατέχοντες ἐρυμνὰ πάνυ χωρία καὶ κούφως ὡπλισμένοι δύνανται πολλὰ μὲν τὴν βασιλέως χώραν καταθέοντες κακοποιεῖν, αὐτοὶ δὲ ζῆν ἐλευθεροι. Ξενοφ. Ἀπομν. Γ'. ἐ. 26. — Ἐρυμνὰ] Α'. β'. 8.

§. 24. Ἔφην ἂν ἔγωγε] = θὰ ἔλεγον ἐγὼ (δὲν τὸ λέγω ὅμως

νους, ἀλλὰ κατασκευάζεσθαι ὡς αὐτοῦ που οἰκήσοντας. οἶδα γάρ, ὅτι καὶ Μυσοῖς βασιλεὺς πολλοὺς μὲν ἡγεμόνας ἂν δοίη, πολλοὺς δ' ἂν ὁμήρους τοῦ ἀδόλως ἐκπέμψειν, καὶ ὁδοποιήσειέ γ' ἂν αὐτοῖς, καὶ εἰ διὰ τετρίππων βούλοιντο ἀπιέναι. καὶ ἡμῖν γ' ἂν οἶδ' ὅτι τρισάμενος ταῦτ' ἐποίει, εἰ ἑώρα ἡμᾶς μένειν
25 παρασκευαζομένους. ἀλλὰ γὰρ δέδοικα, μή, ἂν ἅπαξ μάθωμεν ἀργοὶ ζῆν καὶ ἐν ἀφθόνοις βιοτεύειν καὶ Μήδων δὲ καὶ Περσῶν καλαῖς καὶ μεγάλαις γυναιξὶ καὶ παρθένοις ὁμιλεῖν, μὴ ὥσπερ οἱ λωτοφάγοι ἐπιλαθώ-
26 μεθα τῆς οἴκαδε ὁδοῦ. δοκεῖ οὖν μοι εἰκὸς καὶ δίκαιον εἶναι πρῶτον εἰς τὴν Ἑλλάδα καὶ πρὸς τοὺς οἰκείους πειρᾶσθαι ἀφικνεῖσθαι καὶ ἐπιδεῖξαι τοῖς Ἕλλησιν, ὅτι ἑκόντες πένονται, ἐξὸν αὐτοῖς τοὺς νῦν οἴκοι ἀκλήρους πολιτεύοντας ἐνθάδε κομισαμένους πλουσίους ὁρᾶν. ἀλλὰ γάρ, ὦ ἄνδρες, πάντα ταῦτα
27 τἀγαθὰ δῆλον ὅτι τῶν κρατούντων ἐστί. τοῦτο δὴ δεῖ λέγειν, πῶς ἂν πορευοίμεθά τε ὡς ἀσφαλέστατα καί, εἰ μάχεσθαι δέοι, ὡς κράτιστα μαχοίμεθα. πρῶτον μὲν τοίνυν, ἔφη, δοκεῖ μοι κατακαῦσαι τὰς ἁμάξας, ἃς

δέδοικα γὰρ μὴ κτλ. Ἴδε §. 25). — *Κατασκευάζεσθαι*] = νὰ διοργανίζωμεν ἡμᾶς αὐτοὺς ἢ νὰ ζῶμεν οὕτως, ὡς εἰ ἐμέλλομεν νὰ κατοικήσωμεν αὐτοῦ που.— *Τοῦ ἀδόλως ἐκπέμψειν*] ὑπὲρ τῆς ἀδόλου ἐκπομπῆς. Ἀσ. 51. 42. καὶ Εἰσαγ. Εἰς Ἑλλην. Σύνταξ. 87. 46.—*Καὶ ὁδοποιήσειέ γ' ἂν*] καὶ ὁδοὺς τῇ ἀληθείᾳ ἤθελε στρώσει δι' αὐτούς.

§. 25. *Ἀλλὰ γὰρ δέδοικα*] = ἀλλ' ὅμως φοβοῦμαι. *Κυρίως* = ἀλλ' οὔ φημι ἢ κελεύω ἔγωγε κατασκευάζεσθαι ὡς αὐτοῦ που οἰκήσοντα· δέδοικα γὰρ κτλ. Ἀσ. 728. 59. καὶ 60.—*Ὥσπερ οἱ λωτοφάγοι*]=οἱ ἑταῖροι τοῦ Ὀδυσσέως, οἵτινες φαγόντες τὸν λωτὸν ἐν τῇ χώρᾳ τῶν λωτοφάγων, δὲν ἤθελον νὰ ἐπανέλθωσιν εἰς τὴν πατρίδα αὐτῶν. Ὁμηρ. Ὀδ. Θ. 83. κ. ἑ. Ἦν δὲ ἡ χώρα τῶν λωτοφάγων εἰς τὰ παράλια τῆς Κυρηναϊκῆς. Στραβ. 17. σελ. 834.

§. 26. *Ἐξὸν*] Ἴδε Β'. ἑ. 22. — *πολιτεύοντας*]=ἀπόρους πολίτας ὄντας. *Ἄκληρος* = ὁ μὴ ἔχων κλῆρον τουτέστι κληρονομικὰ κτήματα ἢ χρήματα· διὸ καὶ ἄκληρόν τινα ποιῶ=ἀποκηρύττω — *Κομισαμένους*]=κομισαμένους. Ἀσ. 439. 60. *Κομίζομαι δ' ἐν τοῖς τοιούτοις*=ἀποικίζω ἢ ἀποικίαν ἐκπέμπω.

§ 27. *Τοῦτο δὴ δεῖ*]= τοῦτο ἄρα δεῖ.—*Ὡς ἀσφαλέστατα*] ἴδε Γ'. ά. 16. *ὡς κάλλιστα*. — *Τὰ*

ἔχομεν, ἵνα μὴ τὰ ζεύγη ἡμῶν στρατηγῇ, ἀλλὰ πορευώμεθα, ὅπῃ ἂν τῇ στρατιᾷ συμφέρῃ· ἔπειτα καὶ τὰς σκηνὰς συγκατακαῦσαι· αὗται γὰρ αὖ ὄχλον μὲν παρέχουσιν ἄγειν, συνωφελοῦσι δ' οὐδὲν οὔτε εἰς τὸ μάχεσθαι οὔτ' εἰς τὸ τὰ ἐπιτήδεια ἔχειν. ἔτι δὲ καὶ 28
τῶν ἄλλων σκευῶν τὰ περιττὰ ἀπαλλάξωμεν πλὴν ὅσα πολέμου ἕνεκεν ἢ σίτων ἢ ποτῶν ἔχομεν, ἵν' ὡς πλεῖστοι μὲν ἡμῶν ἐν τοῖς ὅπλοις ὦσιν, ὡς ἐλάχιστοι δὲ σκευοφορῶσι· κρατουμένων μὲν γάρ, ἐπίστασθε, ὅτι πάντα ἀλλότρια· ἢν δὲ κρατῶμεν, καὶ τοὺς πολεμίους δεῖ σκευοφόρους ἡμετέρους νομίζειν. λοιπόν μοι εἰ- 29
πεῖν, ὅπερ καὶ μέγιστον νομίζω εἶναι· ὁρᾶτε γὰρ καὶ τοὺς πολεμίους ὅτι οὐ πρόσθεν ἐξενεγκεῖν ἐτόλμησαν πρὸς ἡμᾶς πόλεμον, πρὶν τοὺς στρατηγοὺς ἡμῶν συνέλαβον, νομίζοντες, ὄντων μὲν τῶν ἀρχόντων καὶ ἡμῶν πειθομένων, ἱκανοὺς εἶναι ἡμᾶς περιγενέσθαι τῷ πολέμῳ, λαβόντες δὲ τοὺς ἄρχοντας, ἀναρχίᾳ ἂν καὶ ἀταξίᾳ ἐνόμιζον ἡμᾶς ἀπολέσθαι. δεῖ οὖν πολὺ μὲν 30
τοὺς ἄρχοντας ἐπιμελεστέρους γενέσθαι τοὺς νῦν τῶν πρόσθεν, πολὺ δὲ τοὺς ἀρχομένους εὐτακτοτέρους καὶ πειθομένους μᾶλλον τοῖς ἄρχουσι νῦν ἢ πρόσθεν. ἦν 31

ζεύγη ἡμῶν στρατηγῇ]=ἀγώμεθα ὑπὸ τῶν ζευγῶν· ἐννοεῖ δ' ὅτι ἔχοντες ζεύγη ἀναγκάζονται νὰ πορεύωνται ὁδοὺς διαβατὰς ὑπ' αὐτῶν, ἀφίνοντες πολλάκις τὰς συντομωτέρας. —*Αὖ*] Β'. γ'. 27. — *Ὄχλον παρέχουσιν ἄγειν*] γίνονται αἰτία νὰ διατελῶσιν πρὸς διεύθυνσιν αὐτῶν πολλοὶ στρατιῶται ἀπόμαχοι, νὰ μὴ μάχωνται δηλαδή. *Διότι ὄχλος λέγονται ἐν τῇ πολεμικῇ τέχνῃ οἱ σκευοφόροι, οἱ ζευγῆται καὶ ἐν γένει οἱ ὑπηρέται* Ἴδε Γ'. δ'. 26. *Περὶ δὲ τοῦ ἄγειν—πρὸς ὁδηγίαν τῶν ἁμαξῶν* ἴδε Β'. ά. 6. *φέρεσθαι*.

§. 28. *Τὰ περιττὰ τῶν σκευῶν ἀπαλλάξωμεν*] *ἀφήσωμεν ἢ ἀφανίσωμεν τὰ περιττὰ σκεύη· ταύτην τὴν σημασίαν ἔχει μὲ ἁπλῆν αἰτιατικὴν συντασσόμενον.* —*Ὡς πλεῖστοι*] Γ'. ά. 16. *ὡς κάλλιστα*. — *Κρατουμένων*] = ἂν κρατώμεθα, ἡττώμεθα. Ἴδε Β'. ά. 10.

§. 29. *Λοιπόν μοι*] ὑπολείπεταί μοι.—*Ὁρᾶτε γὰρ*] βλέπετε λοιπὸν ἢ δηλαδή. Ἀσ. 719 33. — *Ἐξενεγκεῖν πόλεμον*] Γ'. ά. 16. *τὸν πόλεμον ἐξύφανεν*. — *Οὐ πρόσθεν . . πρὶν*] Α'. ά. 10 *μὴ πρόσθεν . . πρίν*.—*Ὄντων*] ὑποθετικὴ μετοχή — *Τοὺς ἄρχοντας . . τοὺς νῦν*]=οἱ νῦν στρατηγοὶ καὶ λοχαγοί Α'. ζ'. 12. — *Τοὺς ἀρχομένους*] = ὁ στρατός.

§ 31 *Ἦν δέ τις ἀπειθῇ*] =

δέ τις ἀπειθῇ, ἣν ψηφίσησθε τὸν ἀεὶ ὑμῶν ἐντυγχά-
νοντα σὺν τῷ ἄρχοντι κολάζειν, οὕτως οἱ πολέμιοι
πλεῖστον ἐψευσμένοι ἔσονται· τῇδε γὰρ τῇ ἡμέρᾳ μυ-
ρίους ὄψονται ἀνθ' ἑνὸς Κλεάρχους τοὺς οὐδενὶ ἐπι-
32 τρέψοντας κακῷ εἶναι. ἀλλὰ γὰρ καὶ περαίνειν ἤδη
ὥρα· ἴσως γὰρ οἱ πολέμιοι αὐτίκα παρέσονται. ὅτῳ
οὖν ταῦτα δοκεῖ καλῶς ἔχειν, ἐπικυρωσάτω ὡς τά-
χιστα, ἵν' ἔργῳ περαίνηται. εἰ δέ τι ἄλλο βέλτιον ἢ
ταύτῃ, τολμάτω καὶ ὁ ἰδιώτης διδάσκειν· πάντες γὰρ
κοινῆς σωτηρίας δεόμεθα.

33 Μετὰ ταῦτα Χειρίσοφος εἶπεν, Ἀλλ' εἰ μέν τινος
ἄλλου δεῖ πρὸς τούτοις, οἷς λέγει Ξενοφῶν, καὶ αὐτίκα
ἐξέσται ποιεῖν· ἃ δὲ νῦν εἴρηκε, δοκεῖ μοι ὡς τάχιστα
ψηφίσασθαι ἄριστον εἶναι· καὶ ὅτῳ δοκεῖ ταῦτα, ἀνα-
34 τεινάτω τὴν χεῖρα. ἀνέτειναν ἅπαντες. ἀναστὰς δὲ
πάλιν εἶπε Ξενοφῶν, Ὦ ἄνδρες, ἀκούσατε, ὧν προσ-
δεῖν δοκεῖ μοι· δῆλον ὅτι πορεύεσθαι ἡμᾶς δεῖ, ὅπου
ἔξομεν τὰ ἐπιτήδεια· ἀκούω δὲ κώμας εἶναι καλὰς οὐ
35 πλέον εἴκοσι σταδίων ἀπεχούσας. οὐκ ἂν οὖν θαυμά-
ζοιμι, εἰ οἱ πολέμιοι, ὥσπερ οἱ δειλοὶ κύνες τοὺς μὲν

ὅστις δ' ἂν ἀπειθῇ = τὸν δ' ἀπειθοῦντα. Β΄. ά. 8. — Τὸν ἀεὶ ἐντυγχάνοντα]=ὁ ἑκάστοτε ἐντυγχάνων. Β΄. ϛ΄. 9.=πᾶς ὅστις τύχῃ ποτὲ ν' ἀπαντήσῃ ἀπειθῆ στρατιώτην. Ἀσ. 147. 41.—Κακῷ]=δειλῷ.

§. 32. Ἀλλὰ γὰρ] Γ΄. β΄. 25. — Περαίνειν] = πέρας διδόναι τῷ λόγῳ, ὡς φαίνεται ἐκ τοῦ κατωτέρω ἔργῳ περαίνηται=ἐπιτελεσθῶσιν.— Παρέσονται] = ἐλεύσονται. Α΄. β΄. 2. παρῆσαν εἰς Σάρδεις. — Καλῶς ἔχειν] = καλὰ ἢ ἀρκετὰ εἶναι. Α΄. ή. 13. — Ὡς τάχιστα] ὡς οἷόν τε τάχιστα. Γ΄. ά. 16. ὡς κάλλιστα. —Εἰ δέ τι ἄλλο βέλτιον ἢ ταύτῃ] = εἰ δέ τι ἄλλο νομίζει βέλτιον ἢ τοῦτο. Κυρίως = εἰ δέ τι ἄλλο βέλτιον δοκεῖ τινι εἶναι ἢ οὕτως ἔχον. Ὁ Ἀριστοφάνης λέγει πᾳ, Τόδ' ἐστὶν οὐ τοιοῦτον, ἀλλ' ἑτέρως ἔχον = ἀλλ' ἀλλοῖον. Ἀσ. 546. 33. περὶ τὸ τέλος. —Ἰδιώτης] Α΄. γ΄. 11. — Διδάσκειν] Β΄. ἑ. 6.

§. 33. Καὶ αὐτίκα] = καὶ αὖθις, καὶ ἔπειτα. Ἀντίθετον τούτου τὸ ὡς τάχιστα, κατωτέρω.

§. 34. Ὧν προσδεῖ] = ταῦτα, ὧν δεῖ πρὸς τούτους, ἃ νῦν εἴρηκα. —Ὅπου ἔξομεν τὰ ἐπιτήδεια] ἐκεῖ, ὅθεν = εἰς κώμας, ἀφ' ὧν δυνάμεθα νὰ ἔχωμεν τὰ τρόφιμα. Ἀσ. 914. 175.

§. 35. Εἰ καὶ αὐτοί] = οὕτω καὶ αὐτοί. Ἀσ. 663. 15. κ. ἑ. Τὸ

παριόντας διώκουσί τε καὶ δάκνουσιν, ἢν δύνωνται,
τοὺς δὲ διώκοντας φεύγουσιν, εἰ καὶ αὐτοὶ ἡμῖν
ἀπιοῦσιν ἐπακολουθοῖεν. ἴσως οὖν ἀσφαλέστερον ἡμῖν 36
πορεύεσθαι πλαίσιον ποιησαμένους τῶν ὅπλων, ἵνα τὰ
σκευοφόρα καὶ ὁ πολὺς ὄχλος ἐν ἀσφαλεστέρῳ εἴη. εἰ
οὖν νῦν ἀποδειχθείη, τίνα χρὴ ἡγεῖσθαι τοῦ πλαισίου
καὶ τὰ πρόσθεν κοσμεῖν καὶ τίνας ἐπὶ τῶν πλευρῶν
ἑκατέρων εἶναι, τίνας δ' ὀπισθοφυλακεῖν, οὐκ ἄν, ὁπότε
οἱ πολέμιοι ἔλθοιεν, βουλεύεσθαι ἡμᾶς δέοι, ἀλλὰ χρῴ-
μεθ' ἂν εὐθὺς τοῖς τεταγμένοις. εἰ μὲν οὖν ἄλλο τις 37
βέλτιον ὁρᾷ, ἄλλως ἐχέτω· εἰ δὲ μή, Χειρίσοφος μὲν
ἡγοῖτο, ἐπειδὴ καὶ Λακεδαιμόνιός ἐστι· τῶν δὲ πλευ-
ρῶν ἑκατέρων δύο τῷ πρεσβυτάτῳ στρατηγῷ ἐπι-
μελοίσθην. ὀπισθοφυλακοῖμεν δ' ἡμεῖς οἱ νεώτατοι,
ἐγώ τε καὶ Τιμασίων τὸ νῦν εἶναι· τὸ δὲ λοιπόν, πει- 38
ρώμενοι ταύτης τῆς τάξεως, βουλευσόμεθα, ὅ τι ἂν
ἀεὶ κράτιστον δοκῇ εἶναι. εἰ δέ τις ἄλλο ὁρᾷ βέλτιον,
λεξάτω. ἐπεὶ δὲ οὐδεὶς ἀντέλεγεν, εἶπεν, Ὅτῳ δοκεῖ
ταῦτα, ἀνατεινάτω τὴν χεῖρα. ἔδοξε ταῦτα. Νῦν 39
τοίνυν, ἔφη, ἀπιόντας ποιεῖν δεῖ τὰ δεδογμένα. καὶ
ὅστις τε ὑμῶν τοὺς οἰκείους ἐπιθυμεῖ ἰδεῖν, μεμνήσθω
ἀνὴρ ἀγαθὸς εἶναι· οὐ γὰρ ἔστιν ἄλλως τούτου τυ-
χεῖν. ὅστις τε ζῆν ἐπιθυμεῖ, πειράσθω νικᾶν· τῶν
μὲν γὰρ νικώντων τὸ κατακαίνειν, τῶν δὲ ἡττωμένων
τὸ ἀποθνήσκειν ἐστί. καὶ εἴ τις δὲ χρημάτων ἐπιθυμεῖ,
κρατεῖν πειράσθω· τῶν γὰρ νικώντων ἐστὶ καὶ τὰ ἑαυ-
τῶν σώζειν καὶ τὰ τῶν ἡττωμένων λαμβάνειν.

γ΄. Τούτων λεχθέντων, ἀνέστησαν καὶ ἀπελθόντες 1

δὲ εἰ πλεονάζει διὰ τὸν παρενθετικὸν λόγον.

§. 36. Πλαίσιον ποιησαμένους τῶν ὅπλων] εἰς τετράγωνον ἔχοντες τοὺς ὁπλίτας τεταγμένους. Α΄. ή. 9. καὶ Α. ϛ΄. 1. οὗτοι. — Ὄχλος] §. 27.

§. 37. Τὸ νῦν εἶναι] κατὰ τὸ παρόν.—Πειρώμενοι ταύτης τῆς τάξεως] ἀφοῦ λάβωμεν πεῖραν ἢ δοκιμάσωμεν ταύτην τοῦ στρατοῦ τὴν διάταξιν, δηλαδὴ τὸ πλαίσιον.

§. 39. Καὶ εἴ τις δὲ χρημάτων] προσέτι δὲ καὶ ὅστις. Α΄. ά. 2. —Κρατεῖν]= νικᾶν, ὡς φαίνεται καὶ ἐκ τῶν ἀμέσως ἐπιφερομένων. Ἴδε καὶ Β΄. ά. 10

Κεφ. γ΄. §. 1. Τῶν δὲ περιττῶν κτλ.] = μετεδίδοσαν δὲ ἀλλήλοις

κατέκαον τὰς ἁμάξας καὶ τὰς σκηνάς, τῶν δὲ περιττῶν, ὅτου μὲν δέοιτό τις, μετεδίδοσαν ἀλλήλοις, τὰ δὲ ἄλλα εἰς τὸ πῦρ ἐῤῥίπτουν. ταῦτα ποιήσαντες, ἠριστοποιοῦντο. ἀριστοποιουμένων δὲ αὐτῶν, ἔρχεται Μιθριδάτης σὺν ἱππεῦσιν ὡς τριάκοντα, καὶ καλεσά-2μενος τοὺς στρατηγοὺς εἰς ἐπήκοον λέγει ὧδε, Ἐγώ, ὦ ἄνδρες Ἕλληνες, καὶ Κύρῳ πιστὸς ἦν, ὡς ὑμεῖς ἐπίστασθε, καὶ νῦν ὑμῖν εὔνους· καὶ ἐνθάδε εἰμὶ σὺν πολλῷ φόβῳ διάγων. εἰ οὖν ὁρῴην ὑμᾶς σωτήριόν τι βουλευομένους, ἔλθοιμι ἂν πρὸς ὑμᾶς καὶ τοὺς θεράποντας πάντας ἔχων. λέξατε οὖν πρός με, τί ἐν νῷ ἔχετε, ὡς φίλον τε καὶ εὔνουν καὶ βουλόμενον κοινῇ3 σὺν ὑμῖν τὸν ζόλον ποιεῖσθαι. βουλευομένοις τοῖς στρατηγοῖς ἔδοξεν ἀποκρίνασθαι τάδε καὶ ἔλεγε Χειρίσοφος, Ἡμῖν δοκεῖ, εἰ μέν τις ἐᾷ ἡμᾶς ἀπιέναι οἴκαδε, διαπορεύεσθαι τὴν χώραν ὡς ἂν δυνώμεθα ἀσινέστατα· ἢν δέ τις ἡμᾶς τῆς ὁδοῦ ἀποκωλύῃ, διά-4πολεμεῖν τούτῳ ὡς ἂν δυνώμεθα κράτιστα. ἐκ τούτου ἐπειρᾶτο Μιθριδάτης διδάσκειν, ὡς ἄπορον εἴη βασιλέως ἄκοντος σωθῆναι. ἔνθα δὴ ἐγιγνώσκετο, ὅτι ὑπόπεμπτος εἴη· καὶ γὰρ τῶν Τισσαφέρνους τις οἰ-5κείων παρηκολούθει πίστεως ἕνεκα. καὶ ἐκ τούτου

(ἐκ) τῶν περιττῶν τοῦτο, ὅτου δέοιτό τις (=ἕκαστος) Ἀσ. 268. 32. ά. — Ἠριζοποιοῦντο] = ἐγευμάτιζον Α'. ί. 19. ἀναρίζοι —Εἰς ἐπήκοον] Β'. έ. 38.

§. 2. Εἰμὶ . . διάγων]=διάγω. —Καὶ τοὺς θεράποντας πάντας] ἅπαντας τοὺς ὀπαδούς μου. Καὶ παρ' Ὁμήρῳ θεράποντες τοῦ Ἀγαμέμνονος λέγονται καὶ πάντες οἱ ὑπὸ τὰς διαταγὰς του στρατηγοί.—Ὡς φίλον τε καὶ εὔνουν] θεωροῦντές με φίλον καὶ εὔνουν. Κυρίως= ὥσπερ ἐλέγετε ἂν πρός με τί ἐν νῷ ἔχετε ποιεῖν, εἰ ἤμην φίλος καὶ εὔνους. Α'. β'. 1.

§. 3. Ὡς ἂν δυνώμεθα ἀσινέστατα] Γ'. ά. 16. καὶ Β'. γ'. 27.

§. 4. Ἐκ τούτου] μετὰ τοῦτο. Γ. β'. 9. — Διδάσκειν] Β'. έ. 6. —Ἔνθα δὴ] τότε δή. Α'. ή. 19. Ἐνταῦθα δή. — Ὑπόπεμπτος] κατάσκοπος. Β'. δ'. 22. ὑποπέμψειαν.—Καὶ γὰρ] Α'. γ'. 12 — Πίστεως ἕνεκα] ἵνα μαρτυρήσῃ ὑπὲρ τῆς πιστῆς ἢ μὴ ἐκπληρώσεως τῆς εἰς αὐτὸν ἀνατεθείσης ἐντολῆς· διότι πίστις λέγεται καὶ ἡ πιστὴ ἐκπλήρωσις ὑπηρεσίας ἀνατεθείσης εἴς τινα.

§. 5. Δόγμα ποιήσασθαι] = ψηφίσασθαι. — Τὸν πόλεμον ἀκήρυκτον εἶναι]=νὰ μὴ παύσωσι πολεμοῦντες. Ἐννοεῖ δὲ τὰ μὴ

ἐδόκει τοῖς στρατηγοῖς βέλτιον εἶναι δόγμα ποιήσασθαι τὸν πόλεμον ἀκήρυκτον εἶναι, ἕως ἐν τῇ πολεμίᾳ εἶεν. διέφθειρον γὰρ προσιόντες τοὺς στρατιώτας, καὶ ἕνα γε λοχαγὸν διέφθειραν Νίκαρχον Ἀρκάδα, καὶ ᾤχετο ἀπιὼν νυκτὸς σὺν ἀνθρώποις ὡς εἴκοσιν.

Μετὰ ταῦτα, ἀριστήσαντες καὶ διαβάντες τὸν Ζα-6 πάταν ποταμόν, ἐπορεύοντο τεταγμένοι, τὰ ὑποζύγια καὶ τὸν ὄχλον ἐν μέσῳ ἔχοντες. οὐ πολὺ δὲ προελη-λυθότων αὐτῶν, ἐπιφαίνεται πάλιν ὁ Μιθριδάτης ἱππέας ἔχων ὡς διακοσίους καὶ τοξότας καὶ σφενδονήτας ὡς τετρακοσίους μάλα ἐλαφροὺς καὶ εὐζώνους. καὶ7 προσῄει μὲν ὡς φίλος ὢν πρὸς τοὺς Ἕλληνας· ἐπεὶ δ' ἐγγὺς ἐγένετο, ἐξαπίνης οἱ μὲν αὐτῶν ἐτόξευον καὶ ἱππεῖς καὶ πεζοί, οἱ δ' ἐσφενδόνων καὶ ἐτίτρωσκον. οἱ δὲ ὀπισθοφύλακες τῶν Ἑλλήνων ἔπασχον μὲν κακῶς, ἀντεποίουν δ' οὐδέν· οἵ τε γὰρ Κρῆτες βραχύτερα τῶν Περσῶν ἐτόξευον καὶ ἅμα, ψιλοὶ ὄντες, εἴσω τῶν ὅπλων κατεκέκλειντο, οἵ τε ἀκοντισταὶ βραχύτερα ἠκόντιζον ἢ ὡς ἐξικνεῖσθαι τῶν σφενδονητῶν. ἐκ τούτου Ξενο-8 φῶντι ἐδόκει διωκτέον εἶναι· καὶ ἐδίωκον τῶν τε ὁπλι-τῶν καὶ τῶν πελταστῶν οἳ ἔτυχον σὺν αὐτῷ ὀπισθο-

δέχωνται κήρυκας παρὰ τοῦ βασιλέως περὶ σπονδῶν· διότι οὗτοι προσιόντες διέφθειρον τοὺς στρατιώτας. Ἀκήρυκτος πόλεμος ὅμως εἶναι ὁ ἄνευ προειδοποιήσεως, ὁ δολερός· διότι δεῖ τὸν στρατηγόν, ὧν τε βούλεται τυχεῖν καὶ ὧν μὴ παρωχῆσαι, λόγῳ καὶ πρεσβείαις προκαλεῖσθαι πρῶτον Ὀνησάνδρ. Στρατηγ. κεφ. δ'. — Καὶ ἕνα γε] καὶ ἕνα μάλιστα. Ἀσ. 714. 14.

§. 6. Ἐπιφαίνεται] Β'. δ'. 24. —Ἐλαφροὺς καὶ εὐζώνους] ἐλαφροὶ μὲν οἱ δυνάμενοι ν' ἀποτρέχωσιν, ὁποῖοι οἱ τοξόται καὶ σφενδονῆται· εὔζωνοι δὲ οἱ ἀπὸ τῆς ζώνης ἔχοντες ἐξηρτημένον τὸν χιτῶνα πρὸς τὸν αὐτὸν σκοπόν. Διὸ καὶ οἱ ὁπλῖται ἐν Ζ'. γ'. 46. λέγονται εὔζωνοι= δρομαῖοι.

§. 7. Ὡς φίλος ὤν] ὡς ἂν ἦτο ἢ διότι ἐθεωρεῖτο φίλος. §. 2. — Ἔπασχον μὲν κακῶς] ἐβλάπτοντο. Πάσχω εὖ = εὐεργετοῦμαι καὶ πάσχω κακῶς= βλάπτομαι εἶναι παθητικὰ τῶν εὖ ποιῶ = εὐεργετῶ καὶ κακῶς ποιῶ= βλάπτω.— Βραχύτερα ἠκόντιζον κτλ] πληρεστέρα ἔκφρασις τοῦ ἀνωτέρω βραχύτερα τῶν Περσῶν ἐτόξευον, περὶ οὗ ἴδε Ἀσ. 66. 74. Σημαίνουσι δ' ἀμφότερα ὅτι τὰ βέλη τῶν Κρητῶν καὶ τὰ ἀκόντια τῶν ἄλλων Ἑλλήνων δὲν ἔφθανον εἰς ὕσην ἀπόσασιν καὶ

φυλακοῦντες· διώκοντες δὲ οὐδένα κατελάμβανον
9 τῶν πολεμίων· οὔτε γὰρ ἵππεῖς ἦσαν τοῖς Ἕλλησιν
οὔτε οἱ πεζοὶ τοὺς πεζοὺς ἐκ πολλοῦ φεύγοντας ἐδύ-
ναντο καταλαμβάνειν ἐν ὀλίγῳ χωρίῳ· πολὺ γὰρ οὐχ
10 οἷόν τε ἦν ἀπὸ τοῦ ἄλλου στρατεύματος διώκειν. οἱ
δὲ βάρβαροι ἱππεῖς καὶ φεύγοντες ἅμα ἐτίτρωσκον εἰς
τοὔπισθεν τοξεύοντες ἀπὸ τῶν ἵππων· ὁπόσον δὲ
διώξειαν οἱ Ἕλληνες, τοσοῦτον πάλιν ἐπαναχωρεῖν
11 μαχομένους ἔδει. ὥστε τῆς ἡμέρας ὅλης διῆλθον οὐ
πλέον πέντε καὶ εἴκοσι σταδίων, ἀλλὰ δείλης ἀφίκοντο
εἰς τὰς κώμας. ἔνθα δὴ πάλιν ἀθυμία ἦν. καὶ Χει-
ρίσοφος καὶ οἱ πρεσβύτατοι τῶν στρατηγῶν Ξενο-
φῶντα ἠτιῶντο, ὅτι ἐδίωκεν ἀπὸ τῆς φάλαγγος καὶ
αὐτός τε ἐκινδύνευε καὶ τοὺς πολεμίους οὐδὲν μᾶλλον
12 ἐδύνατο βλάπτειν. ἀκούσας δὲ Ξενοφῶν, ἔλεγεν, ὅτι
ὀρθῶς αἰτιῷντο, καὶ αὐτὸ τὸ ἔργον αὐτοῖς μαρτυροίη·
ἀλλ' ἐγώ, ἔφη, ἠναγκάσθην διώκειν, ἐπειδὴ ἑώρων
ἡμᾶς ἐν τῷ μένειν κακῶς μὲν πάσχοντας, ἀντιποιεῖν
13 δὲ οὐ δυναμένους. ἐπειδὴ δὲ ἐδιώκομεν, ἀληθῆ, ἔφη,
ὑμεῖς λέγετε· κακῶς μὲν γὰρ ποιεῖν οὐδὲν μᾶλλον ἐδυ-
νάμεθα τοὺς πολεμίους, ἀνεχωροῦμεν δὲ πάνυ χαλε-
14 πῶς. τοῖς οὖν θεοῖς χάρις, ὅτι οὐ σὺν πολλῇ ῥώμῃ,
ἀλλὰ σὺν ὀλίγοις ἦλθον, ὥστε βλάψαι μὲν μὴ μεγάλα,

τῶν Περσῶν τὰ βέλη ἢ σφενδονήματα. Περὶ τοῦ ἢ ὡς ἐξικνεῖσθαι ἴδε Ἀσ. 65. 72.

§. 9. Ἐκ πολλοῦ φεύγοντας] διότι ἐκ πολλῆς ἀπὸ τῶν Ἑλλήνων ἀποστάσεως ἐτρέποντο εἰς φυγήν. Ἴδε Α'. ἰ. 11.—Ἐν ὀλίγῳ χωρίῳ] = ἐντὸς ὀλίγου χωρίου. Ἐννοεῖ δ' ὅτι, ἂν ἐδίωκον εἰς μακρὰν ἀπόστασιν, θὰ συνελάμβανον ἴσως τινάς· ἐπειδὴ ὅμως διώκοντες δὲν ἀπεμακρύνοντο πολὺ ἀπὸ τῆς φαλαγγος, δύσκολον ἦτο νὰ συλλαμβάνωσί τινας τῶν εἰς φυγὴν τρεπομένων πολεμίων.

—Πολὺ γὰρ οὐχ οἷόν τε ἦν ἀπὸ τοῦ ἄλλου στρατεύματος διώκειν] διότι διώκοντες δὲν ἠδύναντο ν' ἀπομακρύνωνται τοῦ ἄλλου (ἑλληνικοῦ) στρατεύματος, δηλαδὴ τῆς φάλαγγος. Καὶ δὲν ἠδύναντο, διότι ἐφοβοῦντο τὸ ἱππικὸν τῶν πολεμίων.

§. 11. Δείλης] τὸ δειλινόν. Α'. ζ'. 18. τῇ ἑνδεκάτῃ . . πέντε ἡμερῶν.

§. 13. Ἀληθῆ ὑμεῖς λέγετε] ἀληθῆ εἶναι ὅσα λέγετε. Α'. ἐ. 7.

§. 14. Οὐ σὺν πολλῇ ῥώμῃ] οὐ σὺν πολλῇ στρατιωτικῇ δυνάμει = οὐ σὺν πολλοῖς στρατιώταις.

δηλῶσαι δέ, ὧν δεόμεθα· νῦν γὰρ οἱ μὲν πολέμιοι 15
τοξεύουσι καὶ σφενδονῶσιν, ὅσον οὔτε οἱ Κρῆτες ἀν-
τιτοξεύειν δύνανται οὔτε οἱ ἐκ χειρὸς βάλλοντες ἐξι-
κνεῖσθαι· ὅταν δὲ αὐτοὺς διώκωμεν, πολὺ μὲν οὐχ
οἷόν τε χωρίον ἀπὸ τοῦ στρατεύματος διώκειν, ἐν ὀλίγῳ
δὲ οὐδ' εἰ ταχὺς εἴη πεζὸς πεζὸν ἂν διώκων καταλάβοι
ἐκ τόξου ῥύματος. ἡμεῖς οὖν, εἰ μέλλομεν τούτους 16
εἴργειν, ὥστε μὴ δύνασθαι βλάπτειν ἡμᾶς πορευομέ-
νους, σφενδονητῶν τὴν ταχίστην δεῖ καὶ ἱππέων·
ἀκούω δ' εἶναι ἐν τῷ στρατεύματι ἡμῶν Ῥοδίους, ὧν
τοὺς πολλοὺς φασιν ἐπίστασθαι σφενδονᾶν, καὶ τὸ
βέλος αὐτῶν καὶ διπλάσιον φέρεσθαι τῶν Περσικῶν
σφενδονῶν· ἐκεῖναι γὰρ διὰ τὸ χειροπληθέσι τοῖς 17
λίθοις σφενδονᾶν ἐπὶ βραχὺ ἐξικνοῦνται, οἱ δὲ Ῥό-
διοι καὶ ταῖς μολυβδίσιν ἐπίστανται χρῆσθαι. ἦν οὖν 18
αὐτῶν ἐπισκεψώμεθα τίνες πέπανται σφενδόνας, καὶ
τούτῳ μὲν δῶμεν αὐτῶν ἀργύριον, τῷ δὲ ἄλλας πλέ-
κειν ἐθέλοντι ἄλλο ἀργύριον τελῶμεν, καὶ τῷ σφεν-
δονᾶν ἐντεταγμένῳ ἐθέλοντι ἄλλην τινὰ ἀτέλειαν εὑ-
ρίσκωμεν, ἴσως τινὲς φανοῦνται ἱκανοὶ ἡμᾶς ὠφελεῖν.

§. 15. Οἱ ἐκ χειρὸς βάλλοντες] =οἱ ἀκοντιζαί, περὶ ὧν ἴδε §. 7. περὶ τὸ τέλος. — Ἐκ τόξου ῥύματος] ἐξ ἀποστάσεως τοσαύτης, ὅσην δύνανται νὰ διατρέξῃ βέλος. Ἴδε ἀνωτέρω, §. 8. καὶ 9, καὶ Α'. ἰ. 11.

§. 16. Ἡμεῖς οὖν . . δεῖ]=ὑμῖν οὖν δεῖ. Ἀνακόλουθον. Β'. ἐ. 41. Πρόξενος δέ . . πέμψατε. — Τοὺς πολλοὺς] =τοὺς πλείους, πάντας σχεδόν. Ἀσ. 149. 50.

§. 17. Διὰ τὸ χειροπληθέσι τοῖς λίθοις σφενδονᾶν]= διὰ τὸ σφενδονᾶν βλήματα ἐκ χειροπληθῶν λίθων, διότι δηλαδὴ οἱ λίθοι, οὓς σφενδονῶσιν, εἶναι χειροπληθεῖς· χειροπληθὴς δὲ ὁ πλήθων τὴν χεῖρα, ὁ μέγας. — Καὶ ταῖς μολυβδίσι] σφαίρας μολυβδίνους. Ὅτε γὰρ μόλυβδος, ὁμόχρους ὢν τῷ ἀέρι, λανθάνει φερόμενος . . καὶ ὑπὸ τοῦ ῥοίζου τριβόμενον τὸ βέλος (=ἡ βολή), ἐκπυρωθέν, ὡς βαθυτάτω δύεται τῆς σαρκὸς κτλ. Ὀνησάνδρου Στρατηγ. Κεφ. 19.

§. 18. Ἐπισκεψώμεθα] ἐρευνήσωμεν.—Πέπανται] Α'. θ'. 19.—Ἄλλην τινὰ ἀτέλειαν εὑρίσκωμεν] σκεφθῶμεν νὰ ἴδωμεν ἂν ἐπιτρέπηται νὰ τὸν ἀπαλλάξωμεν ἀπὸ ἄλλων τινῶν καθηκόντων· διότι ἀτέλεια λέγεται ἡ ἀπαλλαγή τινος μάλιστα μὲν πάντων ἀπὸ φόρου, πολλάκις δὲ καὶ ἀπό τινος ὑποχρεώσεως· διὸ καὶ ὁ μὲν Ἡρόδ.

19 ὁρῶ δὲ ἵππους ὄντας ἐν τῷ στρατεύματι, τοὺς μέν τινας παρ' ἐμοί, τοὺς δὲ τῶν Κλεάρχου καταλελειμμένους, πολλοὺς δὲ καὶ ἄλλους αἰχμαλώτους σκευοφοροῦντας. ἂν οὖν, τούτους πάντας ἐκλέξαντες, σκευοφόρα μὲν ἀντιδῶμεν, τοὺς δὲ ἵππους εἰς ἱππέας κατασκευάσωμεν, ἴσως καὶ οὗτοί τι τοὺς φεύγοντας
20 ἀνιάσουσιν. ἔδοξε ταῦτα. καὶ ταύτης τῆς νυκτὸς σφενδονῆται μὲν εἰς διακοσίους ἐγένοντο, ἵπποι δὲ καὶ ἱππεῖς ἐδοκιμάσθησαν τῇ ὑστεραίᾳ εἰς πεντήκοντα, καὶ σπολάδες καὶ θώρακες αὐτοῖς ἐπορίσθησαν, καὶ ἵππαρχος δὲ ἐπεστάθη Λύκιος ὁ Πολυστράτου Ἀθηναῖος.

1 δ'. Μείναντες δὲ ταύτην τὴν ἡμέραν, τῇ ἄλλῃ ἐπορεύοντο πρωαίτερον ἀναζάντες· χαράδραν γὰρ αὐτοὺς ἔδει διαβῆναι, ἐφ' ᾗ ἐφοβοῦντο, μὴ ἐπιθοῖντο
2 αὐτοῖς, διαβαίνουσιν, οἱ πολέμιοι. διαβεβηκόσι δὲ αὐτοῖς πάλιν φαίνεται ὁ Μιθριδάτης ἔχων ἱππέας χιλίους, τοξότας δὲ καὶ σφενδονήτας εἰς τετρακισχιλίους· τοσούτους γὰρ ἤτησε Τισσαφέρνην καὶ ἔλαβεν ὑποσχόμενος, ἂν τούτους λάβῃ, παραδώσειν αὐτῷ τοὺς Ἕλληνας, καταφρονήσας, ὅτι ἐν τῇ πρόσθεν προσβολῇ, ὀλίγους ἔχων, ἔπαθε μὲν οὐδέν, πολλὰ δὲ κακὰ ἐνόμιζε
3 ποιῆσαι. ἐπεὶ δὲ οἱ Ἕλληνες διαβεβηκότες ἀπεῖχον

ἐν Γ'. 67. λέγει ἀτελείην στρατηίης καὶ φόρου, ὁ δ' Ἰσοκρ. ἐν Βυσιρ. 9. ἀτέλειαν ἔργων.

§. 19. *Τοὺς μέν τινας*] Β'. γ'. 15. *τοὺς δέ τινας*. — *Σκευοφόρα μὲν ἀντιδῶμεν*] ἀντὶ τῶν ἵππων δῶμεν ἡμιόνους ἢ ὄνους, ἢ καὶ ἄνδρας σκευοφόρους κατὰ τὰ ἐν Γ. ά. 30. καὶ Γ. β'. 28. — *Κατασκευάσωμεν*] παρασκευάσωμεν, δηλαδὴ ὁπλίσωμεν καὶ γυμνάσωμεν· διότι τοῦτο σημαίνει ἐν τοῖς τοιούτοις τὸ κατασκευάζω. — *Εἰς ἱππέας*] οὕτως, ὥστε νὰ εἶναι χρήσιμοι τοῖς ἱππεῦσιν. Ἀσ. 601. 69.

§. 20. *Ἐδοκιμάσθησαν*] δόκιμοι ἢ κατάλληλοι ἐκρίθησαν ἢ παραδεκτοὶ ἐγένοντο. — *Σπολάδες*] αἱ νῦν Ἰταλιστὶ μὲν σπαλέται, ἑλληνιστὶ δὲ ἐπωμίδες. Ὁ Πολυδεύκης λέγει που, *Σπολὰς δὲ θώραξ ἐκ δέρματος κατὰ τοὺς ὤμους ἐφαπτόμενος*· ἀλλαχοῦ δὲ ὁ αὐτὸς λέγει, *Στρατιώτου δὲ σκεύη ἀσπίς, πέλτη, θώραξ, ἡμιθωράκιον, σπολὰς* κτλ. — *Ἐπεξάθη*] ἐπιξάτης δηλαδὴ ἄρχων διωρίσθη.

Κεφ. δ'. §. 2. *Καταφρονήσας*] τῶν Ἑλλήνων = ἀψηφήσας τοὺς Ἕλληνας.

§. 3. *Παρήγγελτο δὲ* κτλ.] ὑπὸ τοῦ Ξενοφῶντος παρήγγελτο τούτοις, οἷς ἔδει διώκειν, καὶ τοῖς ἱππεῦσιν εἴρητο μετὰ θάρρους διώκειν, πεστεύοντες ὅτι ἔμελλε νὰ παρακολουθῇ αὐτοὺς ὡς ἐφεδρεία ἱκανὴ δύναμις. Γ'. γ'. 2. *ὡς φίλον* κτλ.

§. 4. *Κατειλήφει*] *τοὺς Ἕλληνας* = ἔφθασε τοὺς Ἕλληνας. — *Ἐσήμηνε*] ὁ Ξενοφῶν. Β'. β'. 5. — *Ὁμόσε*] εἰς τὸ αὐτὸ μέρος ἐπομένους ἔσπευδον νὰ συμπλακῶσιν. — *Οὐκ ἐδέξαντο*] Α'. ί. 6.

§. 5. *Αὐτοκέλευστοι*] αὐθορμήτως. *Αὐτοὶ ὑπ' ἀλλήλων κελευόμενοι*. — *Ἠκίσαντο*] Β'. ς'. 29. *αἰκισθείς*. — *Ὡς ὅτι φοβερώτατον* κτλ.] = ὡς εἰ τοῖς πολεμίοις ὁρᾶν = ἵνα δύνανται οἱ πολέμιοι νὰ βλέπωσι θέαμα ὡς οἷόν τε φοβερώτατον. Γ. Σ. Α'. καὶ Α'. ά. 6.

§. 6. *Οὕτω πράξαντες*] = ταῦτα παθόντες. Α'. Θ'. 10. *κάκιον πράξειαν*.

§. 7. *Ἐρήμη*] Α'. ά. 6. — *Λάρισσα*] νοτιώτερον τῆς συμβολῆς τοῦ Ζαπάτα καὶ τοῦ Τίγρητος σήμερον Νιμρούτ. — *Κρηπὶς δ' ὑπῆν*]=ὑπέκειτο δὲ κρηπὶς· κρηπὶς δὲ θεμέλιον οἰκοδομῆς, τείχους, ἀγάλματος καὶ μεταφορικῶς πόλεως, πατρίδος, ἐλευθερίας. Ἀλλὰ κρηπίδες, πληθυντικῶς, ὑποδημάτων εἶδος μὲ βάσεις παχείας.

§. 8. *Ἠφάνισε*] ἡ νεφέλη τὸν ἥλιον ἀφανῆ κατέστησεν. Ἀνήλιως

τῆς χαράδρας ὅσον ὀκτὼ σταδίους, διέβαινε καὶ ὁ Μιθριδάτης ἔχων τὴν δύναμιν. παρήγγελτο δὲ τῶν τε πελταστῶν οὓς ἔδει διώκειν καὶ τῶν ὁπλιτῶν, καὶ τοῖς ἱππεῦσιν εἴρηται θαῤῥοῦσι διώκειν, ὡς ἐφεψομένης ἱκανῆς δυνάμεως. ἐπεὶ δὲ ὁ Μιθριδάτης κατειλήφει 4
καὶ ἤδη σφενδόναι καὶ τοξεύματα ἐξικνοῦντο, ἐσήμηνε τοῖς Ἕλλησι τῇ σάλπιγγι, καὶ εὐθὺς ἔθεον ὁμόσε, οἷς εἴρητο, καὶ οἱ ἱππεῖς ἤλαυνον· οἱ δὲ οὐκ ἐδέξαντο, ἀλλ' ἔφευγον ἐπὶ τὴν χαράδραν. ἐν ταύτῃ τῇ διώξει τοῖς 5
βαρβάροις τῶν τε πεζῶν ἀπέθανον πολλοὶ καὶ τῶν ἱππέων ἐν τῇ χαράδρᾳ ζωοὶ ἐλήφθησαν εἰς ὀκτωκαίδεκα. τοὺς δὲ ἀποθανόντας αὐτοκέλευστοι οἱ Ἕλληνες ἠκίσαντο, ὡς ὅτι φοβερώτατον τοῖς πολεμίοις εἴη ὁρᾶν. καὶ οἱ μὲν πολέμιοι, οὕτω πράξαντες, ἀπῆλθον· 6
οἱ δὲ Ἕλληνες, ἀσφαλῶς πορευόμενοι τὸ λοιπὸν τῆς ἡμέρας, ἀφίκοντο ἐπὶ τὸν Τίγρητα ποταμόν. ἐνταῦθα 7
πόλις ἦν ἐρήμη μεγάλη, ὄνομα δ' αὐτῇ ἦν Λάρισσα· ᾤκουν δ' αὐτὴν τὸ παλαιὸν Μῆδοι· τοῦ δὲ τείχους αὐτῆς ἦν τὸ εὖρος πέντε καὶ εἴκοσι πόδας, ὕψος δ' ἑκατόν· τοῦ δὲ κύκλου ἡ περίοδος δύο παρασάγγαι· ᾠκοδόμητο δὲ πλίνθοις κεραμεαῖς· κρηπὶς δ' ὑπῆν λιθίνη τὸ ὕψος εἴκοσι ποδῶν. ταύτην βασιλεὺς ὁ Περσῶν, 8

ὅτε παρὰ Μήδων τὴν ἀρχὴν ἐλάμβανον Πέρσαι, πολιορκῶν οὐδενὶ τρόπῳ ἐδύνατο ἑλεῖν· ἥλιον δὲ νεφέλη προκαλύψασα ἠφάνισε, μέχρι ἐξέλιπον οἱ ἄνθρωποι,
9 καὶ οὕτως ἑάλω. παρὰ ταύτην τὴν πόλιν ἦν πυραμὶς λυθίνη, τὸ μὲν εὖρος ἑνὸς πλέθρου, τὸ δὲ ὕψος δύο πλέθρων. ἐπὶ ταύτης πολλοὶ [τῶν βαρβάρων ἦσαν ἐκ
10 τῶν πλησίον κωμῶν ἀποπεφευγότες. ἐντεῦθεν ἐπορεύθησαι σταθμὸν ἕνα παρασάγγας ἓξ πρὸς τεῖχος ἔρημον μέγα, πρὸς τῇ πόλει κείμενον· ὄνομα δὲ ἦν τῇ πόλει Μέσπιλα· Μῆδοι δ' αὐτήν ποτε ᾤκουν. ἦν δὲ ἡ μὲν κρηπὶς λίθου ξεστοῦ κογχυλιάτου, τὸ εὖρος πεν-
11 τήκοντα ποδῶν καὶ τὸ ὕψος πεντήκοντα. ἐπὶ δὲ ταύτῃ ἐπῳκοδόμητο πλίνθινον τεῖχος, τὸ μὲν εὖρος πεντήκοντα ποδῶν, τὸ δὲ ὕψος ἑκατόν· τοῦ δὲ κύκλου ἡ περίοδος ἓξ παρασάγγαι. ἐνταῦθα λέγεται Μήδεια γυνὴ βασιλέως καταφυγεῖν, ὅτε ἀπώλεσαν τὴν ἀρχὴν
12 ὑπὸ Περσῶν Μῆδοι. ταύτην δὲ τὴν πόλιν πολιορκῶν ὁ Περσῶν βασιλεὺς οὐκ ἐδύνατο οὔτε χρόνῳ ἑλεῖν οὔτε βίᾳ· Ζεὺς δ' ἐμβροντήτους ποιεῖ τοὺς ἐνοικοῦντας, καὶ οὕτως ἑάλω.

13 Ἐντεῦθεν δ' ἐπορεύθησαν σταθμὸν ἕνα παρασάγγας τέτταρας. εἰς τοῦτον δὲ τὸν σταθμὸν Τισσαφέρνης ἐπεφάνη, οὗς τε αὐτὸς ἱππέας ἦλθεν ἔχων καὶ τὴν Ὀρόντα δύναμιν τοῦ τὴν βασιλέως θυγατέρα ἔχοντος καὶ οὓς Κῦρος ἔχων ἀνέβη βαρβάρους καὶ οὓς ὁ βασιλέως ἀδελφὸς ἔχων βασιλεῖ ἐβοήθει, καὶ πρὸς

δὲ ἔκτοτε ὁ τόπος ἐγένετο ἄγονος καὶ νοσηρός· διὸ καὶ κατελείφθη ὑπὸ τῶν ἀνθρώπων.

§. 9. Ἦσαν ἀποπεφευγότες] καταφυγόντες εἶχον σωθῆ. Α'. δ'. 8. ἀποδεδράκασιν.

§. 10. Τεῖχος] Α'. δ'. 4.—Μέσπιλα] ἡ σήμερον Μοσούλ.—Ξεστοῦ] πελεκητοῦ.—Κογχυλιάτης] καὶ κογχυλίας = λίθος πορώδης κατὰ τὸ μᾶλλον καὶ ἧττον, ἐν ᾧ διαφαίνονται κογχύλια· ἐξ οὗ εἰκάζεται ὅτι, τοῦ πυθμένος τῆς θαλάσσης ἀνυψωθέντος, παρεῤῥύησαν μὲν τὰ ὕδατα, ἡ δὲ ἰλὺς μετὰ τῶν ἐν αὐτῇ κογχυλίων καὶ ὀστράκων μετεβλήθη εἰς λίθον.

§. 12. Ἐμβροντήτους] παράφρονας. Κυρίως σημαίνει τοὺς ἐκβροντῆς ἢ κεραυνοῦ καταπλαγέντας, ἐκ δὲ τοῦ φόβου παράφρονας ἢ ἠλιθίους γενομένους.

§. 13. Ἐπεφάνη] Β'. δ'. 24.—Οὓς τε αὐτὸς ἱππέας ἦλθεν ἔ-

τούτους ὅσους βασιλεὺς ἔδωκεν αὐτῷ. ὥστε τὸ στράτευμα πάμπολυ ἐφάνη. ἐπεὶ δ' ἐγγὺς ἐγένετο, τὰς 14
μὲν τῶν τάξεων εἶχεν ὄπισθεν καταςήσας, τὰς δέ, εἰς τὰ πλάγια παραγαγών, ἐμβαλεῖν μὲν οὐκ ἐτόλμησεν οὐδ' ἐβούλετο διακινδυνεύειν, σφενδονᾶν δὲ παρήγγειλε καὶ τοξεύειν. ἐπεὶ δὲ διαταχθέντες οἱ Ῥόδιοι 15
ἐσφενδόνησαν καὶ οἱ Σκύθαι τοξόται ἐτόξευσαν καὶ οὐδεὶς ἡμάρτανεν ἀνδρὸς — οὐδὲ γὰρ εἰ πάνυ προὐθυμεῖτο ῥᾴδιον ἦν — καὶ ὁ Τισσαφέρνης μάλα ταχέως ἔξω βελῶν ἀπεχώρει καὶ αἱ ἄλλαι τάξεις ἀπεχώρησαν. καὶ 16
τὸ λοιπὸν τῆς ἡμέρας οἱ μὲν ἐπορεύοντο, οἱ δ' εἵποντο· καὶ οὐκέτι ἐσίνοντο οἱ βάρβαροι [τῇ τότε ἀκροβολίσει·] μακρότερον γὰρ οἱ Ῥόδιοι τῶν τε Περσῶν ἐσφενδόνων καὶ τῶν πλείστων τοξοτῶν. μεγάλα δὲ καὶ τὰ τόξα τὰ 17
Περσικά ἐστιν. ὥστε χρήσιμα ἦν, ὁπόσα ἁλίσκοιτο τῶν τοξευμάτων, τοῖς Κρησί, καὶ διετέλουν χρώμενοι τοῖς τῶν πολεμίων τοξεύμασι, καὶ ἐμελέτων τοξεύειν ἄνω ἱέντες μακράν· ηὑρίσκετο δὲ καὶ νεῦρα πολλὰ ἐν ταῖς κώμαις καὶ μόλυβδος, ὥστε χρῆσθαι εἰς τὰς σφεν-

χων]=καὶ μὲ ὅσους αὐτὸς εἶχεν ἐλθεῖ ἱππεῖς. Α'. ά. 2. ἔχων ὁπλίτας καὶ ἐποίησε.

§ 14. Τὰς μὲν τῶν τάξεων] Β'. γ'. 2. Ἴδε καὶ Α'. β'. 16. — Εἶχε καταστήσας] εἶχε τάξει. Α'. γ'. 14. καὶ Ἀσ. 460. 24. — Ὄπισθεν] τῶν σφενδονητῶν καὶ τοξοτῶν. Ἴδε τὰ ἀμέσως ἐπιφερόμενα καὶ Ὀνησάνδρου Στρατηγ. Κεφ. 17.

§. 15. Ἔξω βελῶν] Α'. ή. 19.

§. 16. Ἐσίνοντο] κακῶς ἐποίων. Ἐνεργητικὸν τὸ ῥῆμα. Ἴδε καὶ Β'. γ'. 27. ἀσινῶς. — Ἀκροβολίσει] ἀκροβόλισις ἢ ἀκροβολισμὸς λέγεται ἡ διὰ τῶν ψιλῶν ἢ εὐζώνων, τῶν σφενδονητῶν δηλαδὴ καὶ τοξοτῶν, γινομένη μάχη· ἴσως διότι πρὸ πάντων χρήσιμοι ἦσαν εἰς τὸ ἀπελαύνειν ἐν ταῖς στρατείαις τοὺς τὰ ἄκρα κατέχοντας πολεμίους καὶ διευκολύνειν οὕτω τὴν πορείαν τοῦ ἄλλου στρατοῦ· διαφέρει δὲ τῆς ἐκ χειρὸς μάχης ἢ τῆς συμπλοκῆς, καθότι ἐν ταύτῃ ἐλάμβανον μέρος οἱ ὁπλῖται. Ἴδε Ὀνησάνδρου Στρατηγ. Κεφ. 18.

§ 17. Διετέλουν χρώμενοι] ἴδε Γ'. Σ. Δ'.—Ἐμελέτων] ἠσκοῦντο ἢ ἐγυμνάζοντο.—Ἄνω ἱέντες μακράν] ῥίπτοντες τὰ βέλη των ὡς οἷόν τε ὑψηλότερον. Παραβαίνοντες τ' ἀψήλου, λέγει ἡ κοινή. Τοῦτο δὲ ἐποίων ἵνα μὴ χάνωσι τὰ βέλη μακρὰν πίπτοντα. Οἱ ἐξηγοῦντες ἄνω, ἵνα φθάνωσι μακρύτερα, ἂς ἀναγνώσωσιν Ὀνησάνδρου Στρατηγ. Κεφ. 17. περὶ τὸ τέλος.—Χρῆσθαι εἰς τὰς σφενδόνας] Γ'. γ'. 17.

18 δόνας. καὶ ταύτῃ μὲν τῇ ἡμέρᾳ, ἐπεὶ κατεσρατοπε-
δεύοντο οἱ Ἕλληνες, κώμαις ἐπιτυχόντες, ἀπῆλθον οἱ
βάρβαροι μεῖον ἔχοντες ἐν τῇ τότε ἀκροβολίσει· τὴν
δ' ἐπιοῦσαν ἡμέραν ἔμειναν οἱ Ἕλληνες καὶ ἐπεδιτί-
σαντο· ἦν γὰρ πολλὺς σῖτος ἐν ταῖς κώμαις· τῇ δ'
ὑσεραίᾳ ἐπορεύοντο διὰ τοῦ πεδίου, καὶ Τισσαφέρ-
19 νης εἵπετο ἀκροβολιζόμενος. ἔνθα δὴ οἱ Ἕλληνες
ἔγνωσαν, ὅτι πλαίσιον ἰσόπλευρον πονηρὰ τάξις εἴη,
πολεμίων ἑπομένων· ἀνάγκη γάρ ἐστιν, ἢν μὲν συγ-
κύπτῃ τὰ κέρατα τοῦ πλαισίου, ἢ ὁδοῦ στενωτέρας
οὔσης ἢ ὀρέων ἀναγκαζόντων ἢ γεφύρας, ἐκθλίβε-
σθαι τοὺς ὁπλίτας καὶ πορεύεσθαι πονήρως, ἅμα μὲν
πιεζομένους, ἅμα δὲ καὶ ταραττομένους, ὥστε δυσ-
20 χρήστους εἶναι ἀνάγκη, ἀτάκτους ὄντας. ὅταν δ' αὖ
διάσχῃ τὰ κέρατα, ἀνάγκη διασπᾶσθαι τοὺς τότε ἐκ-
θλιβομένους καὶ κενὸν γίγνεσθαι τὸ μέσον τῶν κερά-
των, καὶ ἀθυμεῖν πρὸς ταῦτα πάσχοντας, πολεμίων
ἑπομένων. καὶ ὁπότε δέοι γέφυραν διαβαίνειν ἢ
ἄλλην τινὰ διάβασιν, ἔσπευδεν ἕκαστος βουλόμενος
φθάσαι πρῶτος· καὶ εὐεπίθετον ἦν ἐνταῦθα τοῖς πο-
21 λεμίοις. ἐπεὶ δὲ ταῦτ' ἔγνωσαν οἱ στρατηγοί, ἐποίη-
σαν ἓξ λόχους ἀνὰ ἑκατὸν ἄνδρας, καὶ λοχαγοὺς

§. 18. *Μεῖον ἔχοντες*] Α'. ί. 8.

§. 19. *Πλαίσιον*] Α'. ή. 9. — *Πονηρὰ τάξις*] ἐπιβλαβὴς διάταξις. Πονηρὸς ὁ παρέχων πόνους, ὁ γινόμενος αἴτιος νὰ πάθῃ τις δεινόν. τι.— *Πονήρως*] μετὰ κόπου, μετὰ κινδύνων.—*Ἅμα μὲν . . ἅμα δὲ*] τώρα μὲν . . τώρα δέ. Τὸν ἴδιον καιρὸ νὰ ἐξενοχωροῦντο καὶ ἐσυγχίζοντο, θὰ ἔλεγεν ἡ κοινή.

§. 20. *Διασπᾶσθαι τοὺς τότε ἐκθλιβομένους*] ν' ἀποσπῶνται οἱ ἄρτι στενοχωρημένοι ὄντες. *Ὅτε ὁ στρατός, εἰς πλαίσιον τεταγμένος* (Α'. ή. 9.), *διήρχετο ὁδὸν στενήν, αἱ μὲν ἐκατέρωθεν πλευραὶ τοῦ πλαισίου προσήγγιζον ὡς εἰκός, τὸ δὲ σῶμα καὶ ἡ οὐρὰ τοῦ πλαισίου, ἅτινα καὶ κέρατα ἐλέγοντο, διότι, φαίνεται, ἐσχηματίζοντο ὑπὸ τῶν κεράτων μάλιστα, συνεθλίβοντο· ὅτε δὲ πάλιν ἡ ὁδὸς εὐρύνετο, αἱ μὲν πλευραὶ διΐσαντο, τοῦ δὲ σώματος οἱ στρατιῶται ἀπεχωρίζοντο πρὸς ἑκατέραν τῶν πλευρῶν οὕτως, ὥστε τὸ μέσον νὰ μένῃ κενόν, ἑπομένως ἀσθενὲς καὶ εὐπρόσβλητον.*

§. 21. *Ἐνωμοτάρχας*] = *οἱ ἐπὶ κεφαλῆς 25 στρατιωτῶν διότι ἕκαστος λόχος, ἐξ 100 στρατιωτῶν ἀπαρτιζόμενος* (*ἴδε Δ'. ή. 15.*), *διηρεῖτο εἰς 2 πεντηκοστῦς, ἑκάστη*

ἐπέστησαν καὶ ἄλλους πεντηκοντῆρας καὶ ἄλλους ἐνω-
μοτάρχους. οὕτω δὲ πορευόμενοι, ὁπότε μὲν συγκύπτοι
τὰ κέρατα, ὑπέμενον ὕστεροι οἱ λοχαγοί, ὥστε μὴ ἐνο-
χλεῖν τοῖς κέρασι, τότε δὲ παρῆγον ἔσωθεν τῶν κερά-
των. ὁπότε δὲ διάσχοιεν αἱ πλευραὶ τοῦ πλαισίου, 22
τὸ μέσον ἀνεξεπίμπλασαν, εἰ μὲν στενώτερον εἴη τὸ
διέχον, κατὰ λόχους, εἰ δὲ πλατύτερον, κατὰ πεντη-
κοστῦς, εἰ δὲ πάνυ πλατύ, κατ' ἐνωμοτίας, ὥστε ἀεὶ
ἔκπλεων εἶναι τὸ μέσον. εἰ δὲ καὶ διαβαίνειν τινὰ 23
δέοι διάβασιν ἢ γέφυραν, οὐκ ἐταράττοντο, ἀλλ' ἐν
τῷ μέρει οἱ λοχαγοὶ διέβαινον· καὶ εἴ που δέοι τι τῆς

δὲ πεντηκοστὺς εἰς 2 ἐνωμοτίας. Ἀλλ' ὅπως τα νῦν, οὕτω καὶ τότε ὁ ἀριθμὸς καὶ τοῦ λόχου καὶ τῆς ἐνωμοτίας ἦτο οὐ μόνον παρ' ἄλλοις, ἀλλὰ καὶ ἄλλοτε ἄλλος. —*Τότε δὲ παρῆγον ἔσωθεν τῶν κεράτων*] τότε ὡδήγουν τοὺς λόχους ἔσωθεν παραλλήλως τῶν κεράτων. Ἔτρεψα τὸ ἔξωθεν εἰς ἔσωθεν, διότι ἄλλως ἀποβαίνει δυσνόητον τὸ χωρίον. Καὶ ὄντως, ἐπειδή, ὅτε διέσχον τὰ κέρατα, οἱ λοχαγοὶ ἐξεπίμπλων τουτέστιν ἐκένουν τὸ μεταξὺ τῶν δύο κεράτων, ἕπεται φυσικῶς ὅτι, ὅτε συνέκυπτον τὰ κέρατα, οἱ λοχαγοὶ ἐνεπίμπλων τὸ μέσον.

§. 22. *Τὸ διέχον*] τὸ πλάτος τῆς ὁδοῦ τὸ ἐπιτρέπον αὐτοῖς νὰ διαχωρίζωνται. *Διέχω* ἐνεργητικῶς μὲν = διαχωρίζω, μέσως δὲ=διαχωρίζομεθα ἀπ' ἀλλήλων. Ἴδε τὸ πλῆρες εἰς Α'. ί. 4. *Ἐνταῦθα διέσχον ἀλλήλων.* — *Κατὰ λόχους*] οὕτως, ὥστε ἕκαστος λόχος νὰ ἔχῃ κατὰ μέτωπον μὲν ἕνα, κατὰ βάθος δὲ 100. τοιουτοτρόπως ἅπαντες ὁμοῦ οἱ λόχοι οἱ ἐντὸς τῶν κεράτων εἶχον κατὰ μέτωπον 6 μόνον, ἑπομένως ἐπέτρεπον τοῖς κέρασι νὰ συγκύπτωσι πολύ. Ἂν ὅμως ἡ ὁδὸς ἦτο πλατυτέρα ἢ λίαν πλατεῖα, τότε οἱ λοχαγοὶ ἐξεπίμπλων τὸ μέσον κατὰ πεντηκοστῦς ἢ ἐνωμοτίας. Ὥσε τὸ μέτωπον ὅλων τῶν μεταξὺ τῶν κεράτων λόχων ἀπηρτίζετο ἐκ 12 ἢ 24 στρατιωτῶν. *Ὅτι δὲ αἱ φράσεις κατὰ λόχους, κατὰ πεντηκοστῦς, κατ' ἐνωμοτίας τοιαύτην ἔχουσι σημασίαν*, δῆλον ἐξ ὧν λέγει ὁ Αἰλιανὸς ἐν Τακτ. Κεφ. Ε'. 4. Ὁ δὲ λόχος ὀνομάζεται ἀριθμὸς ἀνδρῶν ἀπὸ τοῦ ἡγουμένου (τοῦ λοχαγοῦ) καὶ τῶν μετὰ τοῦτον κατόπιν τεταγμένων ἑξ' ἐπὶ τὸν τελευταῖον, ὃς δὴ οὐραγὸς καλεῖται.. Τὸ δὲ κατόπιν τοῦ μετώπου ἅπαν, ὅ ἐστιν ἐπὶ τοὺς οὐραγούς, βάθος καλεῖται. Ὁ αὐτος. Η'. 2. — *Ὥσε ἔκπλεων εἶναι ἀεὶ τὸ μέσον*] ὥσε ἑκάστοτε τὸ μέσον νὰ εἶναι ἐπαρκὲς ἢ ἀνάλογον, τοσοῦτον δηλαδή, ὥσε νὰ ἐπαρκῇ εἰς τὸν ἀριθμὸν τῶν μεταξὺ τῶν κεράτων στρατιωτῶν. Οὕτω καὶ ἐν Ζ'. ἑ. 9. *Τὸν μισθὸν ὑπισχνεῖτο ἔκπλεων* = *τόσον, ὥσε νὰ ἐπαρκέσῃ ἐπὶ δύο μῆνας.*

§. 23. *Ἐν τῷ μέρει*] = *κατὰ σειράν.* — *Τῆς φαλαγγος*]

φάλαγγος, ἐπιπαρῆσαν οὗτοι. τούτῳ τῷ τρόπῳ ἐπ-
24 ερεύθησαν σταθμοὺς τέτταρας. ἡνίκα δὲ τὸν πέμπτον
ἐπορεύοντο, εἶδον βασίλειόν τι καὶ περὶ αὐτὸ κώμας
πολλάς, τὴν δὲ ὁδὸν πρὸς τὸ χωρίον τοῦτο διὰ γηλό-
φων ὑψηλῶν γιγνομένην, οἳ καθῆκον ἀπὸ τοῦ ὄρους,
ὑφ' ᾧ ἦν κώμη. καὶ εἶδον μὲν τοὺς λόφους ἅσμενοι
οἱ Ἕλληνες, ὡς εἰκός, τῶν πολεμίων ὄντων ἱππέων·
25 ἐπεὶ δὲ πορευόμενοι ἐκ τοῦ πεδίου ἀνέβησαν ἐπὶ τὸν
πρῶτον γήλοφον καὶ κατέβαινον, ὡς ἐπὶ τὸν ἕτερον
ἀναβαίνειν, ἐνταῦθα ἐπιγίγνονται οἱ βάρβαροι καὶ
ἀπὸ τοῦ ὑψηλοῦ εἰς τὸ πρανὲς ἔβαλλον, ἐσφενδόνων,
26 ἐτόξευον ὑπὸ μαστίγων, καὶ πολλοὺς ἐτίτρωσκον καὶ
ἐκράτησαν τῶν Ἑλλήνων γυμνήτων καὶ κατέκλεισαν
αὐτοὺς εἴσω τῶν ὅπλων. ὥστε παντάπασι ταύτην
τὴν ἡμέραν ἄχρηστοι ἦσαν, ἐν τῷ ὄχλῳ ὄντες, καὶ οἱ
27 σφενδονῆται καὶ οἱ τοξόται. ἐπεὶ δὲ πιεζομενοι οἱ
Ἕλληνες ἐπεχείρησαν διώκειν, σχολῇ μὲν ἐπὶ τὸ ἄκρον
ἀφικνοῦνται, ὁπλῖται ὄντες, οἱ δὲ πολέμιοι ταχὺ ἀπε-
28 πήδων. πάλιν δέ, ὁπότε ἀπίοιεν πρὸς τὸ ἄλλο στρά-
τευμα, ταὐτὰ ἔπασχον, καὶ ἐπὶ τοῦ δευτέρου γηλόφου
ταὐτὰ ἐγίγνετο. ὥστε ἀπὸ τοῦ τρίτου γηλόφου ἔδοξεν
αὐτοῖς μὴ κινεῖν τοὺς στρατιώτας, πρὶν ἀπὸ τῆς δεξιᾶς
πλευρᾶς τοῦ πλαισίου ἀνήγαγον πελταστὰς πρὸς τὸ

Β'. γ'. 2. τὰς τάξεις.

§. 24. *Βασίλειον*] *Α'. β'. 7.* — *Καθῆκον*] = κατήρχοντο.

§. 25. *Ὑπὸ μαστίγων*] ἀναγκαζόμενοι, ὡς λέγει *Ἡρόδ. ἐν Ζ'.* 103. *Ὄπισθε γὰρ οἱ ἡγεμόνες .. ἔχοντες μάστιγας ἐρράπιζον πάντα ἄνδρα, οἳ εἰς τὸ πρόσω ἐποτρύνοντες. Ἡρόδ. Ζ'.* 223. *Βαρβαρικὸν δὲ καὶ δουλικὸν τοῦτο, ἦτο ἄχρηστον τοῖς Ἕλλησιν, ὑπὸ τοῦ καθήκοντος ἐλαυνομένοις.*

§. 26. *Ἐκράτησαν*] *Β'. ά.* 10. — *Γυμνήτων*] *Α'. β'.* 3. — *Τῶν ὅπλων*]=τῶν ὁπλιτῶν. *Α'. ς'.* 1. *καὶ οὗτοι.* — *Ἐν τῷ ὄχλῳ*] *ἐν μέσῳ τῶν ὑπηρετῶν κτλ. Γ'. β'.* 27.

§. 27. *Σχολῇ*] σχολαίως, βραδέως. — *Πάλιν δὲ ὁπότε ἀπίοιεν*] = ὁπότε δὲ ἀπίοιεν πάλιν = ἀπήρχοντο εἰς τὰ ὀπίσω= ἐπέστρεφον. *Α'. γ'.* 16. *τοῦ στόλου ποιουμένου.*

§. 28. *Μὴ κινεῖν τοὺς στρατιώτας*] = ἐπισῆσαι (στρατῆσαι) τὸν στρατόν. — *Πρὶν ἀνήγαγον*] = καὶ οὐ πρότερον ἐκίνησαν τὸν στρατόν, πρὶν ἀνήγαγον. *Ἀλλὰ κατὰ βραχυλογίαν παρελείφθη τὸ πρῶτον, ὡς εὐκόλως ἐκ τῶν ἡγουμένων ἐννοούμενον.*

ὄρος. ἐπεὶ δ' οὗτοι ἐγένοντο ὑπὲρ τῶν ἑπομένων πο- 29
λεμίων, οὐκέτι ἐπετίθεντο οἱ πολέμιοι τοῖς καταβαί-
νουσι, δεδοικότες μὴ ἀποτμηθείησαν καὶ ἀμφοτέρω-
θεν αὐτῶν γένοιντο οἱ πολέμιοι. οὕτω τὸ λοιπὸν τῆς 30
ἡμέρας πορευόμενοι, οἱ μὲν τῇ ὁδῷ κατὰ τοὺς γηλό-
φους, οἱ δὲ κατὰ τὸ ὄρος ἐπιπαριόντες, ἀφίκοντο εἰς
τὰς κώμας καὶ ἰατροὺς κατέστησαν ὀκτώ· πολλοὶ γὰρ
ἦσαν οἱ τετρωμένοι. ἐνταῦθα ἔμειναν ἡμέρας τρεῖς 31
καὶ τῶν τετρωμένων ἕνεκα καὶ ἅμα ἐπιτήδεια πολλὰ
εἶχον, ἄλευρα, οἶνον, κριθὰς ἵπποις συμβεβλημέ-
νας πολλάς. ταῦτα δὲ συνενηνεγμένα ἦν τῷ σατρα-
πεύοντι τῆς χώρας. τετάρτῃ δ' ἡμέρᾳ καταβαίνουσιν
εἰς τὸ πεδίον. ἐπεὶ δὲ κατέλαβεν αὐτοὺς Τισσαφέρνης 32
σὺν τῇ δυνάμει, ἐδίδαξεν αὐτοὺς ἡ ἀνάγκη κατα-
σκηνῆσαι, οὗ πρῶτον εἶδον κώμην, καὶ μὴ πορεύεσθαι
ἔτι μαχομένους· πολλοὶ γὰρ ἦσαν ἀπόμαχοι, οἱ τετρω-
μένοι καὶ οἱ ἐκείνους φέροντες καὶ οἱ τῶν φερόντων
τὰ ὅπλα δεξάμενοι. ἐπεὶ δὲ κατεσκήνησαν καὶ ἐπεχεί- 33
ρησαν αὐτοῖς ἀκροβολίζεσθαι οἱ βάρβαροι πρὸς τὴν
κώμην προσιόντες, πολὺ περιῆσαν οἱ Ἕλληνες· πολὺ
γὰρ διέφερον ἐκ χώρας ὁρμῶντες ἀλέξασθαι ἢ πορευό-
μενοι ἐπιοῦσι τοῖς πολεμίοις μάχεσθαι. ἡνίκα δ' ἦν 34
ἤδη δείλη, ὥρα ἦν ἀπιέναι τοῖς πολεμίοις· οὔποτε γὰρ
μεῖον ἀπεστρατοπεδεύοντο οἱ βάρβαροι τοῦ Ἑλληνι-
κοῦ ἑξήκοντα σταδίων, φοβούμενοι μὴ τῆς νυκτὸς οἱ

§. 29. *Ἐγένοντο ὑπὲρ τῶν ἑπομένων πολεμίων*] ἀνέβησαν ὑψηλότερον τῶν πολεμίων ἐκείνων, οἵτινες εἵποντο. — *Οἱ πολέμιοι*] αὐτοῖς δηλαδὴ οἱ Ἕλληνες.

§. 30. *Πορευόμενοι κτλ.*] *Οἱ μὲν ἐν τῇ ὁδῷ πορευόμενοι διὰ τῆς ὁδοῦ τῆς διὰ μέσου τῶν γηλοφων γιγνομένης* (*ἴδε* §. 24.), *οἱ δὲ ἐπὶ τοῦ ὄρους παραλλήλως τούτοις φερόμενοι διὰ μέσου τοῦ ὄρους.* — *Κατέστησαν*] *διώρισαν· τὸ ἐπὶ ἀξιωματικῶν ἐπέστησαν Γ'. γ'.* 20.

§. 31. *Καὶ τῶν τετρωμένων ἕνεκα καὶ . . εἶχον*] *καὶ τῶν τετρωμένων ἕνεκα καὶ ἅμα διότι εἶχον. Ἀνακόλουθον. Ἀσ.* 923. 202. — *Τῷ σατραπεύοντι*] *ὑπὸ τοῦ σατράπου.*

§. 32. *Καὶ μὴ πορεύεσθαι ἔτι*] *καὶ μηκέτι πορεύεσθαι, καὶ νὰ μὴ πορεύωνται πλέον.*

§ 33. *Ἀκροβολίζεσθαι*] *ἴδε ἀνωτέρω §. 16.* — *Περιῆσαν*] = περιεγίγνοντο. *Α'. ή.* 13. *Ἀντίθετον*

35 Ἕλληνες ἐπιθῶνται αὐτοῖς· πονηρὸν γὰρ νυκτος ἔστι στράτευμα Περσικόν· οἵ τε γὰρ ἵπποι αὐτοῖς δέδενται καὶ ὡς ἐπὶ τὸ πολὺ πεποδισμένοι εἰσὶ τοῦ μὴ φεύγειν ἕνεκα, εἰ λυθείησαν· ἐάν τέ τις θόρυβος γίγνηται, δεῖ ἐπισάξαι τὸν ἵππον Πέρσῃ ἀνδρὶ καὶ χαλινῶσαι δεῖ καὶ θωρακισθέντα ἀναβῆναι ἐπὶ τὸν ἵππον. ταῦτα δὲ πάντα χαλεπὰ νύκτωρ καὶ θορύβου ὄντος. τούτου
36 ἕνεκα πόρρω ἀπεσκήνουν τῶν Ἑλλήνων. ἐπεὶ δὲ ἐγίγνωσκον αὐτοὺς οἱ Ἕλληνες βουλομένους ἀπιέναι καὶ διαγγελλομένους, ἐκήρυξε τοῖς Ἕλλησι συσκευάζεσθαι, ἀκουόντων τῶν πολεμίων. καὶ χρόνον μέν τινα ἐπέσχον τῆς πορείας οἱ βάρβαροι· ἐπειδὴ δὲ ὀψὲ ἐγίγνετο, ἀπῆσαν· οὐ γὰρ ἐδόκει λυσιτελεῖν αὐτοῖς νυκτὸς πορεύε-
37 σθαι καὶ κατάγεσθαι ἐπὶ τὸ στρατόπεδον. ἐπειδὴ δὲ σαφῶς ἀπιόντας ἤδη ἑώρων οἱ Ἕλληνες, ἐπορεύοντο καὶ αὐτοὶ ἀναζεύξαντες καὶ διῆλθον ὅσον ἑξήκοντα σταδίους. καὶ γίγνεται τοσοῦτον μεταξὺ τῶν στρατευμάτων, ὥσε τῇ ὑστεραίᾳ οὐκ ἐφάνησαν οἱ πολέμιοι οὐδὲ τῇ τρίτῃ· τῇ δὲ τετάρτῃ, νυκτὸς προελθόντες, καταλαμβάνουσι χωρίον ὑπερδέξιον οἱ βάρβαροι, ᾗ ἔμελ-

τούτων τὸ μεῖον ἔχω, περὶ οὗ ἴδε Α'. ἰ. 8.—Πολὺ διέφερε] πολυ διάφορον πρᾶγμα ἦτο ἐκ τοῦ στρατοπέδου ὁρμῶντες ν' ἀμύνωνται παρὰ πορευόμενοι ἢ ἀπὸ μάχωνται. Ἀπρόσωπος σύνταξις· ὡς δὲ προσήκει = προσῆκόν ἐστιν, οὕτω καὶ διαφέρει = διάφορόν ἐστιν. Ἐπὶ ταύτης τῆς σημασίας ἡ κοινὴ λέγει μετ' ἐπιτάσεως ἔχει μεγάλην διαφορὰν μὲ τὴν σημασίαν ἦτο πολὺ καλλίτερον.—Ἐκ χώρας] = ἐκ τῆς χώρας ἢ τοῦ τόπου, οὗ κατεῖχον· Α'. δ'. 10. ὅσα ὥραι. Ἴδε καὶ Α'. ἑ 17. κατὰ χώραν ἔθεντο τὰ ὅπλα.

§. 35. Πονηρὸν] ἴδε ἀνωτέρω, §. 19.—Πεποδισμένοι εἰσὶ] πέδας φέρουσι· πέδη δὲ δεσμὸς συν. ἐχων δύο τοῦ ἵππου πόδας. — Ἐπισάξαι] ἐπιθεῖναι τὸ σάγμα· σάγμα δέ, ἐξ οὗ τὸ παρ' ἡμῖν σαμάριον, εἶδος ἐφιππίου.

§. 36. Διαγγελομένους] ἀλληλοδιαδόχως μεταδίδοντας τὴν ἀγγελίαν, ὡς τὸ παρεγγυᾶν, περὶ οὗ ἴδε Α'. ἡ. 17. — Ὀψὲ ἐγίγνετο] = ὀψία ἐγίγνετο. Ἴδε Α'. ἡ. 1. ἀμφὶ πλήθουσαν ἀγοράν. — Κατάγεσθαι ἐπὶ τὸ στρατόπεδον] νὰ φέρωνται εἰς τὸ κατάλληλον πρὸς στρατοπέδευσιν χωρίον. Περὶ τοῦ ἄρθρου ἴδε Ἀσ. 142. 26.

§. 37. Ἀναζεύξαντες] ἐξαγαγόντες (ἐκ τῶν σκηνωμάτων) τὸν στρατὸν· κυρίως ἀναζευγνυω

λον οἱ Ἕλληνες παριέναι, ἀκρωνυχίαν ὄρους, ὑφ' ἣν ἡ κατάβασις ἦν εἰς τὸ πεδίον. ἐπειδὴ δὲ ἑώρα Χειρίσο- 38
φος προκατειλημμένην τὴν ἀκρωνυχίαν, καλεῖ Ξενοφῶντα ἀπὸ τῆς οὐρᾶς καὶ κελεύει, λαβόντα τοὺς πελταστάς, παραγενέσθαι εἰς τὸ πρόσθεν. ὁ δὲ Ξενοφῶν 39
τοὺς μὲν πελταστὰς οὐκ ἦγεν — ἐπιφαινόμενον γὰρ ἑώρα Τισσαφέρνην καὶ τὸ στράτευμα πᾶν — αὐτὸς δὲ προσελάσας ἠρώτα, Τί καλεῖς ; ὁ δὲ λέγει αὐτῷ, Ἔξεστιν ὁρᾶν· προκατείληπται γὰρ ἡμῖν ὁ ὑπὲρ τῆς καταβάσεως λόφος, καὶ οὐκ ἔστι παρελθεῖν, εἰ μὴ τούτους ἀποκόψομεν. ἀλλὰ τί οὐκ ἦγες τοὺς πελταστάς ; ὁ δὲ 40
λέγει, ὅτι οὐκ ἐδόκει αὐτῷ ἔρημα καταλιπεῖν τὰ ὄπισθεν, πολεμίων ἐπιφαινομένων. Ἀλλὰ μὴν ὥρα γ', ἔφη, βουλεύεσθαι, πῶς τις τοὺς ἄνδρας ἀπελᾷ ἀπὸ τοῦ λόφου. ἐνταῦθα Ξενοφῶν ὁρᾷ τοῦ ὄρους τὴν κορυφὴν 41
ὑπὲρ αὐτοῦ τοῦ ἑαυτῶν στρατεύματος οὖσαν καὶ ἀπὸ ταύτης ἔφοδον ἐπὶ τὸν λόφον, ἔνθα ἦσαν οἱ πολέμιοι, καὶ λέγει, Κράτιστον, ὦ Χειρίσοφε, ἡμῖν ἴεσθαι ὡς τάχιστα ἐπὶ τὸ ἄκρον· ἦν γὰρ τοῦτο λάβωμεν, οὐ δυνήσονται μένειν οἱ ὑπὲρ τῆς ὁδοῦ. ἀλλά, εἰ βούλει,

= ξαναζεύγω τὰ ὑποζύγια εἴ τι τοιοῦτο, ἵνα ἀναχωρήσω, μεταφορικῶς δὲ θέτω πάλιν τὸν στρατὸν εἰς κίνησιν, ἐξάγω, καὶ ἀμεταβάτως ἀναχωρῶ. — Ἀκρωνυχίαν] ὁ Σουΐδας λέγει, ἀκρῶνυξ τὸ ἄκρον τοῦ ὄνυχος καὶ τὸ ἄκρον τοῦ ὄρους. κατωτέρω, §. 39, τὴν λέγει ὑπὲρ τῆς καταβάσεως λόφος, τὴν αὐτὴν δὲ ἐν §. 44 καὶ 49 ὀνομάζει ἄκραν. Ἆρα ἀκρωνυχία = ἄκρα ὄρους ἢ καὶ λόφος ἀποτόμως ἴσως αἰρομένη.—Ἀπὸ τῆς οὐρᾶς] τὰ ὄπισθεν τοῦ στρατοῦ, ὡς λέγει κατωτέρω, §. 40. — Προκατείληπται ἡμῖν] Α'. γ'. 16.

§. 40. Ὥραγε] καιρὸς τῇ ἀληθείᾳ εἶναι, τώρα πρὸ πάντων εἶναι καιρός. Ἴδε καὶ Α'. Θ'. 14. τούς γε μέντοι ἀγαθούς.

§. 41. Ἔφοδον] = ὁδὸν φέρουσαν εἰς τὴν ἀκρωνυχίαν, ἐνταῦθα, ἢ εἴς τι ὑψηλὸν μέρος· ἀντίθετον ἄφοδος = ὁδὸς διὰ τῆς ὁποίας φεύγομεν ἀπό τινος μέρους. Ἴδε Δ'. β'. 11. — Ἴεσθαι] = νὰ ὁρμῶμεν, νὰ χιουμίξωμεν, ὡς λέγει βαρβαριστὶ ἡ κοινή. Ἴδε Α'. ἑ. 8. — Ἐθέλω πορεύεσθαι] = ἄσμενος πορεύομαι, ἑκὼν καὶ οὐκ ἀέκων πορεύομαι· συνηθέστερον ἡ ἔννοια αὕτη ἐκφέρεται διὰ τῆς μετοχῆς, ὡς τὴν δ' ἐθέλων ἐθέλουσαν ἀνήγαγεν (Ὀδ. β'. 272) = ταύτην δὲ ἄσμενος ἀσμένως πορευομένην ἀνήγαγεν. — Εἰ δὲ χρῄζεις] ἂν δ' ἐπιθυμεῖς. Χρῄζω

μένε ἐπὶ τῷ στρατεύματι, ἐγὼ δ' ἐθέλω πορεύεσθαι· εἰ δὲ χρῄζεις, πορεύου ἐπὶ τὸ ὄρος, ἐγὼ δὲ μενῶ αὐ-
42 τοῦ. Ἀλλὰ δίδωμί σοι, ἔφη ὁ Χειρίσοφος, ὁπότερον βούλει ἑλέσθαι. εἰπὼν ὁ Ξενοφῶν, ὅτι νεώτερός ἐστιν, αἱρεῖται πορεύεσθαι, κελεύει δὲ οἱ συμπέμψαι ἀπὸ τοῦ στόματος ἄνδρας· μακρὸν γὰρ ἦν ἀπὸ τῆς οὐρᾶς λα-
43 βεῖν. καὶ ὁ Χειρίσοφος συμπέμπει τοὺς ἀπὸ τοῦ ξόματος πελταστάς· ἔλαβε δὲ τοὺς κατὰ μέσον τοῦ πλαισίου. συνέπεσθαι δ' ἐκέλευσεν αὐτῷ καὶ τοὺς τριακοσίους, οὓς αὐτὸς εἶχε τῶν ἐπιλέκτων ἐπὶ τῷ στόματι
44 τοῦ πλαισίου. ἐντεῦθεν ἐπορεύοντο ὡς ἐδύναντο τάχιστα· οἱ δ' ἐπὶ τοῦ λόφου πολέμιοι, ὡς ἐνόησαν αὐτῶν τὴν πορείαν ἐπὶ τὸ ἄκρον, εὐθὺς καὶ αὐτοὶ ὥρμησαν
45 ἀμιλλᾶσθαι ἐπὶ τὸ ἄκρον. καὶ ἐνταῦθα πολλὴ μὲν κραυγὴ ἦν τοῦ Ἑλληνικοῦ στρατεύματος διακελευομένων τοῖς ἑαυτῶν, πολλὴ δὲ κραυγὴ τῶν ἀμφὶ Τισσα-
46 φέρνην τοῖς ἑαυτῶν διακελευομένων. Ξενοφῶν δὲ παρελαύνων ἐπὶ τοῦ ἵππου παρεκελεύετο, Ἄνδρες, νῦν ἐπὶ τὴν Ἑλλάδα νομίζετε ἀμιλλᾶσθαι, νῦν πρὸς τοὺς παῖδας καὶ τὰς γυναῖκας, νῦν, ὀλίγον ποιήσαντες, ἀμα-
47 χεὶ τὴν λοιπὴν πορευσόμεθα. Σωτηρίδας δὲ ὁ Σικυώ-

= ἔχω χρείαν τινός, ἑπομένως ἀπαιτῶ, ἐπιθυμῶ, ὅτε συντάσσεται μετ' ἀπαρεμφάτου.

§. 42. Ἀλλὰ δίδωμι]=ναί· ἀλλὰ σοὶ ἐπιτρέπω. Ἴδε Α'. ζ'. 6. Ἀλλ' ἔξι μὲν ἡμῖν. — Δὲ οἱ] Α'. ά. 7. δοθῆναι οἱ. — Μακρὸν γὰρ ἦν ἀπὸ τῆς οὐρᾶς λαβεῖν] πολὺς θὰ παρήρχετο χρόνος, ἂν ἀπειφάσιζε νὰ λάβῃ ἀπὸ τῆς οὐρᾶς. Οὕτω καὶ Καθ' Ἓν ἕκαστον μακρὸν ἂν εἴη γράφειν. Ξενοφ. Ἀγησιλ. Ζ'. 1.

§. 43. Συμπέμπει τοὺς ἀπὸ τοῦ στόματος]=συμπέμπει αὐτῷ ἀπὸ τοῦ στόματος τοὺς ἐν αὐτῷ ὄντας πελταστάς. Ἴδε Α'. β'. 18. οἱ ἐκ τῆς ἀγορᾶς . . ἔφυγον. — Ἐπιλέκτων] = ἐκλεκτῶν. Ὁ Χειρίσοφος ἐμιμεῖτο, φαίνεται, τοὺς βασιλεῖς τῶν Λακεδαιμονίων, οἵτινες περιεστοιχοῦντο ὑπὸ σωματοφυλακῆς. Ἴδε Θουκιδίδ. Ε'. 72.

§. 44. Ὥρμησαν ἀμιλλᾶσθαι ἐπὶ τὸ ἄκρον]=ὥρμησαν ἀμιλλώμενοι νὰ φθάσωσι πρῶτοι εἰς τὴν κορυφήν. Α'. β'. 24. τὴν πόλιν ἐξέλιπον εἰς χωρίον.

§. 45. Διακελευομένων] ἀπὸ τοῦ πρώτου μέχρι τοῦ τελευταίου διδόντων τὰ προστάγματα.

§. 46. Παρελαύνων] ἔφιππος διερχόμενος παραλλήλως τῷ στρατῷ.

§. 47. Οὐκ ἐξ ἴσου ἐσμὲν] δὲν εἴμεθα ἴσοι, δὲν ὑφιστάμεθα τοὺς

νιος εἶπεν, Οὐκ ἐξ ἴσου, ὦ Ξενοφῶν, ἐσμέν· σὺ μὲν γὰρ ἐφ' ἵππου ὀχεῖ, ἐγὼ δὲ χαλεπῶς κάμνω τὴν ἀσπίδα φέρων. καὶ ὅς, ἀκούσας ταῦτα, καταπηδήσας ἀπὸ τοῦ 48
ἵππου, ὠθεῖται αὐτὸν ἐκ τῆς τάξεως καὶ τὴν ἀσπίδα ἀφελόμενος ὡς ἐδύνατο τάχιστα ἔχων ἐπορεύετο· ἐτύγχανε δὲ καὶ θώρακα ἔχων τὸν ἱππικόν· ὥστε ἐπιέζετο. καὶ τοῖς μὲν ἔμπροσθεν ὑπάγειν παρεκελεύετο, τοῖς δὲ ὄπισθεν παριέναι, μόλις ἑπομένοις. οἱ δ' ἄλλοι 49
στρατιῶται παίουσι καὶ βάλλουσι καὶ λοιδοροῦσι τὸν Σωτηρίδαν, ἕως ἠνάγκασαν, λαβόντα τὴν ἀσπίδα, πορεύεσθαι. ὁ δὲ ἀναβάς, ἕως μὲν βάσιμα ἦν ἐπὶ τοῦ ἵππου ἦγεν, ἐπεὶ δὲ ἄβατα ἦν, καταλιπὼν τὸν ἵππον ἕσπευδε πεζῇ. καὶ φθάνουσιν ἐπὶ τῷ ἄκρῳ γενόμενοι τοὺς πολεμίους.

ε'. Ἔνθα δὴ οἱ μὲν βάρβαροι, στραφέντες, ἔφευ- 1
γον, ᾗ ἕκαστος ἐδύνατο, οἱ δ' Ἕλληνες εἶχον τὸ ἄκρον. οἱ δὲ ἀμφὶ Τισσαφέρνην καὶ Ἀριαῖον, ἀποτραπόμενοι, ἄλλην ὁδὸν ᾤχοντο. οἱ δὲ ἀμφὶ Χειρίσοφον, καταβάντες εἰς τὸ πεδίον, ἐσρατοπεδεύσαντο ἐν κώμῃ μεστῇ πολλῶν ἀγαθῶν. ἦσαν δὲ καὶ ἄλλαι κῶμαι πολλαὶ πλήρεις πολλῶν ἀγαθῶν ἐν τούτῳ τῷ πεδίῳ παρὰ τὸν Τίγρητα ποταμόν. ἡνίκα δ' ἦν δείλη, ἐξαπίνης οἱ 2
πολέμιοι ἐπιφαίνονται ἐν τῷ πεδίῳ, καὶ τῶν Ἑλλήνων κατέκοψάν τινας τῶν ἐσκεδασμένων ἐν τῷ πεδίῳ καθ'

αὐτοὺς πόνους ἢ μόχθους.—Ὀχεῖ] ἴδε Γ'. β'. 19. ὀχήματος. — Ἐπὶ τὴν Ἑλλάδα ἀμιλλᾶσθαι]= ἀμιλλᾶσθε νὰ φθάσητε εἰς τὴν Ἑλλάδα. Ἴδε Γ'. β'. 26.—Χαλεπῶς κάμνω φέρων]=κάμνω φέρων χαλεπῶς= ἀπηύδησα φέρων μετὰ κόπου τὴν ἀσπίδα.

§. 48. Καὶ ὃς] καὶ οὗτος. Ἀσ. 140. 19.—Ὑπάγειν] βραδύτερον νὰ πορεύωνται. Κυρίως νὰ ἄγωσιν (οἱ λοχαγοὶ) τὸν στρατὸν ὀλίγον βραδέως. Ἀσ. 639. 200 β'. — Παριέναι] νὰ προσέρχωνται, νὰ πλησιάζωσι. — Μόλις ἑπομένοις] διότι μόλις παρηκολούθουν, δηλαδὴ εἶχον μείνει ὀπίσω.

§. 49. Ὁ δὲ ἀναβὰς] ἐκεῖνος δὲ (ὁ Ξενοφῶν) ἀναβὰς ἐπὶ τοῦ ἵππου. — Καὶ φθάνουσι ἐπὶ τῷ ἄκρῳ] καὶ ἐπροφθασαν ν' ἀναβῶσι πρῶτοι εἰς τὴν κορυφήν, προκατέλαβον τὴν κορυφήν. Ἴδε Α'. γ'. 14.

Κεφ. ε'. §. 1. Ἡ ἕκαστος ἐδύνατο]ὡς ἕκαστος ἠδύνατο — Οἱ ἀμφὶ Τισσαφέρνην καὶ Ἀριαῖον] = ὁ Τισσαφέρνης καὶ Ἀριαῖος Α'. ή. 1. τῶν ἀμφὶ Κῦρον πιστῶν.

§. 2. Καθ' ἁρπαγὴν] ἐν καιρῷ

ἁρπαγήν· καὶ γὰρ νομαὶ πολλαὶ βοσκημάτων διαβιβαζόμεναι εἰς τὸ πέραν τοῦ ποταμοῦ κατελήφθησαν. 3 ἐνταῦθα, [Χειρισόφῳ βοηθήσαντος ἐπὶ τοὺς βλάπτοντας τοὺς ἐσκεδασμένους,] Τισσαφέρνης καὶ οἱ σὺν αὐτῷ κάειν ἐπεχείρησαν τὰς κώμας. καὶ τῶν Ἑλλήνων μάλα ἠθύμησάν τινες, ἐννοούμενοι μὴ τὰ ἐπιτήδεια, εἰ κάοιεν, οὐκ 4 ἔχοιεν, ὁπόθεν λαμβάνοιεν. καὶ οἱ μὲν ἀμφὶ Χειρίσοφον ἀπῆσαν ἐκ τῆς βοηθείας· ὁ δὲ Ξενοφῶν, ἐπεὶ κατέβη, παρελαύνων τὰς τάξεις, ἡνίκα ἀπὸ τῆς βοη- 5 θείας ἀπήντησαν οἱ Ἕλληνες, ἔλεγεν, Ὁρᾶτε, ὦ ἄνδρες Ἕλληνες, ὑφιέντας τὴν χώραν ἤδη ἡμετέραν εἶναι; ἃ γάρ, ὅτε ἐσπένδοντο, διεπράττοντο, μὴ κάειν τὴν βασιλέως χώραν, νῦν αὐτοὶ κάουσιν ὡς ἀλλοτρίαν. ἀλλ' ἐάν που καταλίπωσί γε αὐτοῖς τὰ ἐπιτήδεια, ὄψονται καὶ 6 ἡμᾶς ἐνταῦθα πορευομένους. ἀλλ', ὦ Χειρίσοφε, ἔφη, δοκεῖ μοι βοηθεῖν ἐπὶ τοὺς κάοντας ὡς ὑπὲρ τῆς ἡμετέρας. ὁ δὲ Χειρίσοφος εἶπεν, Οὔκουν ἔμοιγε δοκεῖ· ἀλλὰ καὶ ἡμεῖς, ἔφη, κάωμεν, καὶ οὕτω θᾶττον παύσονται. 7 Ἐπὶ δὲ ἐπὶ τὰς σκηνὰς ἀπῆλθον, οἱ μὲν ἄλλοι

τῆς ἁρπαγῆς, καθ' ὃν χρόνον ἐπεδόθησαν εἰς τὴν ἁρπαγήν. Ἀσ. 608. 93.

§. 3. Ἐννοούμενοι μὴ . . οὐκ ἔχοιεν] φοβούμενοι μὴ δὲν ἤθελον ἔχει. Οὕτω καὶ ἡμεῖς λέγομεν, Νοιάζεσαι μὴ δὲν θὰ ἔχῃς νὰ τρώγῃς; Ἴδε καὶ Δ'. β'. 13. ἀλλὰ καὶ Γ'. ά. 13. ἔννοια αὐτῷ ἐμπίπτει. — Χειρισόφου βοηθήσαντος ἐπὶ τοὺς βλάπτοντας τοὺς ἐσκεδασμένους] σπεύσαντος κατὰ τῶν βλαπτόντων τοὺς ἐσκεδασμένους. Τὰς λέξεις ταύτας προσέθηκα χάριν τῶν σπουδαζῶν, ἀναπληρῶν χάσμα δυσερμήνευτον αὐτοῖς.

§. 4. Ἀπήντησαν] Β'. δ'. 25.

§. 5. Τφιέντας τὴν χώραν . . ἡμετέραν εἶναι] ἀφίνοντας τὴν χώραν νὰ περιέλθῃ εἰς τὴν ἡμετέραν κατοχήν. Κυρίως ὑφίημι =ἀφίνω ἐν ἀγνοίᾳ μου, χωρὶς νὰ τὸ καταλαμβάνω. — Διεπράττοντο] διεπραγματεύοντο. Τὸ πλῆρες εἶναι διαπράττομαι πρός τινα περί τινος. Ἴδε Ζ'. δ'. 12. — Ὡς ἀλλοτρίαν] οὖσαν=ὡς ἂν ἦτο ἀλλοτρία. Α'. β'. 1. ὡς Πισίδας βουλόμενος. — Ἀλλά . . γε] Ἀλλ' ὅμως· ἐννοπολανθάνει δὲ ἡ σημασία, ἃς εἶναι ὅμως βέβαιοι ὅτι Α'. Θ'. 18. Ἀλλὰ μήν — Ἐνταῦθα] αὐτόσε. Ἀσ. 539. 13 καὶ 24.

§. 6 Βοηθεῖν ἐπὶ τοὺς κάοντας ὡς ὑπὲρ τῆς ἡμετέρας] = νὰ σπεύσωμεν κατὰ τῶν καιόντων κινδυνεύοντες ὑπὲρ τῆς χώρας, ὡς ἂν ἦτο ἡμετέρα. Βραχυλογία. — Οὔκουν] Α'. ς'. 7.

§. 7. Περὶ τὰ ἐπιτήδεια ἦσαν]

περὶ τὰ ἐπιτήδεια ἦσαν, στρατηγοὶ δὲ καὶ λοχαγοὶ συνῆλθον. καὶ ἐνταῦθα πολλὴ ἀπορία ἦν· ἔνθεν μὲν γὰρ ὄρη ἦν ὑπερύψηλα, ἔνθεν δὲ ὁ ποταμὸς τοσοῦτος τὸ βάθος, ὡς μηδὲ τὰ δόρατα ὑπερέχειν, πειρωμένοις τοῦ βάθους. ἀπορουμένοις δ' αὐτοῖς προσελθών τις 8 ἀνὴρ Ῥόδιος εἶπεν, Ἐγὼ θέλω, ὦ ἄνδρες διαβιβάσαι ὑμᾶς κατὰ τετρακισχιλίους ὁπλίτας, ἂν ἐμοί, ὧν δέομαι, ὑπηρετήσητε καὶ τάλαντον μισθὸν πορίσητε. ἐρωτώ- 9 μενος δέ, ὅτου δέοιτο, Ἀσκῶν, ἔφη, δισχιλίων δεήσομαι· πολλὰ δ' ὁρῶ πρόβατα καὶ αἶγας καὶ βοῦς καὶ ὄνους, ἃ ἀποδαρέντα καὶ φυσηθέντα ῥᾳδίως ἂν παρέχοι τὴν διάβασιν. δεήσομαι δὲ καὶ τῶν δεσμῶν, οἷς 10 χρῆσθε περὶ τὰ ὑποζύγια· τούτοις ζεύξας τοὺς ἀσκοὺς πρὸς ἀλλήλους, ὁρμίσας ἕκαστον ἀσκὸν λίθους ἀρτήσας καὶ ἀφεὶς ὥσπερ ἀγκύρας εἰς τὸ ὕδωρ, διαγαγὼν καὶ ἀμφοτέρωθεν δήσας, ἐπιβαλῶ ὕλην καὶ γῆν ἐπιφορήσω. ὅτι μὲν οὖν οὐ καταδύσεσθε, αὐτίκα μάλα 11 εἴσεσθε· πᾶς γὰρ ἀσκὸς δύο ἄνδρας ἕξει τὸ μὴ καταδῦναι· ὥστε δὲ μὴ ὀλισθάνειν ἡ ὕλη καὶ ἡ γῆ σχήσει. ἀκούσασι ταῦτα τοῖς στρατηγοῖς τὸ μὲν ἐνθύμημα 12

ἠσχολοῦντο εἰς τὴν προμήθειαν τῶν τροφίμων. Γ' Σ. Α'. — Πειρωμένοις τοῦ βάθους] ὅτε ἐδοκίμαζον τὸ βάθος, δηλαδὴ [πόσον εἶναι βαθύς. Δοτικὴ ἀπόλυτος. Ἀσ. 477. 85.

§. 8. Θέλω . . διαβιβάσαι] ἔχω ἐπιθυμίαν να σᾶς διαβιβάσω. Ὀλίγον ὅμως ἢ οὐδὲν διαφέρει τοῦ παρ' ἡμῶν θέλω διαβιβάσει, ὅπερ καὶ παραμυθίαν τινὰ ἐνέχει = θαῤῥεῖτε καὶ ἐγὼ δύναμαι νὰ σᾶς διαβιβάσω. Ἴδε ὅμως καὶ Ἀσ. 506. 56. — Ἂν ὑπηρετήσητε] ἂν ὑκακούοντες εἰς ἐμὲ ἐπιτελέσητε. — Τῶν δεσμῶν] τῶν σχοινίων, δι' ὧν δένουσι τὰ φορτία.

§. 10. Ὁρμίσας] στερεώσας. Λέγεται κυρίως ἐπὶ πλοίων, ἅτινα κρατοῦμεν ἐπ' ἀγκύρας στερεὰ ἐν ὅρμοις, ἤτοι τόποις καταλλήλοις εἰς ἀγκυροβόλησιν — Λίθους ἀρτήσας καὶ ἀφεὶς ὥσπερ ἀγκύρας] διὰ τῆς ἐξαρτήσεως καὶ καταβυθίσεως δίκην ἀγκύρας. Τροπικαὶ αἱ μεταχαὶ προσδιορίζουσαι τὸ ὁρμίσας. — Ἀμφοτέρωθεν] ἐξ ἀμφοτέρων τῶν ὀχθῶν τοῦ ποταμοῦ.

§. 11. Δύο ἄνδρας ἕξει τὸ μὴ καταδῦναι] πρέπει νὰ φέρῃ δύο ἄνδρας, ἵνα μὴ καταβυθισθῇ. Ἴδε Ἀσ. 503 44 Περὶ δὲ τῆς αἰτιατικῆς, τὸ μὴ καταδῦναι, μὲ σημασίαν τελικὴν ἴδε Ἀσ. 738. 25. — Σχήσει] Θ' ἀντέχῃ.

§ 12. Ἐνθύμημα] ἡ ἐπινόησις. — Ἔνθεν ἐξῆσαν] = ἐκείνας, ἀφ'

χαρίεν ἐδόκει εἶναι, τὸ δ' ἔργον ἀδύνατον· ἦσαν γὰρ
οἱ κωλύσοντες πέραν πολλοὶ ἱππεῖς, οἳ εὐθὺς τοῖς
13 πρώτοις οὐδὲν ἂν ἐπέτρεπον τούτων ποιοῖν. ἐνταῦθα
τὴν μὲν ὑστεραίαν ἐπανεχώρουν εἰς τοὔμπαλιν πρὸς
Βαβυλῶνα εἰς τὰς ἀκαύστους κώμας, κατακαύσαντες,
ἔνθεν ἐξῆσαν· ὥστε οἱ πολέμιοι οὐ προσήλαυνον,
ἀλλὰ ἐθεῶντο καὶ ὅμοιοι ἦσαν θαυμάζειν, ὅποι ποτὲ
14 τρέψονται οἱ Ἕλληνες καὶ τί ἐν νῷ ἔχοιεν. ἐνταῦθα
οἱ μὲν ἄλλοι στρατιῶται ἀμφὶ τὰ ἐπιτήδεια ἦσαν· οἱ
δὲ στρατηγοὶ καὶ οἱ λοχαγοὶ πάλιν συνῆλθον, καὶ
συναγαγόντες τοὺς ἁλωκότας ἤλεγχον τὴν κύκλῳ
15 πᾶσαν χώραν, τίς ἑκάστη εἴη. οἱ δ' ἔλεγον, ὅτι τὰ μὲν
πρὸς μεσημβρίαν τῆς ἐπὶ Βαβυλῶνα εἴη καὶ Μηδίαν,
δι' ἧσπερ ἥκοιεν, ἡ δὲ πρὸς ἕω ἐπὶ Σοῦσά τε καὶ Ἐκ-
βάτανα φέροι, ἔνθα θερίζειν καὶ ἁρίζειν λέγεται βα-
σιλεύς, ἡ δὲ διαβάντι τὸν ποταμὸν πρὸς ἑσπέραν ἐπὶ
Λυδίαν καὶ Ἰωνίαν φέροι, ἡ δὲ διὰ τῶν ὀρέων καὶ πρὸς
16 ἄρκτον τετραμμένη ὅτι εἰς Καρδούχους ἄγοι. τούτους
δὲ ἔφασαν οἰκεῖν ἀνὰ τὰ ὄρη καὶ πολεμικοὺς εἶναι, καὶ
βασιλέως οὐκ ἀκούειν, ἀλλὰ καὶ ἐμβαλεῖν ποτε εἰς
αὐτοὺς βασιλικὴν στρατιὰν δώδεκα μυριάδας· τούτων
δ' οὐδένα ἀπονοστῆσαι διὰ τὴν δυσχωρίαν. ὁπότε

ὧν ἐξῆλθον. Α'. γ'. 7. μὴ ἡμᾶς ἀγάγῃ, ὅθεν.

§. 14. Ἐνταῦθα] τότε. Α. ἡ. 19. — Ἀμφὶ τὰ ἐπιτήδεια ἦσαν] ἴδε ἀνωτέρω, §. 7. — Ἤλεγχον] προσεπάθουν νὰ ἐξελέγξωσι. Ἀσ. 496. 17 περὶ τὸ τέλος. Τὸ δὲ ὅλον = προσεπάθουν νὰ ἐξακριβώσωσιν ὁποία τις ἦτο ἁπασῶν τῶν κύκλῳ χωρῶν ἑκάστη. Πρόληψις. Β'. γ'. 11. ἦν καταμαθεῖν Κλέαρχον ὡς ἐπεστάτει.

§. 15 Τῆς ἐπὶ Βαβυλῶνα] = τῆς ὁδοῦ τῆς φερούσης εἰς Βαβυλῶνα. — Θερίζειν καὶ ἁρίζειν] διέρχεται τὸ ἔαρ καὶ τὸ θέρος. Διηγεῖται δ' ὁ Ξενοφῶν ἐν Κύρου Παιδείᾳ Ζ'. ς'. 22. ὅτι ὁ βασιλεὺς ἑπτὰ μὲν μῆνας διήγετο ἐν Βαβυλῶνι, θερμῇ οὔσῃ, τοῦ δ' ἔαρος τρεῖς μῆνας ἐν Σούσοις, δύο δὲ μῆνας τοῦ θέρους ἐν Ἐκβατάνοις.

§. 16. Πολεμικοὺς] Β'. β'. 1. — Οὐκ ἀκούειν]= οὐκ ὑπακούειν βασιλεῖ Οὕτω καὶ ἐν Β'. ς'. 11.—Ὁπότε . . σπείσαιντο], ὁσάκις ἐσυνθηκολόγουν. Ἴδε Γ. Σ. Γ.—Καὶ ἐπιμυγνύναι] = ἔφασαν ἐπιμιγνύναι καὶ σφῶν τινας πρὸς ἐκείνους καὶ ἐκείνων τινὰς πρὸς ἑαυτούς. Αἱ γενικαὶ σ φ ῶ ν καὶ ἐ κ ε ί ν ω ν εἶναι διαιρετικαὶ τῆς οἰκοθεν ἐννοουμένης τ ι ν ά ς· ἐξ

μέντοι πρὸς τὸν σατράπην τὸν ἐν τῷ πεδίῳ σπείσαιντο,
καὶ ἐπιμιγνύναι σφῶν τε πρὸς ἐκείνους καὶ ἐκεί-
νων πρὸς ἑαυτούς. ἀκούσαντες ταῦτα οἱ στρατηγοί, 17
ἐκάθισαν χωρὶς τοὺς ἑκασταχόσε φάσκοντας εἰδέναι,
οὐδὲν δῆλον ποιήσαντες, ὅποι πορεύεσθαι ἔμελλον·
ἐδόκει δὲ τοῖς στρατηγοῖς ἀναγκαῖον εἶναι διὰ τῶν
ὀρέων εἰς Καρδούχους ἐμβάλλειν· τούτους γὰρ διελ-
θόντας, ἔφασαν εἰς Ἀρμενίαν ἥξειν, ἧς Ὀρόντας ἦρχε
πολλῆς καὶ εὐδαίμονος. ἐντεῦθεν δ' εὔπορον ἔφασαν
εἶναι, ὅποι τις ἐθέλοι πορεύεσθαι. ἐπὶ τούτοις ἐθύ- 18
σαντο, ὅπως, ἡνίκα καὶ δοκοίη τῆς ὥρας, τὴν πορείαν
ποιοῖντο· τὴν γὰρ ὑπερβολὴν τῶν ὀρέων ἐδεδοίκεσαν,
μὴ προκαταληφθείη· καὶ παρήγγειλαν, ἐπειδὴ δει-
πνήσειαν, συσκευασαμένους πάντας, ἀναπαύεσθαι
καὶ ἕπεσθαι, ἡνίκ' ἄν τις παραγγέλλῃ.

οὐ δῆλον ὅτι τινές, ἀλλ' οὐχὶ πάντες χάριν ἐμπορίου ἤ τινος ἄλλου τοιούτου ἐπεμίγνυντο ἀλλήλοις.

§. 17. Ἐκάθισαν χωρὶς] ἔβαλαν νὰ καθίσωσι χωριστά, ὡς λέγει ἡ κοινή.— Τοὺς ἑκασταχόσε φάσκοντας εἰδέναι] τοὺς λέγοντας ὅτι γινώσκουσιν ὁδοὺς φερούσας εἰς ἑκάστην τῶν μνημοσιευθεισῶν ἐν §. 15. χωρῶν.

§. 18. Ἐπὶ τούτοις ἐθύσαντο] προσέφερον θυσίας, ἵνα βεβαιωθῶσιν ὅτι ταῦτα καλά εἰσιν. Ἴδε Β'. β'. 3.—Ὁπηνίκα καὶ δοκοίη τῆς ὥρας] καὶ ὁποίαν ὥραν (τοῦ ἡμερονυκτίου) φανῇ καλόν. Τὸ δὲ ὅλον = θέλοντες νὰ βεβαιωθῶσιν, ἂν ταῦτα ἦσαν καλά, προσήνεγκαν θυσίας, ἵνα (οὐ μόνον εἰσβάλωσιν εἰς Καρδούχους, ἀλλὰ) καὶ καθ' ἣν ὥραν ἤθελε τοῖς φανῇ καλὸν ἐπιχειρήσωσι τὴν πορείαν. Ἀσ. 664. 17.

ΒΙΒΛΙΟΝ ΤΕΤΑΡΤΟΝ.

1 Ὅσα μὲν δὴ ἐν τῇ ἀναβάσει ἐγένετο μέχρι τῆς μάχης, καὶ ὅσα μετὰ τὴν μάχην ἐν ταῖς σπονδαῖς, ἃς βασιλεὺς καὶ οἱ σὺν Κύρῳ ἀναβάντες Ἕλληνες ἐποιήσαντο, καὶ ὅσα, παραβάντος τὰς σπονδὰς βασιλέως καὶ Τισσαφέρνους, ἐπολεμήθη πρὸς τοὺς Ἕλληνας, ἐπακολουθοῦντος τοῦ Περσικοῦ στρατεύματος, ἐν τῷ πρόσθεν λόγῳ
2 δεδήλωται. ἐπεὶ δὲ ἀφίκοντο, ἔνθα ὁ μὲν Τίγρης ποταμὸς παντάπασιν ἄπορος ἦν διὰ τὸ βάθος καὶ μέγεθος, πάροδος δὲ οὐκ ἦν, ἀλλὰ τὰ Καρδούχεια ὄρη ἀπότομα ὑπὲρ αὐτοῦ τοῦ ποταμοῦ ἐκρέματο, ἐδόκει δὴ
3 τοῖς στρατηγοῖς διὰ τῶν ὀρέων πορευτέον εἶναι. ἤκουον γὰρ τῶν ἁλισκομένων ὅτι, εἰ διέλθοιεν τὰ Καρδούχεια ὄρη, ἐν τῇ Ἀρμενίᾳ τὰς πηγὰς τοῦ Τίγρητος ποταμοῦ, ἣν μὲν βούλωνται, διαβήσονται, ἣν δὲ μὴ βούλωνται, περιάσι. καὶ τοῦ Εὐφράτου δὲ τὰς πηγὰς ἐλέγετο οὐ πρόσω τοῦ Τίγρητος εἶναι, καὶ ἔστιν οὕτως ἔχον.
4 τὴν δ' εἰς τοὺς Καρδούχους ἐμβολὴν ὧδε ποιοῦνται,

§. 1. Ἐν ταῖς σπονδαῖς] ἐν καιρῷ τῶν σπονδῶν. — Ὅσα ἐπολεμήθη πρὸς τοὺς Ἕλληνας] ὅσοι πόλεμοι ἐγένοντο κατὰ τῶν Ἑλλήνων. — Ἐν τῷ πρόσθεν λόγῳ] ἐν τῷ προηγουμένῳ βιβλίῳ.

§ 2. Πάροδος] ὁδὸς παρὰ τὸν ποταμόν, ἢ παραλλήλως τῷ ποταμῷ φέρουσα. — Ἐδόκει δὴ πορευτέον εἶναι] ἐνόμισαν ἤδη ὅτι ἀναγκαῖον εἶναι διὰ τῶν ὀρέων νὰ πορευθῶσιν. Γ. ἑ. 17.

§ 3. Ἤκουον τῶν ἁλισκομένων] Α. ἡ. 13. Ἁλισκόμενοι δὲ = αἰχμάλωτοι. — Διαβήσονται] δύνανται νὰ διαβῶσιν. Ἀσ. 503. 44. — Περιάσι] δύνανται νὰ περικάμψωσι τὰς πηγάς. — Τὰς πηγὰς] περὶ μὲν τῶν πηγῶν τοῦ Τίγρητος ἴδε Δ. δ'. 3. περὶ δὲ τῶν τοῦ Εὐφράτου Δ. ἑ. 2.

§ 4. Τὴν .. ἐμβολὴν ὧδε ποιοῦνται] ἐμβάλλουσιν ἢ εἰσβάλλουσιν ὧδε = ἐνταῦθα ἢ ἐντεῦθεν. Ἀσ. 536. 7. — Ἅμα μὲν .. ἅμα δὲ] ἀφ' ἑνὸς μὲν .. ἀφ' ἑτέρου δέ.

ἅμα μὲν λαθεῖν πειρώμενοι, ἅμα δὲ φθάσαι πρὶν τοὺς πολεμίους καταλαβεῖν τὰ ἄκρα. ἡνίκα δ' ἦν ἀμφὶ τὴν 5 τελευταίαν φυλακὴν καὶ ἐλείπετο τῆς νυκτὸς ὅσον σκοταίους διελθεῖν τὸ πεδίον, τηνικαῦτα, ἀναστάντες ἀπὸ παραγγέλσεως, πορευόμενοι ἀφικνοῦνται ἅμα τῇ ἡμέρᾳ πρὸς τὸ ὄρος. ἔνθα δὴ Χειρίσοφος μὲν ἡγεῖτο 6 τοῦ στρατεύματος λαβὼν τὸ ἀμφ' αὑτὸν καὶ τοὺς γυμνῆτας πάντας, Ξενοφῶν δὲ σὺν τοῖς ὀπισθοφύλαξιν ὁπλίταις εἵπετο οὐδένα ἔχων γυμνῆτα· οὐδεὶς γὰρ κίνδυνος ἐδόκει εἶναι μή τις, ἄνω πορευομένων, ἐκ τοῦ ὄπισθεν ἐπίσποιτο. καὶ ἐπὶ μὲν τὸ ἄκρον ἀναβαίνει 7 Χειρίσοφος πρίν τινα αἰσθέσθαι τῶν πολεμίων· ἔπειτα δ' ὑφηγεῖτο· ἐφείπετο δὲ ἀεὶ τὸ ὑπερβάλλον τοῦ στρατεύματος εἰς τὰς κώμας τὰς ἐν τοῖς ἄγκεσί τε καὶ μυχοῖς τῶν ὀρέων. ἔνθα δὴ οἱ μὲν Καρδοῦχοι, ἐκλι- 8 πόντες τὰς οἰκίας, ἔχοντες καὶ γυναῖκας καὶ παῖδας ἔφευγον ἐπὶ τὰ ὄρη. τὰ δὲ ἐπιτήδεια πολλὰ ἦν λαμβάνειν· ἦσαν δὲ καὶ χαλκώμασι παμπόλλοις κατεσκευασμέναι αἱ οἰκίαι, ὧν οὐδὲν ἔφερον οἱ Ἕλληνες, οὐδὲ τοὺς ἀνθρώπους ἐδίωκον, ὑποφειδόμενοι, εἴ πως

§. 5. Ἀμφὶ τὴν τελευταίαν φυλακήν] οἱ Ἕλληνες διῄρουν τὴν νύκτα εἰς τρία, οἱ δὲ Ῥωμαῖοι εἰς τέσσαρα μέρη· ἕκαζον δὲ τούτων ἐλέγετο φυλακή. Ὧξε τὸ ἀμφὶ τὴν τελευταίαν φυλακήν, ἐπειδὴ ἦτο χειμών, = περὶ τὴν τρίτην τοῦ μεσονυκτίου. — Ἡνίκα] Α. ἡ. 8. — Ὅσον διελθεῖν] = ὅσον ἤρκει νὰ διέλθωσιν. Οὕτω καὶ Δ. ἡ. 12, Ζ. γ. 22. — Ἀπὸ παραγγέλσεως] Α. ἡ. 16. τὸ σύνθημα παρέρχεται.

§. 7. Ἔπειτα δὲ ὑφηγεῖτο κτλ.] = ἔπειτα δὲ ἐκεῖνος μὲν ὑφηγεῖτο, ὡδήγει εἰς τὰς κώμας, ἐφείπετο δὲ τὸ ἀεὶ ὑπερβάλλον = ἐκεῖνο τὸ μέρος τοῦ στρατοῦ, τὸ ὁποῖον ἑκάστοτε ἐπέρα τὸ ὄρος. — Ἀεὶ τὸ ὑπερβάλλον] = τὸ ἀεὶ ὑπερβάλλον. Ἴδε καὶ Κ. Π. Α'. δ'. 3, Β'. γ'. 2. — Ἄγκεσι] εἰς τὰς γωνιώδεις καμπάς.

§. 8. Ἔνθα δὴ] Γ. γ'. 4. — Ἔχοντες καὶ γυναῖκας] Α'. ά. 2. — Τὰ δ' ἐπιτήδεια κτλ.] = ἠδύναντο δὲ πολλὰ τρόφιμα νὰ λαμβάνωσι Γ. Σ. Α'. — Χαλκώμασι] μὲ χάλκινα σκεύη, μὲ πολλὰ μπακίρια, ὡς λέγει ἡ κοινή. Ταῦτα δὲ ἐχρησίμευον καὶ τοῖς ἀρχαίοις καὶ τοῖς ἀρχαϊκωτέροις ἡμῶν κόσμος. — Κατεσκευασμέναι] συγυρισμέναι, ὡς λέγει ἡ κοινή, ἐννο-

ἐθελήσειαν οἱ Καρδοῦχοι διέναι αὐτοὺς ὡς διὰ φιλίας
9 τῆς χώρας, ἐπείπερ βασιλεῖ πολέμιοι ἦσαν. τὰ μέντοι
ἐπιτήδεια, ὅτῳ τις ἐπιτυγχάνοι, ἐλάμβανον· ἀνάγκη
γὰρ ἦν. οἱ δὲ Καρδοῦχοι οὔτε καλούντων ὑπήκουον
10 οὔτε ἄλλο φιλικὸν οὐδὲν ἐποίουν. ἐπεὶ δὲ οἱ τελευ-
ταῖοι τῶν Ἑλλήνων κατέβαινον εἰς τὰς κώμας ἀπὸ τοῦ
ἄκρου ἤδη σκοταῖοι — διὰ γὰρ τὸ ξενὴν εἶναι τὴν ὁδὸν
ὅλην τὴν ἡμέραν ἡ ἀνάβασις αὐτοῖς ἐγένετο καὶ κατά-
βασις εἰς τὰς κώμας — τότε δή, συλλεγέντες τινὲς τῶν
Καρδούχων, τοῖς τελευταίοις ἐπέθεντο· καὶ ἀπέκτει-
ναν τινας καὶ λίθοις καὶ τοξεύμασι κατέτρωσαν, ὀλί-
γοι ὄντες· ἐξ ἀπροσδοκήτου γὰρ αὐτοῖς ἐπέπεσε τὸ
11 Ἑλληνικόν. εἰ μέντοι τότε πλείους συνελέγησαν,
ἐκινδύνευσεν ἂν διαφθαρῆναι πολὺ τοῦ ξρατεύμα-
τος· καὶ ταύτην μὲν τὴν νύκτα οὕτως ἐν ταῖς κώμαις
ηὐλίσθησαν· οἱ δὲ Καρδοῦχοι πυρὰ πολλὰ ἔκαον
12 κύκλῳ ἐπὶ τῶν ὀρέων καὶ συνεώρων ἀλλήλους. ἅμα
δὲ τῇ ἡμέρᾳ συνελθοῦσι τοῖς ξρατηγοῖς καὶ λοχαγοῖς
τῶν Ἑλλήνων ἔδοξε τῶν τε ὑποζυγίων τὰ ἀναγκαῖα
καὶ δυνατώτατα ἔχοντας πορεύεσθαι, καταλιπόντας
τἆλλα, καὶ ὅσα ἦν νεωστὶ αἰχμάλωτα ἀνδράποδα ἐν
13 τῇ στρατιᾷ πάντα ἀφεῖναι· σχολαίαν γὰρ ἐποίουν

οὖσα ὅτι οὐ μόνον κεκοσμημέναι ἦσαν, ἀλλὰ καὶ ἄφθονα εἶχον. — Τποφειδόμενοι] ὀλίγον φειδωλοὶ φαινόμενοι ἢ ὀλίγον φειδωλῶς φερόμενοι. — Εἴ πως]μήπως. Ἀλλ' ἐνῶ τὸ μήπως ἰδιάζει εἰς τὰ φόβῳ καὶ ὑποψίας σημαντικά, τὸ εἴπως ἰδιάζει εἰς τὰ ἔχοντα τὴν σημασίαν τοῦ πειρῶμαι = δοκιμάζω, κυττάζω νὰ ἴδω ἢ μάθω. — Διιέναι] διελθεῖν. — Ὡς διὰ φιλίας τῆς χώρας] διὰ τῆς χώρας ὡς φιλίας οὔσης. Ἴδε Α'. δ'. 15. ὡς φίλου τεύξεσθε Κύρου.

§. 9. Οὔτε καλούντων ὑπήκουον] = οὔτε καλοῦσι (τοῖς Ἕλλησιν) ὑπήκουον. Ἴδε Α'. δ'. 12. ἰόντων. — Σκοταῖοι] Β'. β'. 17. — Ὀλίγοι τινες ὄντες] εἰ καὶ ἦσαν μάλα ὀλίγοι. Ἀσ. 124. 97.

§. 11. Ηὐλίσθησαν] Β'. β'. 17. — Συνεώρων ἀλλήλους] καὶ πολὺ καλὰ ἔβλεπον ἀλλήλους, συνεννοοῦντο.

§. 12. Ἔχοντας .. καταλιπόντας] = ἔχουσι . . καταλιποῦσι. Ἀσ. 439. 60.

§. 13. Ἀπόμαχοι] οἱ μὴ μαχόμενοι, οἱ μὴ κατέχοντες τοῦ πολέμ. Ἀσ. 590. 26. Ἴδε καὶ Γ'. β'. 28. — Δόξαν ταῦτα] = ἐπειδὴ ταῦτα ἔδοξε. Αἰτ. ἀπόλυτος. Β'. ἐ. 22.

τὴν πορείαν, πολλὰ ὄντα τὰ ὑποζύγια καὶ τὰ αἰχμάλωτα, πολλοὶ δὲ οἱ ἐπὶ τούτοις ὄντες ἀπόμαχοι ἦσαν, διπλάσιά τε ἐπιτήδεια ἔδει πορίζεσθαι καὶ φέρεσθαι, πολλῶν τῶν ἀνθρώπων ὄντων. δόξαν δὲ ταῦτα, ἐκήρυξαν οὕτω ποιεῖν.

Ἐπεὶ δὲ ἀριστήσαντες ἐπορεύοντο, ὑποστάντες 14
ἐν ξενῷ οἱ ξρατηγοί, εἴ τι εὑρίσκοιεν τῶν εἰρημένων
μὴ ἀφειμένον, ἀφηροῦντο, οἱ δ' ἐπείθοντο, πλὴν εἴ τίς
τι ἔκλεψεν, οἷον ἢ παιδὸς ἐπιθυμήσας ἢ γυναικὸς τῶν
εὐπρεπῶν. καὶ ταύτην μὲν τὴν ἡμέραν οὕτως ἐπο-
ρεύθησαν, τὰ μέν τι μαχόμενοι, τὰ δὲ καὶ ἀναπαυόμε-
νοι. εἰς δὲ τὴν ὑστεραίαν γίγνεται χειμὼν πολύς, 15
ἀναγκαῖον δ' ἦν πορεύεσθαι· οὐ γὰρ ἦν ἱκανὰ τἀ-
πιτήδεια. καὶ ἡγεῖτο μὲν Χειρίσοφος, ὠπισθοφυλά-
κει δὲ Ξενοφῶν. καὶ οἱ πολέμιοι ἰσχυρῶς ἐπετίθεντο 16
καί, ξενῶν ὄντων τῶν χωρίων, ἐγγὺς προσιόντες, ἐτό-
ξευον καὶ ἐσφενδόνων. ὥξε ἠναγκάζοντο οἱ Ἕλληνες
ἐπιδιώκοντες καὶ πάλιν ἀναχάζοντες σχολῇ πορεύε-
σθαι· καὶ θαμινὰ παρήγγελλεν ὁ Ξενοφῶν ὑπο-
μένειν, ὅτε οἱ πολέμιοι ἰσχυρῶς ἐπικέοιντο. ἔνθα 17
ὁ Χειρίσοφος ἄλλοτε μέν, ὅτε παρεγγυῶτο, ὑπέμενε,
τότε δὲ οὐχ ὑπέμενεν, ἀλλ' ἦγε ταχέως καὶ παρηγγύα
ἕπεσθαι. ὥστε δῆλον ἦν, ὅτι πρᾶγμά τι εἴη. σχολὴ δ'
οὐκ ἦν ἰδεῖν παρελθόντι τὸ αἴτιον τῆς σπουδῆς. ὥξε
ἡ πορεία ὁμοία φυγῇ ἐγίγνετο τοῖς ὀπισθοφύλαξι. καὶ 18
ἐνταῦθα ἀποθνήσκει ἀνὴρ ἀγαθὸς Λακωνικὸς Κλεώ-

§. 14. Τποστάντες] ξαματήσαντες (ἵνα ἐρευνήσωσιν, ἂν ἐξετελέσθησαν τὰ δεδογμένα.) Ἐπὶ ἑνέδρας δὲ ἢ ἐπιδρομῆς ἴδε §. 26. — Οἷον ἢ παιδὸς κτλ.] = οἷον ἢ παῖδα ἢ γυναῖκα τῶν εὐπρεπῶν, ἐπιθυμήσας αὐτῶν. Ἔλξις.

§. 15. Εἰς τὴν ὑστεραίαν] τῇ ὑστεραίᾳ. Ἀσ. 602. 71.

§. 16. Ἀναχάζοντες] ἀναχωροῦντες, ἐπιξρέφοντες εἰς τὸ αὐτὸ πάλιν μέρος, ἀφ' οὗ ὥρμων. — Τπομένειν] νὰ τὸν περιμένῃ. Ἴδε κατωτέρω, §. 21.

§. 17. Ἡ πορεία ὁμοία φυγῇ κτλ.] ἡ πορεία τῶν ὀπισθοφυλάκων ὁμοίαζε μὲ φυγήν. Ἡ δοτικὴ τοῖς ὀπισθοφύλαξι εἶναι ἡ παρά τινων κτητικὴ δοτικὴ καλουμένη.

§. 18. Ἀγαθὸς] Β'. ἐ. 19. Σπολαδος] Γ'. γ'. 20. — Διαμπερὲς] πέρα πέρα, λέγει ἡ κοινή. Ἡ λέξις ὁμηρική.

νυμος τοξευθεὶς διὰ τῆς ἀσπίδος καὶ τῆς σπολάδος εἰς
τὰς πλευράς, καὶ Βασίας Ἀρκὰς διαμπερὲς τὴν κε-
19 φαλήν. ἐπεὶ δὲ ἀφίκοντο ἐπὶ ξαθμόν, εὐθύς, ὥσπερ
εἶχεν, ὁ Ξενοφῶν ἐλθὼν πρὸς τὸν Χειρίσοφον ᾐτιᾶτο
αὐτόν, ὅτι οὐχ ὑπέμεινεν, ἀλλ' ἠναγκάζοντο φεύγον-
τες ἅμα μάχεσθαι. καὶ νῦν δύο καλώ τε κἀγαθὼ ἄν-
δρε τέθνατον καὶ οὔτε ἀνελέσθαι οὔτε θάψαι ἐδυ-
20 νάμεθα. ἀποκρίνεται ὁ Χειρίσοφος, Βλέψον, ἔφη,
πρὸς τὰ ὄρη καὶ ἰδὲ ὡς ἄβατα πάντα ἐστί· μία δ'
αὕτη ὁδός, ἣν ὁρᾷς, ὀρθία καὶ ἐπὶ ταύτῃ ἀνθρώπων
ὁρᾶν ἔξεσί σοι ὄχλον τοσοῦτον, οἳ κατειληφότες φυ-
21 λάττουσι τὴν ἔκβασιν. ταῦτ' ἐγὼ ἔσπευδον καὶ διὰ
τοῦτό σε οὐχ ὑπέμενον, εἴ πως δυναίμην φθάσαι
πρὶν κατειλῆφθαι τὴν ὑπερβολήν· οἱ δ' ἡγεμόνες,
22 οὓς ἔχομεν, οὔ φασιν εἶναι ἄλλην ὁδόν. ὁ δὲ Ξενοφῶν
λέγει, Ἀλλ' ἐγὼ ἔχω δύο ἄνδρας· ἐπεὶ γὰρ ἡμῖν πράγ-
ματα παρεῖχον, ἐνηδρεύσαμεν, ὅπερ ἡμᾶς καὶ ἀνα-
πνεῦσαι ἐποίησε, καὶ ἀπεκτείναμέν τινας αὐτῶν, καὶ
ζῶντας προὐθυμήθημεν λαβεῖν αὐτοῦ τούτου ἕνεκα,
ὅπως ἡγεμόσιν εἰδόσι τὴν χώραν χρησαίμεθα.
23 Καὶ εὐθύς, ἀγαγόντες τοὺς ἀνθρώπους, ἤλεγχον,
διαλαβόντες, εἴ τινα εἰδεῖεν ἄλλην ὁδὸν ἢ τὴν φανεράν.

§. 19. Ὥσπερ εἶχεν] ὡς εὑρίσκετο· χωρὶς δηλαδὴ ν' ἀποθέσῃ τὴν πανοπλίαν του κτλ.— Ἠναγκάζοντο] οἱ περὶ τὸν Ξενοφῶντα. — Καλώ τε κἀγαθὼ ἄνδρε] Β'. ς'. 30. Τούτω ἀπεθανέτην. — Οὔτε ἀνελέσθαι οὔτε θάψαι] οὔτε νὰ σηκώσωμεν οὔτε νὰ θάψωμεν. Τοῦτο δὲ ἦτο, ὡς γνωστόν, ἐκ τῶν ἀνοσιωτάτων.

§. 20. Ἐπὶ ταύτῃ] Α'. δ'. 4. ἐπὶ δὲ τοῖς τείχεσιν. — Ἔκβασιν] ἔξοδον. Κατωτέρω, β'. 3, αὐτὴν ταύτην καλεῖ εἴσοδον· διότι, ἂν διὰ τους ἐξερχομένους ἦτο ἔξοδος, διὰ τοὺς εἰσερχομένους ἦτο εἴσοδος.

§. 21. Εἰπως δυναίμην] ἴδε ἀνωτέρω, § 11.— Πρὶν κατειλῆφθαι τὴν ὑπερβολήν] πρὶν καταλειφθῇ ἡ κορυφὴ τοῦ ὄρους. Ὑπερβολὴ ὄρους λέγεται κορυφή, δι' ἧς περῶσι τὸ ὄρος. Ταύτην δὲ ἀνωτέρω εἶπεν ἔκβασιν.

§. 22. Πράγματα παρεῖχον] προσκόμματα ἡμῖν παρενέβαλλον. Τοῦτο σημαίνει πάντοτε τὸ ἔχω ἢ παρέχω τινὶ πράγματα. — Ἐνηδρεύσαμεν] ἔνεδραν κατ' αὐτῶν ἐσήσαμεν, τοὺς ἐπαραφυλάξαμεν διὰ νὰ τοὺς πιάσωμεν, ὡς λέγει ἡ κοινή. — Ἡγεμόσιν] Β'. δ'. 10.

§. 23. Ἤλεγχον] Γ'. ε. 14. Ἀντικείμενον δὲ τούτῳ τὸ κατωτέρω εἴ τινα εἰδεῖεν ἄλλην ὁδὸν κτλ. — Διαλαβόντες] διαχωρίσαντες. Αἱ πολιτεῖαι τοὺς Ἕλληνας διειλήφασι, λέγει ὁ Ἰσοκράτης. — Οὐκ ἔφη] = ἔφη οὐκ εἰδέναι ἄλλην τινὰ ὁδόν. Κυρίως ὅμως, οὐκ ἔφη = ἠρνήσατο.— Καὶ . . προσαγομένων] εἰ καὶ προσήχθησαν μάλα πολλοὶ φόβοι, εἰ καὶ πολλαχῶς ἐφόβισαν αὐτόν.

§. 24. Ὁ δὲ λοιπὸς] ὁ δ' ὑπολειφθείς. — Οὗτος μὲν] = ἐκεῖνος μέν, ὁ σφαγείς. — Ἐκδεδομένη] ὑπανδρευμένη. — Δυνατην . . πορεύεσθαι] δι' ὁδοῦ, ἣν δύνανται καὶ τὰ ὑποζύγια νὰ διαβῶσι. Ἴδε Α'. β'. 21, καὶ ἀμήχανος εἰσελθεῖν στρατεύματι.

§ 25. Δυσπάριτον] τὸ ὁποῖον δυσκόλως δύνανται νὰ παρέλθωσιν.

§. 26. Ὑποσὰς] ἀναδεξάμενος τὸν κίνδυνον, ὡς λέγει ὁ Ἰσοκράτης ἐν Γ'. 38, Ε'. 34.

§. 27. Ἐμοῦ ἡγουμένου] ἂν ἐγὼ προπορευθῶ ἢ ἂν ἐγὼ εἶμαι ἡγεμών.— Μεθυδριεὺς] ἐκ Μεθυδρίου, πόλεως Ἀρκαδικῆς.

§. 28. Ταξιαρχῶν] διλοχιαρχῶν. Α'. β'. 16.— Εἰς τὰ τοιαῦτα] ὡς πρὸς τὰ τοιαῦτα. Ἀσ. 601. 69.

ὁ μὲν οὖν ἕτερος οὐκ ἔφη, μάλα πολλῶν φόβων
προσαγομένων· ἐπεὶ δὲ οὐδὲν ὠφέλιμον ἔλεγεν, ὀρῶν-
τος τοῦ ἑτέρου, κατεσφάγη. ὁ δὲ λοιπὸς ἔλεξεν, ὅτι 24
οὗτος μὲν οὐ φαίη διὰ τοῦτο εἰδέναι, ὅτι αὐτῷ ἐτύγ-
χανε θυγάτηρ ἐκεῖ παρ' ἀνδρὶ ἐκδεδομένη· αὐτὸς δ'
ἔφη ἡγήσεσθαι δυνατὴν καὶ ὑποζυγίοις πορεύεσθαι
ὁδόν· ἐρωτώμενος δ', εἰ εἴη τι ἐν αὐτῇ δυσπάριτον 25
χωρίον, ἔφη εἶναι ἄκρον, ὅ, εἰ μή τις προκαταλήψοιτο,
ἀδύνατον ἔσεσθαι παρελθεῖν. ἐνταῦθα ἐδόκει συγ- 26
καλέσαντας λοχαγοὺς καὶ πελταστὰς καὶ τῶν ὁπλιτῶν
λέγειν τε τὰ παρόντα καὶ ἐρωτᾶν, εἴ τις αὐτῶν ἔστιν
ὅστις ἀνὴρ ἀγαθὸς ἐθέλοι ἂν γενέσθαι καὶ ὑποστὰς
ἐθελοντὴς πορεύεσθαι. ὑφίσταται τῶν μὲν ὁπλιτῶν 27
Ἀριξώνυμος Μεθυδριεὺς Ἀρκὰς καὶ Ἀγασίας Στυμ-
φάλιος Ἀρκάς· ἀντιστασιάζων δὲ αὐτοῖς Καλλίμαχος
Παρράσιος Ἀρκάς, καὶ οὗτος ἔφη ἐθέλειν πορεύεσθαι,
προσλαβὼν ἐθελοντὰς ἐκ παντὸς τοῦ στρατεύματος.
ἐγὼ γάρ, ἔφη, οἶδα, ὅτι ἔψονται πολλοὶ τῶν νέων, ἐμοῦ
ἡγουμένου. ἐκ τούτου ἐρωτῶσιν, εἴ τις καὶ τῶν γυ- 28
μνήτων ταξιάρχων ἐθέλοι συμπορεύεσθαι. ὑφίστατει
Ἀρισέας Χῖος, ὃς πολλαχοῦ πολλοῦ ἄξιος τῇ στρατιᾷ
εἰς τὰ τοιαῦτα ἐγένετο.

1 β'. Καὶ ἦν μὲν δείλη ἤδη, οἱ δ' ἐκέλευον αὐτοὺς ἐμ-
φαγόντας πορεύεσθαι. καὶ τὸν ἡγεμόνα δήσαντες πα-
ραδιδόασιν αὐτοῖς, καὶ συντίθενται τὴν μὲν νύκτα,
ἢν λάβωσι τὸ ἄκρον, τὸ χωρίον φυλάττειν, ἅμα δὲ τῇ
ἡμέρᾳ τῇ σάλπιγγι σημαίνειν· καὶ τοὺς μὲν ἄνω ὄν-
τας ἰέναι ἐπὶ τοὺς κατέχοντας τὴν φανερὰν ἔκβασιν,
αὐτοὶ δὲ συμβοηθήσειν, ἐκβαίνοντες ὡς ἂν δύνωνται
2 τάχιστα. ταῦτα συνθέμενοι, οἱ μὲν ἐπορεύοντο πλῆ-
θος ὡς δισχίλιοι—καὶ ὕδωρ πολὺ ἦν ἐξ οὐρανοῦ—Ξενο-
φῶν δὲ ἔχων τοὺς ὀπισθοφύλακας ἡγεῖτο πρὸς τὴν
φανερὰν ἔκβασιν, ὅπως ταύτῃ τῇ ὁδῷ οἱ πολέμιοι
προσέχοιεν τὸν νοῦν καὶ ὡς μάλιστα λάθοιεν οἱ πε-
3 ριιόντες. ἐπεὶ δὲ ἦσαν ἐπὶ χαράδρᾳ οἱ ὀπισθοφύλακες,
ἣν ἔδει διαβάντας πρὸς τὸ ὄρθιον ἐκβαίνειν, τηνι-
καῦτα ἐκύλινδον οἱ βάρβαροι ὁλοιτρόχους ἁμαξιαίους
καὶ μείζους καὶ ἐλάττους, οἵ, φερόμενοι πρὸς τὰς πέ-
τρας, πταίοντες διεσφενδονῶντο· καὶ παντάπασιν οὐδὲ
4 πελάσαι οἷόν τ' ἦν τῇ εἰσόδῳ. ἔνιοι δὲ τῶν λοχα-
γῶν, εἰ μὴ ταύτῃ δύναιντο, ἄλλῃ ἐπειρῶντο· καὶ
ταῦτα ἐποίουν, μέχρι σκότος ἐγένετο· ἐπεὶ δὲ ᾤοντο

Κεφ. β'. §. 1. *Οἱ δὲ*] ὁ Χειρίσοφος καὶ Ξενοφῶν. — *Συντίθενται*] συμφωνοῦσι· ἐξ οὗ σύνθημα καὶ συνθήκη. Ἴδε καὶ Α'. θ. 7. συνθοῖτο. — *Τῇ σάλπιγγι σημαίνειν*] Β'. β'. 4. — Ἔκβασιν] ἴδε Δ'. ά. 20.— *Αὐτοὶ δὲ*] ὁ Χειρίσοφος καὶ Ξενοφῶν. — *Συμβοηθήσειν*] ταὐτοχρόνως θὰ σπεύσωσι· διότι βοηθῶ = βοῇ θέω, ἀλαλάξας σπεύδω.

§. 2. *Πλῆθος*] κατὰ τὸ πλῆθος. — Ὡς δισχίλιοι] Β'. ς'. 20. — *Φανερὰν ἔκβασιν*] τὴν καθ' αὐτὸ ἔξοδον.— *Οἱ περιιόντες*] οἱ περὶ αὐτὴν πορευόμενοι, οἱ πορευόμενοι κατὰ τῶν κατεχόντων τὴν ἄκραν. Ἴδε ά. 25. *Εἰοὶ δὲ οὗτοι* οἱ μνημονευθέντες ἐν ά. 27–29.

§. 3. *Ἐπὶ χαράδρᾳ*] πλησίον χαράδρας. Α'. δ'. 20.— Ὄρθιον] ἀνωφερές· ἀντίθετον τούτου τὸ ὁμαλόν. — Ὁλοιτρόχους] τροχγύλους. Ποιητικὴ ἡ λέξις. — Ἁμαξιαίους] δι' ἁμάξης δυναμένους νὰ μετακομισθῶσι, μεγάλους σφόδρα. — *Πταίοντας*] προσκρούοντας, σκονδάπτοντας. — *Πελάσαι*] πλησιάσαι.—Τῇ εἰσόδῳ] εἴσοδον λέγει ἐνταῦθα, ἣν ἀνωτέρω ἔκβασιν ὠνόμασε, δι' ὃν ἀνωτέρω εἴπομεν λόγον.

§. 4. *Εἰ μὴ ταύτῃ δύναιντο, ἄλλῃ ἐπειρῶντο*] = εἰ μὴ ταύτῃ δύναιντο προσεγγίσαι. Τὸ δὲ ταύτῃ καὶ ἄλλῃ = ἐνταῦθα, ἀλλαχοῦ. Ἀσ. 538. 12.— *Οὐδὲν ἐπαύσαντο*] =οὐδόλως ἐπαύσαντο.

ἀφανεῖς εἶναι ἀπιόντες, τότε ἀπῆλθον ἐπὶ τὸ δεῖπνον. ἐτύγχανον δὲ καὶ ἀνάριστοι ὄντες αὐτῶν οἱ ὀπισθοφυλακήσαντες. οἱ μέντοι πολέμιοι οὐδὲν ἐπαύσαντο ὅι' ὅλης τῆς νυκτὸς κυλίνδοντες τοὺς λίθους· τεκμαίρεσθαι δ' ἦν τῷ ψόφῳ. οἱ δ' ἔχοντες τὸν ἡγε- 5
μόνα, κύκλῳ περιιόντες, καταλαμβάνουσι τοὺς φύ-
λακας ἀμφὶ πῦρ καθημένους· καὶ τοὺς μὲν κατα-
κανόντες, τοὺς δὲ καταδιώξαντες, αὐτοὶ ἐνταῦθ' ἔμε-
νον, ὡς τὸ ἄκρον κατέχοντες· οἱ δ' οὐ κατεῖχον, 6
ἀλλὰ μαστὸς ἦν ὑπὲρ αὐτῶν, παρ' ὃν ἦν ἡ στενὴ αὕτη
ὁδός, ἐφ' ἣ ἐκάθηντο οἱ φύλακες. ἔφοδος μέντοι αὐ-
τόθεν ἐπὶ τοὺς πολεμίους ἦν, οἳ ἐπὶ τῇ φανερᾷ ὁδῷ
ἐκάθηντο. καὶ τὴν μὲν νύκτα ἐνταῦθα διήγαγον· 7
ἐπεὶ δ' ἡμέρα ὑπέφαινεν, ἐπορεύοντο σιγῇ συντε-
ταγμένοι ἐπὶ τοὺς πολεμίους· καὶ γὰρ ὁμίχλη ἐγένε-
το, ὥστ' ἔλαθον ἐγγὺς προσελθόντες. ἐπεὶ δὲ εἶδον
ἀλλήλους, ἥ τε σάλπιγξ ἐφθέγξατο καὶ ἀλαλάξαντες
ἵεντο ἐπὶ τοὺς ἀνθρώπους· οἱ δὲ οὐκ ἐδέξαντο,
ἀλλά, λιπόντες τὴν ὁδὸν φεύγοντες, ὀλίγοι ἀπέθνη-
σκον· εὔζωνοι γὰρ ἦσαν. οἱ δὲ ἀμφὶ Χειρίσοφον, 8
ἀκούσαντες τῆς σάλπιγγος, εὐθὺς ἵεντο ἄνω κατὰ
τὴν φανερὰν ὁδόν. ἄλλοι δὲ τῶν στρατηγῶν κατὰ

§. 5. *Τεκμαίρεσθαι δ' ἦν τῷ ψόφῳ*] ἠδύναντο δὲ νὰ συμπεραίνωσι τοῦτο ἐκ τοῦ κρότου· ἀλλὰ τεκμαίρομαι = συμπεραίνω ἐξ ἀναμφισβητήτων δεδομένων. ψόφος δὲ = ἀμυδρὸς ἢ ἀσθενὴς κρότος· ὅπερ ἐνταῦθα δὲν ἁρμόζει.— Ἡγεμόνα] τὸν ὁδηγόν. Ἴδε §. 1.— *Κύκλῳ περιιόντες*] περικυκλώσαντες (τὸ ἄκρον).— *Κατακανόντες*] Α'. θ'. 6.— Ὡς τὸ ἄκρον ἔχοντες] = ὡς ἂν ἦσαν κάτοχοι τῆς κορυφῆς. Α'. β'. 1. ὡς *Πισίδας βουλόμενος*.

§. 6. *Μαστὸς*] βράχος, ἢ λόφος ὅμοιος μαστῷ. — Ἔφοδος] Γ'. δ'. 41.— Ἐπὶ τοὺς πολεμίους . . οἳ] κατὰ τῶν πολεμίων ἐκείνων, οἵτινες.—Ἐπὶ τῇ φανερᾷ ὁδῷ] πλησίον τῆς καθ' αὐτὸ ὁδοῦ, Α'. δ'. 4. ἐπὶ δὲ τοῖς τείχεσι.— Ἐκάθηντο] Α'. ε'. 9. ὅπου μὴ ἐκαθέζετο.

§. 7. Τπέφαινε] Γ'. β'. 1.— Συντεταγμένοι] Α'. η'. 14.—Ἔλαθον προσελθόντες] Γ'. Σ'. Δ'.— Ἀλαλάξαντες] Α'. η'. 18.—Ἵεντο] Γ'. δ'. 41.—Ἀνθρώπους] Γ'. α'. 22.

§. 8. Ἀτριβεῖς] ἀπατήτους. Ἀντίθετος ἡ τετριμμένη ὁδός, ἣν διέρχονται πάντες.—Ἀνίμων] ἀνέσυρον· λέγεται κυρίως ἐπὶ τῶν ἀγρευόντων ἰχθῦς, ὅταν τοὺς ἀνασύρωσιν.

ἀτριβεῖς ὁδοὺς ἐπορεύοντο, ᾗ ἔτυχον ἕκαστοι ὄντες,
καί, ἀναβάντες ὡς ἐδύναντο, ἀνίμων ἀλλήλους τοῖς
9 δόρασι· καὶ οὗτοι πρῶτοι συνέμιξαν τοῖς προκατα-
λαβοῦσι τὸ χωρίον. Ξενοφῶν δὲ ἔχων τῶν ὀπισθο-
φυλάκων τοὺς ἡμίσεις ἐπορεύετο, ᾗπερ οἱ τὸν ἡγεμόνα
ἔχοντες· εὐοδωτάτη γὰρ ἦν τοῖς ὑποζυγίοις· τοὺς δὲ
10 ἡμίσεις ὄπισθεν τῶν ὑποζυγίων ἔταξε. πορευόμενοι
δ' ἐντυγχάνουσι λόφῳ ὑπὲρ τῆς ὁδοῦ κατειλημμένῳ
ὑπὸ τῶν πολεμίων, οὓς ἢ ἀποκόψαι ἀνάγκη ἢ διε-
ζεῦχθαι ἀπὸ τῶν ἄλλων Ἑλλήνων. καὶ αὐτοὶ μὲν ἂν
ἐπορεύθησαν, ᾗπερ οἱ ἄλλοι, τὰ δὲ ὑποζύγια οὐκ ἦν
11 ἄλλῃ ἢ ταύτῃ ἐκβῆναι. ἔνθα δή, παρακελευσάμενοι
ἀλλήλοις, προσβάλλουσι πρὸς τὸν λόφον ὀρθίοις τοῖς
λόχοις, οὐ κύκλῳ, ἀλλὰ καταλιπόντες ἄφοδον τοῖς πο-
12 λεμίοις, εἰ βούλοιντο φεύγειν. καὶ τέως μὲν αὐτοὺς
ἀναβαίνοντας, ὅπῃ ἐδύνατο ἕκαστος, οἱ βάρβαροι ἐτό-
ξευον καὶ ἔβαλλον· ἐγγὺς δ' οὐ προσίεντο, ἀλλὰ φυγῇ
λείπουσι τὸ χωρίον. καὶ τοῦτόν τε παρεληλύθεσαν
οἱ Ἕλληνες καὶ ἕτερον ὁρῶσιν ἔμπροσθεν λόφον κατε-

§. 9. *Συνέμιξαν*]=συνεμίγησαν. Ἀσ. 305. 50.

§. 10. *Οὓς ἢ ἀποκόψαι κτλ.*]=καὶ ἢ τούτους ἀποκόψαι ἀνάγκη ἦν ἢ αὐτοὺς διεξεῦχθαι. Ἀποκόψαι δ' ἐνταῦθα=ἀπελάσαι, ἀποδιῶξαι.— *Ἐπορεύθησαν ἄν*] θὰ ἐπορεύοντο. Ἆρα δὲν ἐπορεύθησαν. Ἀσ. 373. 77 καὶ 78.— *Ἧπερ οἱ ἄλλοι*] ὅπου καὶ οἱ ἄλλοι (οἱ περὶ τὸν Χειρίσοφον κατὰ τὴν φανερὰν ὁδόν. §. 8).—*Ἄλλῃ ἢ ταύτῃ*] δι' ἄλλης παρὰ ταύτην ὁδοῦ νὰ ἐξέλθωσιν. Ἀσ. 538. 12.

§. 11 *Ὀρθίοις τοῖς λόχοις*] κατὰ στήλας παρατεταγμένων τῶν ὀπισθοφυλάκων. *Ὀρθιοι οἱ λόχοι* λέγονται, ὅταν τὸ βάθος εἶναι πολλῷ μεγαλείτερον τοῦ μετώπου· ἀντίθετος παράταξις στρατοῦ εἶναι ἡ εἰδικώτερον φάλαγξ καλουμένη, ὅτε τὸ μέτωπον ἦτο πολλῷ μεῖζον τοῦ βάθους. Ἐπειδὴ δὲ πολλοὶ ἦσαν οἱ λόχοι τῶν ὀπισθοφυλάκων, ἐσχηματίσθησαν καὶ πολλαὶ φῆλαι ἐκ διαφόρων σημείων ὁρμήσασαι εἰς τὸν λόφον.— *Ἄφοδον*] Γ'. δ'. 41. ἔφοδον.

§. 12. *Τέως*] μέχρι τινός, ἐπί τινα χρόνον. Ἀλλ' ὅταν ἔχῃ ἐπιφερόμενον ἕως, ἰσοδυναμεῖ τῷ μέχρις ἐκείνου τοῦ χρόνου.— *Καὶ ἕτερον ὁρῶσι . . ἔδοκει*] καὶ ἕτερον βλέποντες . . ἀπεφάσισαν καὶ κατὰ τούτου νὰ πορευθῶσιν.—*Ἐπὶ τοῦτον αὖθις*]=καὶ κατὰ τούτου. *Ὅπως δηλαδὴ* κατὰ τοῦ πρώτου, οὕτω καὶ κατὰ τούτου. Ἀσ. 708. 68. β'.

χόμενον ἐπὶ τοῦτον αὖθις ἐδόκει πορεύεσθαι. ἐννοή- 13
σας δ' ὁ Ξενοφῶν μή, εἰ ἔρημον καταλίποι τὸν ἡλω-
κότα λόφον, καὶ πάλιν λαβόντες οἱ πολέμιοι ἐπιθοῖντο
τοῖς ὑποζυγίοις παριοῦσιν—ἐπὶ πολὺ δ' ἦν τὰ ὑποζύ-
για, ἅτε διὰ στενῆς τῆς ὁδοῦ πορευόμενα—καταλείπει
ἐπὶ τοῦ λόφου λοχαγοὺς Κηφισόδωρον Κηφισοφῶντος
Ἀθηναῖον καὶ Ἀμφικράτην Ἀμφιδήμου Ἀθηναῖον καὶ
Ἀρχαγόραν Ἀργεῖον φυγάδα, αὐτὸς δὲ σὺν τοῖς λοι-
ποῖς ἐπορεύετο ἐπὶ τὸν δεύτερον λόφον, καὶ τῷ αὐτῷ
τρόπῳ καὶ τοῦτον αἱροῦσιν. ἔτι δ' αὐτοῖς τρίτος μα- 14
στὸς λοιπὸς ἦν πολὺ ὀρθιώτατος, ὁ ὑπὲρ τῆς ἐπὶ τῷ
πυρὶ καταληφθείσης φυλακῆς τῆς νυκτὸς ὑπὸ τῶν
ἐθελοντῶν. ἐπεὶ δ' ἐγγὺς ἐγένοντο οἱ Ἕλληνες, λεί- 15
πουσιν οἱ βάρβαροι ἀμαχητὶ τὸν μαστόν, ὥστε θαυμα-
στὸν πᾶσι γενέσθαι καὶ ὑπώπτευον δείσαντας αὐτούς,
μὴ κυκλωθέντες πολιορκοῖντο, ἀπολιπεῖν. οἱ δ' ἄρα,
ἀπὸ τοῦ ἄκρου καθορῶντες τὰ ὄπισθεν γιγνόμενα,
πάντες ἐπὶ τοὺς ὀπισθοφύλακας ἐχώρουν. καὶ Ξενο- 16
φῶν μὲν σὺν τοῖς νεωτάτοις ἀνέβαινεν ἐπὶ τὸ ἄκρον,
τοὺς δὲ ἄλλους ἐκέλευσεν ὑπάγειν, ὅπως οἱ τελευταῖοι
λόχοι προσμίξειαν, καὶ προελθόντας κατὰ τὴν ὁδὸν ἐν
τῷ ὁμαλῷ θέσθαι τὰ ὅπλα εἶπε. καὶ ἐν τούτῳ τῷ 17
χρόνῳ ἦλθεν Ἀρχαγόρας ὁ Ἀργεῖος πεφευγὼς καὶ
λέγει, ὡς ἀπεκόπησαν ἀπὸ τοῦ πρώτου λόφου καὶ ὅτι
τεθνᾶσι Κηφισόδωρος καὶ Ἀμφικράτης καὶ ἄλλοι, ὅσοι
μὴ ἁλάμενοι κατὰ τῆς πέτρας πρὸς τοὺς ὀπισθοφύ-
λακας ἀφίκοντο. ταῦτα δὲ διαπραξάμενοι οἱ βάρβα- 18
ροι, ἦκον ἐπ' ἀντίπορον λόφον τῷ μαστῷ· καὶ Ξενο-
φῶν διελέγετο αὐτοῖς δι' ἑρμηνέως περὶ σπονδῶν καὶ

§. 13 *Ἐννοήσας, μὴ*] Γ'. ε'. 3. —*Ἐπὶ πολὺ δὲ ἦν*] *εἰς πολὺ διάστημα παρετείνοντο.—Ἅτε πορευόμενα*] διότι ἐπορεύοντο. Ἀσ 469. 55.— *Τῷ αὐτῷ τρόπῳ*] ἴδε §. 11.

§. 14. *Λοιπὸς ἦν*] Γ'. β'. 29.

§. 15. *Καὶ ὑπώπτευον κτλ.*]=καὶ ὑπώπτευον (οἱ Ἕλληνες) ὅτι ἀπέλιπον (οἱ βάρβαροι τὸν μαστὸν) διότι ἐφοβήθησαν μὴ κτλ.

§ 16. *Πάγειν*] Γ'. δ 48.—*Ὁμαλῷ*] § 2.—*Θεσθαι τὰ ὅπλα*] Α'. ε'. 17.

§. 17. *Ἀπεκόπησαν*] §. 10.

§. 18. *Ἀντίπορον λόφον τῷ μαστῷ*]=ἀντίπορον τῷ μαστῷ λόφον. Οὕτω καὶ ἐν Δ'. γ'. 23. κατὰ τὰς προσηκούσας ὄχθας ἐπὶ τὸν ποταμὸν=κατὰ τὰς προση-

19 τοὺς νεκροὺς ἀπήτει. οἱ δὲ ἔφασαν ἀποδώσειν ἐφ' ᾧ μὴ κάειν τὰς οἰκίας. συνωμολόγει ταῦτα ὁ Ξενοφῶν. ἐν ᾧ δὲ τὸ μὲν ἄλλο στράτευμα παρῆει, οἱ δὲ ταῦτα διελέγοντο, πάντες οἱ ἐκ τούτου τοῦ τόπου συνερρύη-
20 σαν. ἐνταῦθα ἵσταντο οἱ πολέμιοι. καὶ ἐπεὶ ἤρξαντο καταβαίνειν ἀπὸ τοῦ μαστοῦ πρὸς τοὺς ἄλλους, ἔνθα τὰ ὅπλα ἔκειτο, ἵεντο δὴ οἱ πολέμιοι πολλῷ πλήθει καὶ θορύβῳ· καὶ ἐπεὶ ἐγένοντο ἐπὶ τῆς κορυφῆς τοῦ μαστοῦ, ἀφ' οὗ Ξενοφῶν κατέβαινεν, ἐκυλίνδουν πέ-
τρας· καὶ ἑνὸς μὲν κατέαξαν τὸ σκέλος, Ξενοφῶντα δὲ
21 ὁ ὑπασπιστὴς ἔχων τὴν ἀσπίδα ἀπέλιπεν· Εὐρύλοχος δὲ Λουσιεὺς Ἀρκὰς προσέδραμεν αὐτῷ ὁπλίτης, καὶ πρὸ ἀμφοῖν προβεβλημένος ἀπεχώρει· καὶ οἱ ἄλλοι
22 πρὸς τοὺς συντεταγμένους ἀπῆλθον. ἐκ δὲ τούτου πᾶν ὁμοῦ ἐγένετο τὸ Ἑλληνικὸν καὶ ἐσκήνησαν αὐτοῦ ἐν πολλαῖς καὶ καλαῖς οἰκίαις καὶ ἐπιτηδείοις θαψιλέσι· καὶ γὰρ οἶνος πολὺς ἦν, ὃν ἐν λάκκοις κονιατοῖς εἶ-

κούσας ἐπὶ τὸν ποταμὸν ὄχθας. Ἀντίπορος δὲ ὁ ἀπέναντι λόφος χωριζόμενος διὰ πόρ. Ἴδε Δ'. γ'. 20.—Ἐφ' ᾧ μὴ καίειν] ἐπὶ τῷ ὅρῳ νὰ μὴ καίωσιν. Ἀσ. 442. 69.

§. 19. Πάντες οἱ ἐκ τοῦ τόπου τούτου συνερρύησαν] πάντες οἱ ἐν τῷ τόπῳ τούτῳ ὄντες συνέρρευσαν (ἐκ τούτου τοῦ τόπου). Ἴδε Α'. β'. 18. οἱ ἐκ τῆς ἀγορᾶς.

§. 20. Ἔνθα τὰ ὅπλα ἔκειντο] ὅπου εἶχον στρατοπεδεύσει. Ἴδε Α'. ε. 17. κατὰ χώραν ἔθεντο τὰ ὅπλα. Ἴδε καὶ ἀνωτέρω, §. 16.— Ἵεντο] Γ'. δ'. 41.—Ὑπασπιστής] σωματοφύλαξ. Ἦσαν δὲ οἱ ὑπασπισταὶ πιστοὶ στρατιῶται τεταγμένοι νὰ προφυλάττωσιν ἀπὸ τοῦ κινδύνου τὸν στρατηγὸν προβαλλόμενοι αὐτοῦ τὴν ἀσπίδα.

§. 21. Λουσιεὺς] ἐκ Λουσῶν· Λουσοὶ δὲ πόλις Ἀρκαδίας.—Προσέδραμεν αὐτῷ] ἔδραμε πρὸς αὐτὸν (τὸν Ξενοφῶντα, ἵνα τὸν προασπίσῃ).—Πρὸ ἀμφοῖν] προβεβλημένος τὴν ἀσπίδα πρὸ ἑαυτοῦ τε καὶ τοῦ Ξενοφῶντος.—Καὶ οἱ ἄλλοι κτλ.] οὕτω δὲ καὶ οἱ ἄλλοι ἀποχωροῦντες ἀπῆλθον πρὸς τοὺς εἰς τὸ αὐτὸ μέρος ἑρατοπεδευμένους. Ἴδε ἀνωτέρω, §. 16.

§. 22. Ὁμοῦ ἐγένετο] ἡνώθη.— Καὶ ἐν ἐπιτηδείοις θαψιλέσι] ἔχοντες θαψιλῆ τὰ ἐπιτήδεια, τὰ τρόφιμα.— Καὶ γὰρ] Α'. γ'. 12. — Ἐν λάκκοις κονιατοῖς] ἐντὸς λάκκων κεχρισμένων μὲ ἄσβεστον. Ἀθηναῖοι καὶ οἱ ἄλλοι τῶν Ἑλλήνων ὀρύγματα ὑπὸ τὴν γῆν ποιοῦντες . . καὶ ταῦτα κονιῶντες οἶνον ὑπεδέχοντο καὶ ἔλαιον εἰς αὐτά· καὶ ταῦτα λάκκους ἐκάλουν· Σχολ. εἰς Ἀριστοφ. Ἐκκλ. 154. Κονιατὸς δὲ=κεκονιαμένος, μὲ κονίαν ἀσβέστου χρισμένος.

χον. Ξενοφῶν δὲ καὶ Χειρίσοφος διεπράξαντο. ὥστε 23
λαβόντες τοὺς νεκροὺς ἀπέδοσαν τὸν ἡγεμόνα· καὶ
πάντα ἐποίησαν τοῖς ἀποθανοῦσιν ἐκ τῶν δυνατῶν,
ὥσπερ νομίζεται ἀνδράσιν ἀγαθοῖς. τῇ δὲ ὑστεραίᾳ 24
ἄνευ ἡγεμόνος ἐπορεύοντο· μαχόμενοι δ' οἱ πολέμιοι
καί, ὅπῃ εἴη στενὸν χωρίον, προκαταλαμβάνοντες ἐκώ-
λυον τὰς παρόδους. ὁπότε μὲν οὖν τοὺς πρώτους κω- 25
λύοιεν, Ξενοφῶν ὄπισθεν ἐκβαίνων πρὸς τὰ ὄρη ἔλυε
τὴν ἀπόφραξιν τῆς παρόδου τοῖς πρώτοις, ἀνωτέρω
πειρώμενος γίγνεσθαι τῶν κωλυόντων· ὁπότε δὲ τοῖς 26
ὄπισθεν ἐπιθοῖντο, Χειρίσοφος ἐκβαίνων καὶ πειρώ-
μενος ἀνωτέρω γίγνεσθαι τῶν κωλυόντων ἔλυε τὴν
ἀπόφραξιν τῆς παρόδου τοῖς ὄπισθεν. καὶ ἀεὶ οὕτως
ἐβοήθουν ἀλλήλοις καὶ ἰσχυρῶς ἀλλήλων ἐπεμέλοντο.
ἦν δὲ καὶ ὁπότε αὐτοῖς τοῖς ἀναβᾶσι πολλὰ πράγματα 27
παρεῖχον οἱ βάρβαροι πάλιν καταβαίνουσιν· ἐλαφροὶ
γὰρ ἦσαν ὥστε καὶ ἐγγύθεν φεύγοντες ἀποφεύγειν·
οὐδὲν γὰρ εἶχον ἄλλο ἢ τόξα καὶ σφενδόνας. ἄριστοι 28
δὲ τοξόται ἦσαν· εἶχον δὲ τόξα ἐγγὺς τριπήχη, τὰ δὲ
τοξεύματα πλέον ἢ διπήχη. εἶλκον δὲ τὰς νευράς, ὁπότε
τοξεύοιεν, πρὸς τὸ κάτω τοῦ τόξου τῷ ἀριστερῷ ποδὶ

§. 23. Διεπράξαντο] ἐσυνθηκολόγησαν. Τὸ πλῆρες εἶναι διεπράξαντο περὶ σπονδῶν. Ἴδε Γ'. ε'. 5, Ζ'. β'. 7, δ'. 12. κτλ.—Τὸν ἡγεμόνα] τὸν ὁδηγόν· ἐννοεῖ δὲ αὐτὸν ἐκεῖνον, περὶ οὗ ἐγένετο λόγος ἐν Δ'. α'. 24. καὶ β'. 2.—Τοῖς ἀποθανοῦσι] εἰς τιμὴν τῶν ἀποθανόντων. Α'. β'. 4.— Ὥσπερ νομίζεται] ἅπερ εἰσὶ καθιερωμένα· ταύτην δὲ τὴν σημασίαν ἔχει ἐπὶ ὁσίων ἢ θρησκευτικῶν πραγμάτων· ἐπὶ δὲ τῶν ἄλλων νομίζεται=εἰθισμένον ἐστίν. Ἴδε Α'. β'. 27.

§. 24. Ὅπῃ εἴη . . ὁπότε κωλύοιεν . . . ὁπότε ἐπιθοῖντο κτλ.] ἴδε Γ. Σ. Γ'. δ'.

§. 27. Ἦν δὲ καὶ ὁπότε] Γ. Σ. Η'.—Πράγματα παρεῖχον] προσκόμματα παρενέβαλλον ἢ τοὺς ἠνώχλουν.— Πάλιν καταβαίνουσι] ὅτε πάλιν κατέβαινον (οἱ ἄρτι ἀναβάντες).—Ἀποφεύγειν] Α'. δ'. 8.

§. 28. Τὰ δὲ τοξεύματα] τὰ βέλη, οἱ οἰστοί.— Τῷ ἀριστερῷ ποδὶ προβαίνοντες] ὑψοῦντες τὸν ἀριστερὸν πόδα πρὸς τὸ κάτω τοῦ τόξου. Ἡ ἀνάτασις αὕτη εἶναι ἐν τοῖς τοιούτοις φυσικὴ διὸ καὶ πᾶσα ἄλλη ἑρμηνεία μοὶ φαίνεται ἄτοπος.— Ἐχῶντο δὲ . . ἀκοντίοις] μετεχειρίζοντο δὲ ὡς ἀκόντια.— Ἐναγκυλῶντες] ἀφοῦ προσήρτων αὐτοῖς ἀγκύλην. ἦτο δὲ ἡ ἀγκύλη λωρίον χρησιμεῦον

προσβαίνοντες. τὰ δὲ τοξεύματα ἐχώρει διὰ τῶν ἀσπίδων καὶ διὰ τῶν θωράκων. ἐχρῶντο δὲ αὐτοῖς οἱ Ἕλληνες, ἐπεὶ λάβοιεν, ἀκοντίοις ἐναγκυλῶντες. ἐν τούτοις τοῖς χωρίοις οἱ Κρῆτες χρησιμώτατοι ἐγένοντο. ἦρχε δὲ αὐτῶν Στρατοκλῆς Κρής.

1 γ'. Ταύτην δ' αὖ τὴν ἡμέραν ηὐλίσθησαν ἐν ταῖς κώμαις ταῖς ὑπὲρ τοῦ πεδίου τοῦ παρὰ τὸν Κεντρίτην ποταμόν, εὖρος ὡς δίπλεθρον, ὃς ὁρίζει τὴν Ἀρμενίαν καὶ τὴν τῶν Καρδούχων χώραν. καὶ οἱ Ἕλληνες ἐνταῦθα ἀνεπαύσαντο, ἅσμενοι ἰδόντες πεδίον. ἀπεῖχε δὲ τῶν ὀρέων ὁ ποταμὸς ἓξ ἢ ἑπτὰ στάδια τῶν Καρ-
2 δούχων. τότε μὲν οὖν ηὐλίσθησαν μάλα ἡδέως καὶ τἀπιτήδεια ἔχοντες καὶ πολλὰ τῶν παρεληλυθότων πόνων μνημονεύοντες· ἑπτὰ γὰρ ἡμέρας, ὅσαςπερ ἐπορεύθησαν διὰ τῶν Καρδούχων, πάσας μαχόμενοι διετέλεσαν, καὶ ἔπαθον κακά, ὅσα οὐδὲ τὰ σύμπαντα ὑπὸ βασιλέως καὶ Τισσαφέρνους. ὡς οὖν ἀπηλλαγμένοι τούτων, ἡδέως ἐκοιμήθησαν.

3 Ἅμα δὲ τῇ ἡμέρᾳ ὁρῶσιν ἱππέας που πέραν τοῦ ποταμοῦ ἐξωπλισμένους ὡς κωλύσοντας διαβαίνειν, πεζοὺς δ' ἐπὶ ταῖς ὄχθαις παρατεταγμένους ἄνω τῶν ἱππέων ὡς κωλύσοντας εἰς τὴν Ἀρμενίαν ἐκβαίνειν.

4 ἦσαν δ' οὗτοι Ὀρόντου καὶ Ἀρτούχου Ἀρμένιοι καὶ

ν' ἀνέλκωσι τὸ ἀκόντιον, ἀφοῦ ἔπληττον ἢ μὴ δι' αὐτοῦ τὸν πολέμιον.— Οἱ Κρῆτες χρησιμώτατοι] ἴδε Γ'. δ'. 17.

Κεφ. γ'. §. 2. Καὶ τἀπιτήδεια ἔχοντες . . μνημονεύοντες] καὶ διότι εἶχον τρόφιμα καὶ διότι ἀνεκάλουν εἰς τὴν μνήμην αὐτῶν. — Πάσας μαχόμενοι διετέλεσαν] Γ. Σ. Δ'.— Ὡς οὖν ἀπηλλαγμένοι] διότι λοιπόν, ὡς ἐνόμιζον, εἶχον ἀπαλλαγῆ. Γ'. γ'. 2. ὡς φίλον τε καὶ εὔνουν.

§. 3. Ἐπὶ ταῖς ὄχθαις] εἰς τὰ ὑψώματα. Οὕτω καὶ κατωτέρω, §. 5. Δὲν ἐννοεῖ δὲ τὰς ὄχθας τοῦ ποταμοῦ διότι παρ' αὐταῖς ἦσαν οἱ ἱππεῖς.— Ὡς κωλύσοντας] ὡς ἂν ἔμελλον νὰ κωλύσωσιν ἢ ἵνα κωλύσωσιν. Ἴδε Γ'. γ'. 2. ὡς φίλον καὶ εὔνουν καὶ Β'. γ'. 21. ὡς πολεμήσοντες.— Μυγδόνιοι] οἱ αὐτοὶ ἐλέγοντο καὶ Μαρδοὶ καὶ Μαρδόνιοι· κατῴκουν δὲ οὗτοι εἰς τὰ βορειοανατολικὰ τῆς μεσοποταμίας χωριζόμενοι τῶν Καρδούχων διὰ τοῦ Τίγρητος.— Χαλδαῖοι] κατῴκουν οὗτοι βορειότερον τῆς Μογδονίας, ἀφ' ἧς ἐχωρίζοντο ὑπὸ τοῦ Τίγρητος, καὶ δυτικώτερον τῶν Καρδούχων. Ἦσαν δ' οἱ Χαλδαῖοι γένος Ἀρμενικόν· ἐκαλοῦντο δὲ καὶ Χάλυβες. Ἴδε Ε'. ε'. 17.—Γέρρα] Α', η'. 9.

Μάρδοι καὶ Χαλδαῖοι μισθοφόροι. ἐλέγοντο δὲ οἱ Χαλδαῖοι ἐλεύθεροί τε καὶ ἄλκιμοι εἶναι· ὅπλα δ' εἶχον γέρρα μακρὰ καὶ λόγχας. αἱ δὲ ὄχθαι αὗται, ἐφ' ὧν 5 παρατεταγμένοι οὗτοι ἦσαν, τρία ἢ τέτταρα πλέθρα ἀπὸ τοῦ ποταμοῦ ἀπεῖχον· ὁδὸς δὲ μία ἡ ὁρωμένη ἦν ἄγουσα ἄνω ὥσπερ χειροποίητος· ταύτῃ ἐπειρῶντο διαβαίνειν οἱ Ἕλληνες. ἐπεὶ δὲ πειρωμένοις τό τε 6 ὕδωρ ὑπὲρ τῶν μαστῶν ἐφαίνετο καὶ τραχὺς ἦν ὁ ποταμὸς μεγάλοις λίθοις καὶ ὀλισθηροῖς, καὶ οὔτ' ἐν τῷ ὕδατι τὰ ὅπλα ἦν ἔχειν — εἰ δὲ μή, ἥρπαζεν ὁ ποταμός— ἐπί τε τῆς κεφαλῆς τὰ ὅπλα εἴ τις φέροι, γυμνοὶ ἐγίγνοντο πρὸς τὰ τοξεύματα καὶ τἆλλα βέλη, ἀνεχώρησαν καὶ αὐτοῦ ἐστρατοπεδεύσαντο παρὰ τὸν ποταμόν. ἔνθα δὲ αὐτοὶ τὴν πρόσθεν νύκτα ἦσαν ἐπὶ 7 τοῦ ὄρους, ἑώρων τοὺς Καρδούχους πολλοὺς συνειλεγμένους ἐν τοῖς ὅπλοις. ἐνταῦθα δὴ πολλὴ ἀθυμία ἦν τοῖς Ἕλλησιν, ὁρῶσι μὲν τοῦ ποταμοῦ τὴν δυσπορίαν, ὁρῶσι δὲ τοὺς διαβαίνειν κωλύσοντας, ὁρῶσι δὲ τοῖς διαβαίνουσιν ἐπικεισομένους τοὺς Καρδούχους ὄπισθεν. ταύτην μὲν οὖν τὴν ἡμέραν καὶ τὴν νύκτα 8 ἔμειναν ἐν πολλῇ ἀπορίᾳ ὄντες. Ξενοφῶν δὲ ὄναρ εἶδεν· ἔδοξεν ἐν πέδαις δεδέσθαι, αὗται δὲ αὐτῷ αὐτόμαται περιρρυῆναι, ὥστε λυθῆναι καὶ διαβαίνειν ὁπόσον ἐβούλετο. ἐπεὶ δὲ ὄρθρος ἦν, ἔρχεται πρὸς τὸν Χειρίσοφον καὶ λέγει, ὅτι ἐλπίδας ἔχει καλῶς ἔσεσθαι, καὶ διηγεῖται αὐτῷ τὸ ὄναρ. ὁ δὲ ἥδετό τε καὶ ὡς τά- 9

§. 6. Πειρωμένοις] τὸ βάθος τοῦ ποταμοῦ, Γ'. ε'. 7.— Μεγάλοις λίθοις] ἕνεκα μεγάλων λίθων. Ἀσ. 220. 57. γ'.— Ἀνεχώρησαν οὖν] ἐπέστρεψαν· τὸ δὲ οὖν πλεονάζει. Ἴδε Α'. ε'. 14. εὐθὺς οὖν.

§. 7. Ἔνθα δὲ] ὅπου δέ. Α'. η'. 24.— Ὁρῶσι μὲν . . ὁρῶσι δὲ] διότι ἔβλεπον καὶ τὴν δυσπορίαν καὶ τοὺς κωλύοντας. (Ἀσ. 692. 11). Αἰτιολογικαὶ μετοχαί.

§. 8. Περιρρυῆναι] ὅτι περιεχύθησαν. Ἀορ. β'. τοῦ περιρρέω. —Διαβαίνειν] νὰ ἀνοίγῃ τὰ σκέλη τʒ. Ὁ Πλούταρχος ἐν Ἠθικοῖς, σελ. 779, λέγει ἀνδριάντας διαβεβηκότας τοὺς ἀνοικτὰ τὰ σκέλη των ἔχοντας.—Ὄρθρος] ὁ πρὸ τῆς ἠοῦς χρόνος.—Καλῶς ἔσεσθαι] = καλῶς ἕξει, περὶ οὗ ἴδε Α'. η'. 13. Οὕτω καὶ ἐν Ζ'. γ'. 43.

§. 9. Ὡς ταχίστα ἕως ὑπέφαινεν] εὐθὺς ἅμα ἤρχισε νὰ γλυ-

χιστα ἕως ὑπέφαινεν, ἐθύοντο πάντες παρόντες οἱ στρατηγοί· καὶ τὰ ἱερὰ καλὰ ἦν εὐθὺς ἀπὸ τοῦ πρώτου· καὶ ἀπιόντες ἀπὸ τῶν ἱερῶν οἱ στρατηγοὶ καὶ λο-
10 χαγοὶ παρήγγελλον τῇ στρατιᾷ ἀριστοποιεῖσθαι. καὶ ἀριστῶντι τῷ Ξενοφῶντι προσέτρεχον δύο νεανίσκω· ἤδεσαν γὰρ πάντες ὅτι ἐξείη αὐτῷ καὶ ἀριστῶντι καὶ δειπνοῦντι προσελθεῖν καί, εἰ καθεύδοι, ἐπεγείραντα
11 εἰπεῖν, εἴ τίς τι ἔχοι τῶν πρὸς τὸν πόλεμον. καὶ τότε ἔλεγον ὅτι τυγχάνοιεν φρύγανα συλλέγοντες ὡς ἐπὶ πῦρ, κἄπειτα κατίδοιεν ἐν τῷ πέραν ἐν πέτραις καθηκούσαις ἐπ' αὐτὸν τὸν ποταμὸν γέροντά τε καὶ γυναῖκα καὶ παιδίσκας ὥσπερ μαρσίπους ἱματίων κατα-
12 τιθεμένους ἐν πέτρᾳ ἀντρώδει. ἰδοῦσι δὲ σφίσι δόξαι ἀσφαλὲς εἶναι διαβῆναι· οὐδὲ γὰρ τοῖς πολεμίοις ἱππεῦσι προσβατὸν εἶναι κατὰ τοῦτο. ἐκδύντες δ' ἔφασαν ἔχοντες τὰ ἐγχειρίδια γυμνοὶ ὡς νευσόμενοι διαβαίνειν· πορευόμενοι δὲ πρόσθεν διαβῆναι πρὶν βρέξαι τὰ αἰδοῖα· καὶ διαβάντες καὶ λαβόντες τὰ ἱμάτια πά-

κοχαράζῃ Γ'. β'. 1. ὑπέφαινε. —Ἀπὸ τοῦ πρώτου] ἱερείου. Τὸ πλῆρες ἴδε ἐν ΣΤ'. ε'. 2.—Ἀριστοποιεῖσθαι] Α'. ι'. 19. Ἄριστον.

§. 10. Ὅτι ἐξείη αὐτῷ κτλ.]= ὅτι ἐξείη παντὶ προσελθεῖν αὐτῷ (τῷ Ξενοφῶντι) καὶ ἀριστῶντι καὶ δειπνοῦντι, οὐ μὴν ἀλλὰ καί, εἰ καθεύδοι (ὁ Ξενοφῶν, ἐξείη παντί) ἐπεγείραντι εἰπεῖν, ὅ τι ἔχοι (εἰπεῖν) τῶν πρὸς τὸν πόλεμον. Διατί δὲ ἔγραψε ἐπεγείραντα ἀντὶ ἐπεγείραντι ἴδε Δ'. α'. 12. ἔχοντας. — Τῶν πρὸς τὸν πόλεμον] τῶν ἀφορώντων εἰς τὸν πόλεμον, τῶν ἐχόντων σχέσιν μὲ τὸν πόλεμον. Α'. γ'. 19. πρὸς ταῦτα.

§. 11. Καὶ τώδε ἔλεγον] οὕτω καὶ οὗτοι (οἱ δύο νεανίσκοι) προσελθόντες ἔλεγον. Α'. Θ'. 6. καὶ ἄρκτον ποτέ. Ἔτρεψα τὸ τότε εἰς τώδε. — Ὡς ἐπὶ πῦρ] ὡς ἵνα ἀνάψωσι πῦρ=προτιθέμενοι ν' ἀνάψωσι πῦρ. Ἴδε Α'. β'. 1. ὡς ἐπὶ τούτους. — Καθηκούσαις] Γ'. δ'. 24.—Ὥσπερ μαρσίπους] εἶδος μαρσίπων. Ἴδε Α'. ε'. 8, καὶ Α'. η'. 8. Μάρσιπος δὲ=βαλάντιον καὶ σάκκος δι' ὅ τι δήποτε. διὸ καὶ ἐνταῦθα προσθέτει τὸ ἱματίων.

§. 12. Προσβατὸν εἶναι κατὰ τοῦτο]=προσβατὸν εἶναι τὸ χωρίον κατὰ τοῦτο τὸ μέρος.—Ἐκδύντες] οἱ δύο νεανίσκοι. Διατί δὲ μετεχειρίσθη πληθυντικὸν ἀντὶ δυϊκοῦ ἀριθμοῦ, ἴδε Ἀσ. 42. 21. — Ὡς νευσούμενοι] νομίζοντες ὅτι θὰ γείνῃ ἀνάγκη νὰ κολυμβήσωσι. Ἴδε Α'. α'. 3. ὡς ἀποκτενῶν. — Πρόσθεν διαβῆναι

λιν ἥκειν. εὐθὺς οὖν ὁ Ξενοφῶν αὐτός τε ἔσπενδε 13
καὶ τοῖς νεανίσκοις ἐγχεῖν ἐκέλευε καὶ εὔχεσθαι τοῖς φήνασι θεοῖς τά τε ὀνείρατα καὶ τὸν πόρον καὶ τὰ λοιπὰ ἀγαθὰ ἐπιτελέσαι. σπείσας δ' εὐθὺς ἦγε τοὺς νεανίσκους παρὰ τὸν Χειρίσοφον, καὶ διηγοῦνται ταὐτά. ἀκούσας δὲ καὶ ὁ Χειρίσοφος σπονδὰς ἐποίει. σπεί- 14
σαντες δὲ τοῖς μὲν ἄλλοις παρήγγελλον συσκευάζεσθαι, αὐτοὶ δὲ συγκαλέσαντες τοὺς στρατηγοὺς ἐβουλεύοντο, ὅπως ἂν κάλλιστα διαβαίεν καὶ τούς τε ἔμπροσθεν νικῷεν καὶ ὑπὸ τῶν ὄπισθεν μηδὲν πάσχοιεν κακόν. καὶ 15
ἔδοξεν αὐτοῖς Χειρίσοφον μὲν ἡγεῖσθαι καὶ διαβαίνειν ἔχοντα τὸ ἥμισυ τοῦ στρατεύματος, τὸ δ' ἥμισυ ἔτι ὑπομένειν σὺν Ξενοφῶντι, τὰ δὲ ὑποζύγια καὶ τὸν ὄχλον ἐν μέσῳ τούτων διαβαίνειν. ἐπεὶ δὲ καλῶς ταῦτα 16
εἶχεν, ἐπορεύοντο· ἡγοῦντο δ' οἱ νεανίσκοι ἐν ἀριστερᾷ ἔχοντες τὸν ποταμόν· ὁδὸς δὲ ἦν ἐπὶ τὴν διάβασιν ὡς τέτταρες στάδιοι. πορευομένων δ' αὐτῶν, ἀντιπαρῇ- 17
σαν αἱ τάξεις τῶν ἱππέων. ἐπειδὴ δὲ ἦσαν κατὰ τὴν διάβασιν καὶ τὰς ὄχθας τοῦ ποταμοῦ, ἔθεντο τὰ ὅπλα, καὶ αὐτὸς πρῶτος Χειρίσοφος, στεφανωσάμενος καὶ ἀποδύς, ἐλάμβανε τὰ ὅπλα καὶ τοῖς ἄλλοις πᾶσι παρήγγελλε, καὶ τοὺς λοχαγοὺς ἐκέλευεν ἄγειν τοὺς λόχους ὀρθίους, τοὺς μὲν ἐν ἀριστερᾷ, τοὺς δ' ἐν δεξιᾷ ἑαυτοῦ.

(ἔφασαν) πρὶν βρέξαι]=ἔλεγον οἱ δύο νεανίσκοι ὅτι διέβησαν, πρὶν βραχῶσι.

§. 13. Καὶ τοῖς νεανίσκοις ἐγχεῖν ἐκέλευε] = ἐκέλευε τοὺς περὶ αὐτὸν ἐγχεῖν καὶ τοῖς νεανίσκοις = νὰ χύσωσιν οἶνον καὶ εἰς τὰ ποτήρια τῶν νεανίσκων, ἵνα καὶ οὗτοι σπείσωνται· διότι ὁ σπένδων ἀπὸ ποτηρίου, εἰς ὃ τῷ ἐνέχεεν ἄλλος οἶνον, ἔχυνεν ὀλίγον καὶ ἔπινε τὸ λοιπόν. — Καὶ εὔχεσθαι κτλ.] = καὶ νὰ εὐχηθῶσιν ἵνα οἱ θεοί, οἱ φανερώσαντες τὰ ὀνείρατα καὶ τὸ πέρασμα, φέρωσιν εἰς αἴσιον τέλος καὶ τὰ λοιπὰ ἀγαθά. Περὶ τῶν ὀνειράτων καὶ τοῦ πόρου ἴδε §. 8. καὶ 12.

§. 14. Ὅπως ἂν διαβαίεν] πῶς ἠδύνατο νὰ διαβῶσι. Πλαγία ἐρώτησις.

§. 16. Καλῶς εἶχε] ἦσαν καλά. Ἴδε Α'. ἡ. 13.

§. 17. Ἀντιπαρῆσαν] παραλλήλως ἐπορεύοντο κατὰ τὴν ἄλλην τοῦ ποταμοῦ ὄχθην. — Τῶν ἱππέων] = τῶν πολεμίων ἱππέων, ὡς γίνεται δῆλον καὶ ἐκ τῆς §. 23. — Ἔθεντο τὰ ὅπλα.] Ἴδε Α'. ἐ. 17. Παρήγγειλε] ἀποδῦναι καὶ λαμβάνειν τὰ ὅπλα.—

18 καὶ οἱ μὲν μάντεις ἐσφαγιάζοντο εἰς τὸν ποταμόν· οἱ δὲ πολέμιοι ἐτόξευόν τε καὶ ἐσφενδόνων· ἀλλ' οὔπω
19 ἐξικνοῦντο. ἐπεὶ δὲ καλὰ ἦν τὰ σφάγια, ἐπαιάνιζον πάντες οἱ στρατιῶται καὶ ἀνηλάλαζον, συνωλόλυζον δὲ καὶ αἱ γυναῖκες ἅπασαι· πολλαὶ γὰρ ἦσαν ἑταῖραι
20 ἐν τῷ στρατεύματι. καὶ Χειρίσοφος μὲν ἐνέβαινε καὶ οἱ σὺν ἐκείνῳ· ὁ δὲ Ξενοφῶν τῶν ὀπισθοφυλάκων λαβὼν τοὺς εὐζωνοτάτους ἔθει ἀνὰ κράτος πάλιν ἐπὶ τὸν πόρον τὸν κατὰ τὴν ἔκβασιν τὴν εἰς τὰ τῶν Ἀρμενίων ὄρη, προσποιούμενος, ταύτῃ διαβάς, ἀποκλείσειν τοὺς
21 παρὰ τὸν ποταμὸν ἱππέας. οἱ δὲ πολέμιοι ὁρῶντες μὲν τοὺς ἀμφὶ Χειρίσοφον εὐπετῶς τὸ ὕδωρ περῶντας, ὁρῶντες δὲ τοὺς ἀμφὶ Ξενοφῶντα θέοντας εἰς τοὔμπαλιν, δείσαντες μὴ ἀποκλεισθείησαν, φεύγουσιν ἀνὰ κράτος ὡς πρὸς τὴν ἀπὸ τοῦ ποταμοῦ ἔκβασιν. ἐπεὶ δὲ κατὰ τὴν ὁδὸν ἐγένοντο, ἔτεινον ἄνω πρὸς τὸ
22 ὄρος. Λύκιος δ' ὁ τὴν τάξιν ἔχων τῶν ἱππέων καὶ Αἰσχίνης ὁ τὴν τάξιν τῶν πελταστῶν τῶν ἀμφὶ Χειρίσοφον, ἐπεὶ ἑώρων ἀνὰ κράτος φεύγοντας, εἵποντο· οἱ δὲ στρατιῶται ἐβόων μὴ ἀπολείπεσθαι, ἀλλὰ
23 συνεκβαίνειν ἐπὶ τὸ ὄρος. Χειρίσοφος δ' αὖ, ἐπεὶ διέβη,

Τοὺς λόχους ὀρθίους] Ἴδε Δ'. β'. 11.

§. 18. *Ἐσφαγιάζοντο εἰς τὸν ποταμόν*] = θυσίας προσέφερον εἰς τοὺς ποταμίους θεούς. Ὁ Ἀριανὸς ἐν ΣΤ'. 3. λέγει, Ἔσπενδεν εἰς τὸν ποταμόν, τόν τε Ἀκεσίνην ξυνεπικαλούμενος τῷ Τδάσπῃ . . καὶ τὸν Ἰνδόν.

§. 19. *Ἀνηλάλαζον*] Ἴδε Α'. η'. 18. *συνωλόλυζον*] μεγαλοφώνως κραυγάζουσαι συμπροσηύχοντο. — Ἑταῖραι] αἱ μὴ νόμιμοι γυναῖκες. Ἴδε Δ'. ά. 14.

§. 20. *Ἔθει . . πάλιν*] = τρέχων ἐπαφήρχετο, ἐπέστρεφεν. — *Ἀνὰ κράτος*] Α'. ί. 15. — *Τὸν κατὰ τὴν ἔκβασιν κτλ.*] ἐννοεῖ τὴν δίοδον, περὶ ἧς λόγον ἐποιήσατο ἐν §. 5.

§. 21. *Ὡς πρὸς τὴν ἀπὸ τοῦ ποταμοῦ ἔκβασιν ἄνω*]=προσποιούμενος ὅτι διευθύνετο πρὸς τὴν ἀπὸ τοῦ ποταμοῦ ἔκβασιν. Ἴδε §. 5. Περὶ δὲ τοῦ ὡς ἴδε Α'. β'. 1. ὡς ἐπὶ τούτους.

§. 22. *Μὴ ἀπολείπεσθαι, ἀλλὰ συνεκβαίνειν*] νὰ μὴ μένωσιν ὀπίσω τῶν ἄλλων, τῶν περὶ Λύκιον καὶ Αἰσχίνην, ἀλλὰ συνεκβάντες ν' ἀναβαίνωσι ταὐτοχρόνως ἐπὶ τὸ ὄρος.

§. 23. *Ἐξέβαινεν ἐπὶ τοὺς ἄνω πολεμίους*]=ἐκβαίνων κατ' ἐκεῖνα τὰ ὑψώματα, ἅτινα κατέβαινον πρὸς τὸν ποταμόν, ὥρμησε κατὰ τῶν ἄνω πολεμίων, δηλαδὴ τῶν πεξῶν, οἵτινες ἦσαν ἀνωτέρω τῶν ἱππέων καὶ ἐφύλαττον τὴν εἰς τὴν Ἀρμενίαν ἔκβασιν. Ἴδε §. 3. καὶ 11.

τοὺς μὲν ἱππέας οὐκ ἐδίωκεν, εὐθὺς δὲ κατὰ τὰς καθηκούσας ὄχθας ἐπὶ τὸν ποταμὸν ἐξέβαινεν ἐπὶ τοὺς ἄνω πολεμίους. οἱ δὲ ἄνω, ὁρῶντες μὲν τοὺς ἑαυτῶν ἱππέας φεύγοντας, ὁρῶντες δ' ὁπλίτας σφίσιν ἐπιόντας, ἐκλείπουσι τὰ ὑπὲρ τοῦ ποταμοῦ ἄκρα. Ξενο- 24
φῶν δ' ἐπεὶ τὰ πέραν ἑώρα καλῶς γιγνόμενα, ἀπεχώρει τὴν ταχίστην πρὸς τὸ διαβαῖνον στράτευμα· καὶ γὰρ οἱ Καρδοῦχοι φανεροὶ ἤδη ἦσαν εἰς τὸ πεδίον καταβαίνοντες ὡς ἐπιθησόμενοι τοῖς τελευταίοις. καὶ 25
Χειρίσοφος μὲν τὰ ἄνω κατεῖχε· Λύκιος δέ, σὺν ὀλίγοις ἐπιχειρήσας ἐπιδιῶξαι, ἔλαβε τῶν σκευοφόρων τὰ ὑπολειπόμενα καὶ μετὰ τούτων ἐσθῆτά τε καλὴν καὶ ἐκπώματα. καὶ τὰ μὲν σκευοφόρα τῶν Ἑλλήνων καὶ ὁ 26
ὄχλος ἀκμὴν διέβαινε· Ξενοφῶν δέ, στρέψας πρὸς τοὺς Καρδούχους, ἀντία τὰ ὅπλα ἔθετο, καὶ παρήγγειλε τοῖς λοχαγοῖς κατ' ἐνωμοτίας ποιήσασθαι ἕκαστον τὸν ἑαυτοῦ λόχον, παρ' ἀσπίδα παραγαγόντας τὴν ἐνωμοτίαν ἐπὶ φάλαγγος, καὶ τοὺς μὲν λοχαγοὺς καὶ τοὺς ἐνωμοτάρχους πρὸς τῶν Καρδούχων εἶναι, οὐραγοὺς δὲ

§. 25. *Ἐσθῆτα*] = ἐσθῆτας. Περιληπτικὸν τὸ ὄνομα.

§. 26. *Ὄχλος*] οἱ ὑπηρέται. Ἴδε Γ'. β'. 27. — *Ἀκμὴν*] = ἀκόμη. — *Ἀντία τὰ ὅπλα ἔθετο*] ἀντιπαρέταξε τοὺς ὁπλίτας κατὰ τῶν Καρδούχων. Ἴδε Α'. έ. 17. — — *Κατ' ἐνωμοτίας ποιήσασθαι*] =ενὰ διαιρέσωσι τοὺς λόχους εἰς ἐνωμοτίας· ἡ δ' ἐνωμοτία τὸ τέταρτον τοῦ λόχου ἐστίν, ἤτοι 25 περίπου ἄνδρες. — *Παρ' ἀσπίδα παραγαγόντας τὴν ἐνωμοτίαν*] = ἀριστερᾷ κλίνασαν ὁδηγοῦντες ἑκάστην ἐνωμοτίαν παραλλήλως ἑκάστῃ. Σημείωσαι δ' ὅτι παρ' ἀσπίδα ἢ ἐπ' ἀσπίδα= ἀριστερᾷ, διότι ἐν τῇ ἀριστερᾷ χειρὶ ἔφερον τὴν ἀσπίδα, ὡς ἐπὶ δόρυ = δεξιᾷ, διότι ἐν τῇ δεξιᾷ χειρὶ ἔφερον τὸ δόρυ. — *Ἐπὶ φάλαγγος*] = κατὰ μέτωπον. Ἴδε Γ'. δ'. 22. *Ἐπειδὴ δὲ, τοῦ Χειρισόφου ἔχοντος τὸ ἥμισυ τοῦ στρατεύματος* (ἴδε §. 15), ὑπελείποντο τῷ Ξενοφῶντι 4000 περίπου στρατιῶται ἢ 40 λόχοι, ἅπας τοῦ Ξενοφῶντος ὁ στρατὸς εἶχε κατὰ μέτωπον μὲν 1000, κατὰ βάθος δὲ 4 ἄνδρας· διότι εἰς 4 ἐνωμοτίας διῃρεῖτο ὁ λόχος.

27 καταστήσασθαι πρὸς τοῦ ποταμοῦ. οἱ δὲ Καρδοῦχοι
ὡς ἑώρων τοὺς ὀπισθοφύλακας τοῦ ὄχλου ψιλουμέ-
νους καὶ ὀλίγους ἤδη φαινομένους, θᾶττον δὴ ἐπῆ-
σαν ὡδάς τινας ᾄδοντες. ὁ δὲ Χειρίσοφος, ἐπεὶ τὰ παρ'
αὐτῷ ἀσφαλῶς εἶχε, πέμπει παρὰ Ξενοφῶντα τοὺς
πελταστὰς καὶ σφενδονήτας καὶ τοξότας καὶ κελεύει
28 ποιεῖν, ὅ τι ἂν παραγγέλλῃ. ἰδὼν δὲ αὐτοὺς διαβαί-
νοντας ὁ Ξενοφῶν, πέμψας ἄγγελον, κελεύει αὐτοῦ μεῖ-
ναι ἐπὶ τοῦ ποταμοῦ, μὴ διαβάντας, ὅταν δ' ἄρξωνται
αὐτοὶ διαβαίνειν, ἐναντίους ἔνθεν καὶ ἔνθεν σφῶν
ἐμβαίνειν, ὡς διαβησομένους, διηγκυλωμένους τοὺς
ἀκοντιστὰς καὶ ἐπιβεβλημένους τοὺς τοξότας· μὴ
29 πρόσω δὲ τοῦ ποταμοῦ προβαίνειν. τοῖς δὲ παρ' ἑαυτῷ
παρήγγειλεν, ἐπειδὰν σφενδόνη ἐξικνῆται καὶ ἀσπὶς
ψοφῇ, παιανίσαντας θεῖν εἰς τοὺς πολεμίους· ἐπειδὰν
δὲ ἀναστρέψωσιν οἱ πολέμιοι καὶ ἐκ τοῦ ποταμοῦ ὁ
σαλπικτὴς σημήνῃ τὸ πολεμικόν, ἀναστρέψαντας ἐπὶ
δόρυ, ἡγεῖσθαι μὲν τοὺς οὐραγούς, θεῖν δὲ πάντας καὶ
διαβαίνειν ὅ τι τάχιστα, ἧ ἕκαστος τὴν τάξιν εἶχεν, ὡς
μὴ ἐμποδίζειν ἀλλήλους· ὅτι οὗτος ἄριστος ἔσοιτο, ὃς
30 ἂν πρῶτος ἐν τῷ πέραν γένηται. οἱ δὲ Καρδοῦχοι

—Οὐραγούς] ἀξιωματικοὺς τεταγμένους νὰ διοικῶσι τὴν οὐρὰν ἤ, ὡς λέγομεν σήμερον, τὴν ὀπισθοφυλακήν.

§. 27. Τοῦ ὄχλου ψιλουμένους] = ἀραιουμένους ἐκ τῆς ἀποχωρήσεως τῶν ὑπηρετῶν μᾶλλον· διότι, ὡς λέγει κατωτέρω, §. 30, πολλοὶ καὶ τῶν μένειν τεταγμένων ᾤχοντο οἱ μὲν ὑποζυγίων, οἱ δὲ σκευῶν, οἱ δ' ἑταιρῶν ἐπιμεληθόμενοι. — Θᾶττον δή] μετὰ μείζονος ἤδη ταχύτητος.

§. 28. Διαβαίνοντας] = διανοουμένους ἢ προτιθεμένους νὰ διαβῶσιν. Ἴδε Α'. γ'. 16. ἐπιδεικνύς. — Διηγκυλωμένους τοὺς ἀκοντιστάς] οἱ μὲν ἀκοντισταὶ τὰς χεῖρας ἐντὸς τῆς ἀγκύλης τοῦ ἀκοντίου ἔχοντες· ἀγκύλη δὲ ὁ ἱμὰς, δι' οὗ οὐ μόνον ἔφερον παρὰ τὸν βραχίονα τὸ ἀκόντιον, ἀλλὰ καὶ ῥιπτόμενον ἀνείλκον αὐτό. — Ἐπιβεβλημένους τοὺς τοξότας] οἱ δὲ τοξόται ἔχοντες τὰ βέλη ἐπὶ τῆς νευρᾶς τοῦ τόξου. — Ἐπὶ δόρυ] δεξιᾷ. Ἴδε §. 26. παρ' ἀσπίδα.

§. 29. Ἧ ἕκαστος τὴν τάξιν εἶχεν]=ἧ ἕκαστος τεταγμένος εἴη, καθ' ἣν ἕκαστος ἤθελεν ἔχει τάξιν. Ἀσ. 378. §. 92. — Ὡς μὴ ἐμποδίζειν] ὥστε νὰ μὴ ἐμποδίζωσιν. Ἀσ. 440. §. 64.

§. 30. Τοὺς λοιποὺς] τοὺς ὑπολειπομένους. — Ἐνταῦθα δή] ἴδε Α'. ἡ. 19.

ὁρῶντες ὀλίγους ἤδη τοὺς λοιποὺς—πολλοὶ γὰρ καὶ
τῶν μένειν τεταγμένων ᾤχοντο ἐπιμεληθόμενοι οἱ μὲν
ὑποζυγίων, οἱ δὲ σκευῶν, οἱ δ' ἑταιρῶν—ἐνταῦθα δὴ
ἐπέκειντο θρασέως καὶ ἤρχοντο σφενδονᾶν καὶ τοξεύ-
ειν. οἱ δὲ Ἕλληνες παιανίσαντες ὥρμησαν δρόμῳ ἐπ' 31
αὐτούς· οἱ δὲ οὐκ ἐδέξαντο· καὶ γὰρ ἦσαν ὡπλισμένοι
ὡς μὲν ἐν τοῖς ὄρεσιν ἱκανῶς πρὸς τὸ ἐπιδραμεῖν καὶ
φεύγειν, πρὸς δὲ τὸ εἰς χεῖρας δέχεσθαι οὐχ ἱκανῶς.
ἐν τούτῳ σημαίνει ὁ σαλπικτής. καὶ οἱ μὲν πολέμιοι 32
ἔφευγον πολὺ ἔτι θᾶττον· οἱ δ' Ἕλληνες τἀναντία
στρέψαντες ἔφευγον διὰ τοῦ ποταμοῦ ὅτι τάχιστα.
τῶν δὲ πολεμίων οἱ μέν τινες, αἰσθόμενοι, πάλιν ἔδρα- 33
μον ἐπὶ τὸν ποταμὸν καὶ τοξεύοντες ὀλίγους ἔτρωσαν,
οἱ δὲ πολλοί, καὶ πέραν ὄντων τῶν Ἑλλήνων, ἔτι φανε-
ροὶ ἦσαν φεύγοντες. οἱ δὲ ὑπαντήσαντες ἀνδριζόμενοι, 34
καὶ προσωτέρω τοῦ καιροῦ προϊόντες, ὕστερον τῶν
μετὰ Ξενοφῶντος διέβησαν πάλιν· καὶ ἐρωθήσάν τι-
νες καὶ τούτων.

δ'. Ἐπεὶ δὲ διέβησαν, συνταξάμενοι ἀμφὶ μέσον ἡμέ- 1
ρας, ἐπορεύθησαν διὰ τῆς Ἀρμενίας πεδίον ἅπαν καὶ
λείους γηλόφους οὐ μεῖον ἢ πέντε παρασάγγας· οὐ
γὰρ ἦσαν ἐγγὺς τοῦ ποταμοῦ κῶμαι διὰ τοὺς πολέμους

§. 31. Οὐκ ἐδέξαντο] Α'. Γ'. 6. —Ὡς μὲν ἐν τοῖς ὄρεσιν] ὡς ὀρεσίβιοι μέν. — Εἰς χεῖρας δέχεσθαι] ἐκ τοῦ συστάδην μάχεσθαι.

§. 32. Τἀναντία στρέψαντες] τὸ συνήθως λεγόμενον τοὔμπαλιν ἀναστρέψαντες = μεταβαλόντες μέτωπον.

§. 33. Καὶ πέραν ὄντων τῶν Ἑλλήνων] εἰ καὶ οἱ Ἕλληνες ἦσαν κατὰ τὴν ἀντιπέραν ὄχθην, εἶχον δηλαδὴ περάσει τὸν ποταμόν.

§. 34. Οἱ δὲ ἀπαντήσαντες]= οἱ ἐλθόντες εἰς βοηθειαν τοῦ Ξενοφῶντος. Ἴδε §. 27. Ἀπαντῶ δὲ ἐν τοῖς στρατιωτικοῖς = πορεύομαι ἵνα βοηθήσω ἢ πολεμήσω τινί. Ἴδε καὶ Β'. δ'. 25. — Καὶ προσωτέρω τοῦ καιροῦ προϊόντες] καὶ περισσότερον παρ' ὅσον τοῖς ἐπέτρεπεν ὁ καιρὸς προχωροῦντες. — Ὕστερον τῶν μετὰ Ξενοφῶντος] ἀργότερον ἐκείνων, οἵτινες ἦσαν μετὰ τοῦ Ξενοφῶντος.

Κεφ. δ'. §. 1. Πεδίον ἅπαν καὶ λείους γηλόφους] ὅλο πεδιάδα καὶ λείους γηλόφους, θὰ ἔλεγεν ἡ κοινή. Παρενθετικῶς τοῦτο. Γήλοφοι δὲ λεῖοι =

2 τοὺς πρὸς τοὺς Καρδούχους. εἰς δὲ ἦν ἀφίκοντο κώ-
μην, μεγάλη τε ἦν καὶ βασίλειον εἶχε τῷ σατράπῃ, καὶ
ἐπὶ ταῖς πλείσταις οἰκίαις τύρσεις ἐπῆσαν· ἐπιτήδεια
3 δ' ἦν δαψιλῆ. ἐντεῦθεν δ' ἐπορεύθησαν σταθμοὺς
δύο παρασάγγας δέκα μέχρι ὑπερῆλθον τὰς πηγὰς
τοῦ Τίγρητος ποταμοῦ. ἐντεῦθεν δ' ἐπορεύθησαν σταθ-
μοὺς τρεῖς παρασάγγας πεντεκαίδεκα ἐπὶ τὸν Τηλε-
βόαν ποταμόν. οὗτος δ' ἦν καλὸς μέν, μέγας δ' οὔ·
4 κῶμαι δὲ πολλαὶ περὶ τὸν ποταμὸν ἦσαν. ὁ δὲ τόπος
οὗτος Ἀρμενία ἐκαλεῖτο ἡ πρὸς ἑσπέραν. ὕπαρχος δ'
ἦν αὐτῆς Τιρίβαζος, ὁ καὶ βασιλεῖ φίλος γενόμενος,
καί, ὁπότε παρείη, οὐδεὶς ἄλλος βασιλέα ἐπὶ τὸν ἵππον
5 ἀνέβαλλεν. οὗτος προσήλασεν ἱππέας ἔχων, καὶ προ-
πέμψας ἑρμηνέα εἶπεν ὅτι βούλοιτο διαλεχθῆναι τοῖς
ἄρχουσι. τοῖς δὲ στρατηγοῖς ἔδοξεν ἀκοῦσαι· καὶ προσ-
6 ελθόντες εἰς ἐπήκοον ἠρώτων τί θέλοι. ὁ δὲ εἶπεν ὅτι
σπείσασθαι βούλοιτο ἐφ' ᾧ μήτε αὐτὸς τοὺς Ἕλληνας
ἀδικεῖν μήτε ἐκείνους κάειν τὰς οἰκίας, λαμβάνειν τε
τἀπιτήδεια ὅσων δέοιντο. ἔδοξε ταῦτα τοῖς στρατηγοῖς
καὶ ἐσπείσαντο ἐπὶ τούτοις.

7 Ἐντεῦθεν δ' ἐπορεύθησαν σταθμοὺς τρεῖς διὰ πε-

οἱ ὁμαλοί.

§. 2. *Εἰς δὲ ἦν ἀφίκοντο κώμην*]=ἡ δὲ κώμη, εἰς ἣν ἀφίκοντο. —*Τῷ σατράπῃ*] Ὀρόντᾳ. Ἴδε Γ'. ε'. 17 καὶ Δ'. γ'. 4. Ἐννοεῖ δὲ τὴν ἀνατολικὴν Ἀρμενίαν· τῆς δὲ δυτικῆς ὕπαρχος ἦν Τιρίβαζος. Ἴδε §. 4. — *Τύρσεις*] ὀχυρώματα, πύργους πολεμικούς· εἶνε δὲ ἡ τύρσις ἢ τύρρις (Λατ. turris) οὐ μόνον ὁ πύργος ἐπὶ τῆς οἰκίας, ἀλλὰ καὶ αὐτὴ ἡ οἰκία καὶ πόλις ὅλη τείχεσι περιβεβλημένη.

§. 3. *Τηλεβόαν*] τὸν σήμερον καλούμενον Καρά-σού· εἶναι δὲ παραποτάμιον τοῦ Εὐφράτου, ὀλίγον μακρὰν τῶν ἀνατολικῶν πηγῶν τοῦ Τίγρητος.

§. 4. *Ὕπαρχος*] διοικητής· διέφερε δὲ τοῦ σατράπου καθ' ὅτι οὗτος μὲν διωρίζετο ὑπὸ τοῦ βασιλέως καὶ ἦτο αὐτοκράτωρ, ὁ δ' ὕπαρχος ὑπὸ τοῦ σατράπου καὶ ὑπεῖκεν αὐτῷ. Ἴδε καὶ Α'. β'. 20. —*Ὁπότε παρείη*] ὁσάκις ἤρχετο. Ἴδε Α'. β'. 2. παρῆσαν εἰς Σάρδεις.

§. 5. *Εἰς ἐπήκοον*] Β'. ε'. 38.

§. 6. *Σπείσασθαι*] μέσ. ἀόρ. τοῦ σπένδομαι. Ἴδε Α'. Θ'. 7. — *Ἐφ' ᾧ*] ἐπὶ τῷ ὅρῳ ᾧ ἢ ἐπὶ τῇ συμφωνίᾳ. Ἴδε Δ'. β'. 18 ἢ 19.

§. 8. *Διασκηνῆσαι . . κατὰ χώρας*] νὰ κατασκηνήσωσι χωριστὰ ἑκάστη τάξις. Ἴδε Α'. ε'. 17.

δίου παρασάγγας πεντεκαίδεκα· καὶ Τιρίβαζος παρη-
κολούθει ἔχων τὴν ἑαυτοῦ δύναμιν ἀπέχων ὡς δέκα
σταδίους· καὶ ἀφίκοντο εἰς βασίλεια καὶ κώμας πέριξ
πολλάς, πολλῶν τῶν ἐπιτηδείων μεστάς. στρατοπεδευ- 8
ομένων δ' αὐτῶν γίγνεται τῆς νυκτὸς χιὼν πολλή·
καὶ ἕωθεν ἔδοξε διασκηνῆσαι τὰς τάξεις καὶ τοὺς στρα-
τηγοὺς κατὰ τὰς κώμας· οὐ γὰρ ἑώρων πολέμιον οὐ-
δένα καὶ ἀσφαλὲς ἐδόκει εἶναι διὰ τὸ πλῆθος τῆς χιό-
νος. ἐνταῦθα εἶχον πάντα τὰ ἐπιτήδεια, ὅσα ἐστὶν 9
ἀγαθά, ἱερεῖα, σῖτον, οἴνους παλαιοὺς εὐώδεις, ἀστα-
φίδας, ὄσπρια παντοδαπά. τῶν δὲ ἀποσκεδαννυμένων
τινὲς ἀπὸ τοῦ στρατοπέδου ἔλεγον, ὅτι κατίδοιεν στρά-
τευμα καὶ νύκτωρ πολλὰ πυρὰ φαίνοιτο. ἐδόκει δὴ 10
τοῖς στρατηγοῖς οὐκ ἀσφαλὲς εἶναι διασκηνοῦν, ἀλλὰ
συναγαγεῖν τὸ στράτευμα πάλιν. ἐντεῦθεν συνῆλθον·
καὶ γὰρ ἐδόκει συναιθριάζειν. νυκτερευόντων δ' αὐτῶν 11
ἐνταῦθ' ἐπιπίπτει χιὼν ἄπλετος, ὥστε ἀπέκρυψε καὶ
τὰ ὅπλα καὶ τοὺς ἀνθρώπους κατακειμένους· καὶ τὰ
ὑποζύγια συνεπόδισεν ἡ χιών· καὶ πολὺς ὄκνος ἦν
ἀνίστασθαι· κατακειμένων γὰρ ἀλεεινὸν ἦν ἡ χιὼν
ἐπιπεπτωκυῖα, ὅτῳ μὴ παρορρυείη. ἐπεὶ δὲ Ξενοφῶν 12
ἐτόλμησε γυμνὸς ἀναστὰς σχίζειν ξύλα, τάχ' ἂν ἀναστας
τις καὶ ἄλλος, ἐκείνου ἀφελόμενος, ἔσχιζεν. ἐκ δὲ τού-

κατὰ χώραν ἔθεντο τὰ ὅπλα.

§. 9. *Ἀγαθὰ*] χρήσιμα· σημειοῦσι δ' οἱ ἀρχαῖοι ὅτι ἐπὶ τῶν πρὸς ἀπόλαυσιν καὶ εὐτυχίαν οἰτίων καὶ ποτῶν ἐχρήσατο Ξενοφῶν τῇ λέξει.— *Ἱερεῖα*] τὰ πρὸς θυσίαν κατάλληλα ζῶα.

§. 10. *Συναιθριάζειν*] αἴθρια νὰ γίνηται.

§. 11. *Ἄπλετος*] καὶ Ἀττικώτερον ἄπλατος (ἐκ τοῦ πελάζω (πλησιάζω) = ἀπροσπέλαστος, ἄφθονος, ὑπερβάλλουσα. — *Συνεπόδισεν*] ἐδέσμευσεν, ἔδεσε τοὺς πόδας των. —Καὶ πολὺς ὄκνος ἦν ἀνίστασθαι] = ἔτι δὲ ὤκνουν πολὺ νὰ σηκωθῶσιν. — Κατακειμένων γὰρ κτλ.] = ἐκείνῳ γὰρ τῶν κατακειμένων, ᾧ τινι μὴ παρορρυείη ἡ χιών, ἀλεεινὸν ἦν (ἡ χιὼν) = εἰς τοὺς καλῶς σκεπασμένους ἐκ τῆς χιόνος παρεῖχεν αὕτη θερμότητα. Παρορρέω = κατολισθαίνω, ἐνταῦθα.

§. 12. *Ἐτόλμησε*] ἀπεκότησεν, ὡς λέγει ἡ κοινή, ἢ ἔκαμε ἀπόφασιν. — *Τάχ' ἄν*] διὰ τοῦτο βεβαίως, ἢ διὰ τοῦτο πιθανῶς. Ταύτην τὴν σημασίαν ἔχει τὸ τάχα μετὰ τοῦ ἄν, ἐν ᾧ ἁπλοῦν τὸ τάχα = ταχέως.

του καὶ οἱ ἄλλοι ἀναστάντες πῦρ ἔκαον καὶ ἐχρίοντο·
13 πολὺ γὰρ ἐνταῦθα ηὑρίσκετο χρῖμα, ᾧ ἐχρῶντο ἀντ' ἐλαίου, σύειον καὶ σησάμινον καὶ ἀμυγδάλινον ἐκ τῶν πικρῶν καὶ τερμίνθινον. ἐκ δὲ τῶν αὐτῶν τούτων καὶ μύρον ηὑρίσκετο.
14 Μετὰ ταῦτα ἐδόκει πάλιν διασκηνητέον εἶναι εἰς τὰς κώμας εἰς στέγας. ἔνθα δὴ οἱ στρατιῶται σὺν πολλῇ κραυγῇ καὶ ἡδονῇ ἦσαν ἐπὶ τὰς στέγας καὶ τὰ ἐπιτήδεια· ὅσοι δέ, ὅτε τὸ πρότερον ἀπῆσαν, τὰς οἰκίας ἐνέπρησαν ὑπὸ ἀτασθαλίας δίκην ἐδίδοσαν κακῶς
15 σκηνοῦντες. ἐντεῦθεν ἔπεμψαν νυκτὸς Δημοκράτην Τεμενίτην ἄνδρας δόντες ἐπὶ τὰ ὄρη, ἔνθα ἔφασαν οἱ ἀποσκεδαννύμενοι καθορᾶν τὰ πυρά· οὗτος γὰρ ἐδόκει καὶ πρότερον πολλὰ ἤδη ἀληθεῦσαι τοιαῦτα, τὰ
16 ὄντα τε ὡς ὄντα καὶ τὰ μὴ ὄντα ὡς οὐκ ὄντα. πορευθεὶς δὲ τὰ μὲν πυρὰ οὐκ ἔφη ἰδεῖν, ἄνδρα δὲ συλλαβὼν ἦκεν ἄγων ἔχοντα τόξον Περσικὸν καὶ φαρέτραν καὶ
17 σάγαριν, οἵανπερ καὶ Ἀμαζόνες ἔχουσιν. ἐρωτώμενος δὲ ποδαπὸς εἴη, Πέρσης μὲν ἔφη εἶναι, πορεύεσθαι δ' ἀπὸ τοῦ Τιριβάζου στρατεύματος, ὅπως ἐπιτήδεια λάβοι. οἱ δ' ἠρώτων αὐτὸν τὸ στράτευμα ὁπόσον τε εἴη

§. 13. *Τερεβίνθινον*] τῆς τερεβίνθου· τερέβινθος δὲ, ἐξ ἧς ἡ τρεμεντίνα, = τσικουδιά. — *Ὑπὸ τῆς αἰθρίας*] = ἐν ὑπαίθρῳ, ἑπομένως ὑπὸ τὴν ἐπήρειαν τοῦ ψύχους. Προσδιορίζει δὲ τὸ κακῶς σκηνοῦντες. — *Δίκην ἐδίδοσαν*] Γ. Σ. ΣΤ'.

§. 15. *Τεμενίτην*] ἐκ Τεμένους τμήματος τῶν Συρακουσῶν. Ἄλλοι ὁμως γράφουσι Τημενίτην, ἐκ Τημενίου 26 σταδίους ἀπέχοντος τοῦ Ἄργους. — *Πολλὰ ἤδη ἀληθεῦσαι τοιαῦτα, τὰ ὄντα τε κτλ.*] = πολλὰ μέχρι τοῦ νῦν τοιούτου εἴδους μετὰ θρησκευτικῆς εὐλαβείας ἐξέθηκε, καὶ τἀληθῆ ὡς ἀληθῆ λέγων καὶ τὰ ψευδῆ ὡς ψευδῆ. Ἴδε καὶ Ζ'. ξ'. 25.

§. 16. *Τόξον περσικὸν*] Γ'. δ'. 17. — *Σάγαριν*] ὁ ἄλλως λεγόμενος Σκυθικὸς πέλεκυς. — *Ἀμαζόνες*] μυθικὸν γένος γυναικῶν κατοικοῦν παρὰ τὸν Θερμώδοντα, ποταμὸν τῆς Καππαδοκίας.

§. 17. *Ποδαπὸς εἴη*] ποία εἶναι ἡ πατρίς του. Περὶ δὲ τῆς εὐκτικῆς εἴη ἴδε Ἀσ. 363. 41. — *Οἱ δὲ ἠρώτων αὐτὸν τὸ στράτευμα ὁπόσον κτλ.*] = οἱ δὲ ἠρώτων αὐτὸν, ὁπόσον τε τὸ στράτευμα εἴη. Ἴδε Α'. ς'. 5. *Ἐξήγγειλε τὴν κρίσιν ὡς ἐγένετο.* — *Ἐπὶ τίνι*] μὲ ποίαν πρόθεσιν, μὲ τίνα σκοπόν. Ἀσ. 620. 139.

καὶ ἐπὶ τίνι συνειλεγμένον. ὁ δὲ εἶπεν ὅτι Τιρίβαζος 18
εἴη ἔχων τήν τε ἑαυτοῦ δύναμιν καὶ μισθοφόρους Χάλυβας καὶ Ταόχους· παρεσκευάσθαι δὲ αὐτὸν ἔφη ὡς ἐπὶ τῇ ὑπερβολῇ τοῦ ὄρους ἐν τοῖς στενοῖς, ἧπερ μοναχῇ εἴη πορεία, ἐνταῦθα ἐπιθησόμενον τοῖς Ἕλλησιν. ἀκούσασι τοῖς στρατηγοῖς ταῦτα ἔδοξε τὸ στράτευμα 19
συναγαγεῖν· καὶ εὐθὺς φύλακας καταλιπόντες καὶ στρατηγὸν ἐπὶ τοῖς μένουσι Σοφαίνετον Στυμφάλιον ἐπορεύοντο ἔχοντες ἡγεμόνα τὸν ἁλόντα ἄνθρωπον. ἐπειδὴ δὲ ὑπερέβαλλον τὰ ὄρη, οἱ πελτασταὶ προϊόν- 20
τες καὶ κατιδόντες τὸ στρατόπεδον οὐκ ἔμειναν τοὺς ὁπλίτας, ἀλλ' ἀνακραγόντες ἔθεον ἐπὶ τὸ στρατόπεδον. οἱ δὲ βάρβαροι ἀκούσαντες τὸν θόρυβον οὐχ ὑπέμει- 21
ναν, ἀλλ' ἔφευγον· ὅμως δὲ καὶ ἀπέθανόν τινες τῶν βαρβάρων καὶ ἵπποι ἥλωσαν εἰς εἴκοσι καὶ ἡ σκηνὴ ἡ Τιριβάζου ἑάλω καὶ ἐν αὐτῇ κλῖναι ἀργυρόποδες καὶ ἐκπώματα καὶ οἱ ἀρτοκόποι καὶ οἱ οἰνοχόοι φάσκοντες εἶναι. ἐπειδὴ δὲ ἐπύθοντο ταῦτα οἱ τῶν ὁπλιτῶν στρατηγοί, ἐδόκει αὐτοῖς ἀπιέναι τὴν ταχίστην ἐπὶ τὸ στρατόπεδον, μή τις ἐπίθεσις γένοιτο τοῖς καταλελειμμένοις. καὶ εὐθύς, ἀνακαλεσάμενοι τῇ σάλπιγγι, ἀπῆσαν, καὶ ἀφίκοντο αὐθημερὸν ἐπὶ τὸ στρατόπεδον.

ε'. Τῇ δ' ὑστεραίᾳ ἐδόκει πορευτέον εἶναι ὅπῃ δύ- 1
ναιντο τάχιστα πρὶν συλλεγῆναι τὸ στράτευμα πάλιν καὶ καταλαβεῖν τὰ στενά. συσκευασάμενοι δ' εὐθὺς

§. 18. *Χάλυβας*] ἴδε Δ'. γ'. 4. *Χαλδαῖοι*. — *Ταόχους*] μεταξὺ Ἀρμενίας καὶ Πόντου. — *Ὡς ἐπιθησόμενον*] Ἴδε Α'. α'. 3. *ὡς ἀποκτενῶν*. — *Ἧπερ μοναχῇ*] = ὅπου μοναχά, ὡς λέγει ἡ κοινή, ἢ ὅπου καὶ μόνον.

§. 20. *Τὸ στρατόπεδον*] τῶν πολεμίων. — *Οὐκ ἔμειναν*] δὲν ἐπερίμειναν.

§. 21. *Ἦλωσαν*] ἁόρ. β'. τοῦ ἁλίσκομαι· ὁ αὐτὸς λέγεται καὶ ἑάλων, ὡς κατωτέρω. — *Καὶ οἱ ἀρτοκόποι καὶ οἱ οἰνοχόοι φάσκοντες εἶναι*] = καὶ οἱ φάσκοντες εἶναι ἀρτοκόποι καὶ οἰνοχόοι.

§. 22. *Ἀπιέναι. . ἐπὶ τὸ στρατόπεδον*] ἐννοεῖ τὸ ἑλληνικόν, οὗ στρατηγὸς κατελείφθη ὁ Σοφαίνετος. Ἴδε §. 19. — *Ἀνακαλεσάμενοι τῇ σαλπιγγι*] σαλπίσαντες ὀπισθοχώρησιν=συγκαλέσαντες διὰ τῆς σάλπιγγος τοὺς ἐσκεδασμένους.

Κεφ. ε'. §. 1. *Πρὶν ἢ συλλεγῆναι*] Ἴδε Ἀσ. 443. 73. Τὸ δὲ ἢ μετὰ τοῦ πρίν, εἰ καὶ σπάνιον, εὑρηται ἐνιαχοῦ, ὡς ἐν Ξενοφ.

ἐπορεύοντο διὰ χιόνος πολλῆς ἡγεμόνας ἔχοντες πολλούς· καὶ αὐθημερὸν ὑπερβαλόντες τὸ ἄκρον, ἐφ' ᾧ ἔμελλεν ἐπιτίθεσθαι Τιρίβαζος, κατεστρατοπεδεύσαντο. ἐντεῦθεν δ' ἐπορεύθησαν σταθμοὺς ἑρήμους τρεῖς
2 παρασάγγας πεντεκαίδεκα ἐπὶ τὸν Εὐφράτην ποταμόν, καὶ διέβαινον αὐτὸν βρεχόμενοι πρὸς τὸν ὀμφαλόν. ἐλέγοντο δὲ αὐτοῦ αἱ πηγαὶ οὐ πρόσω εἶναι. ἐν-
3 τεῦθεν ἐπορεύοντο διὰ χιόνος πολλῆς καὶ πεδίου σταθμοὺς τρεῖς παρασάγγας πέντε. ὁ δὲ τρίτος ἐγένετο χαλεπὸς καὶ ἄνεμος βορρᾶς ἐναντίος ἔπνει παντάπασιν ἀποκάων πάντα καὶ πηγνὺς τοὺς ἀνθρώπους. ἔνθα δὴ
4 τῶν μάντεών τις εἶπε σφαγιάσασθαι τῷ ἀνέμῳ· καὶ σφαγιάζεται· καὶ πᾶσι δὴ περιφανῶς ἔδοξε λῆξαι τὸ χαλεπὸν τοῦ πνεύματος. ἦν δὲ τῆς χιόνος τὸ βάθος ὀργυιά· ὥστε καὶ τῶν ὑποζυγίων καὶ τῶν ἀνδραπόδων πολλὰ ἀπώλετο καὶ τῶν στρατιωτῶν ὡς τριάκοντα. διεγένοντο δὲ τὴν νύκτα πῦρ κάοντες· ξύλα δ' ἦν ἐν
5 τῷ σταθμῷ πολλά· οἱ δὲ ὀψὲ προσιόντες ξύλα οὐκ εἶχον. οἱ οὖν πάλαι ἥκοντες καὶ πῦρ κάοντες οὐ προσ-

Κ. Π. Α'. δ'. 23 καὶ *Ἀγησιλ.* Β'. 4.

§. 2. *Εὐφράτην*] ἐννοεῖ τὸν ἀνατολικώτερον βραχίονα τοῦ Εὐφράτου, ὅστις διέρχεται βαρειότερον τῶν πηγῶν τοῦ Τίγρητος. — *Πρὸς τὸν ὀμφαλὸν*] ἕως τοῦ ὀμφαλοῦ. *Κυρίως τὸ βρέχον ὕδωρ διευθύνετο πρὸς τὸν ὀμφαλόν. Ἡ κοινὴ θὰ ἔλεγε, Κοντὰ εἰς τὸν ὀμφαλόν.*

§. 3. *Παντάπασιν ἀποκάων*] καθ' ὁλοκληρίαν παγόνων ἢ ἀποξηραίνων· ἐν Ζ. δ'. 3. λέγει, *ῥῖνες ἀπεκάοντο καὶ ὦτα* = ἐξεπάγιαζαν, ἐπομένως ἔπεφταν, ὡς λέγει ἡ κοινή. *Κατωτέρω λέγει σεσηπότες ὑπὸ τοῦ ψύχους*, §. 12.

§. 4. *Σφαγιάσασθαι*] *Ἴδε Δ'.* γ'. 18.

§. 5. *Διεγένοντο κάοντες*] Γ. Σ. Δ'. — *Οἱ πάλαι . . ἥκοντες*] οἱ πρότερον ἐλθόντες· διότι πάλαι εἶναι οὐ μόνον τὸ πρὸ πολλοῦ χρόνου, ἀλλὰ καὶ τὸ πρὸ ὀλίγου γενόμενον ἐνίοτε. — *Οὐ προσίεσαν εἰς τὸ πῦρ τοὺς ὀψίζοντας*] = δὲν ἐπλησίαζαν ἢ δὲν ἄφινον νὰ πλησιάζωσιν εἰς τὸ πῦρ τοὺς ὀψὲ (ἀργὰ) ἐρχομένους· ἔχει δ' ἐνταῦθα τὸ προσιέναι, ὡς καὶ τὸ ἡμέτερον πλησιάζειν, μεταβατικὴν σημασίαν. *Ἀσ.* 237. 4. — *Εἰ μὴ μεταδοῖεν αὐτοῖς πυρούς*] ἀντὶ οὐ πρότερον προσίεσαν.. τοὺς ὀψίζοντας, πρὶν μετέδωκαν αὐτοῖς πυρῶν. *Περὶ δὲ τοῦ μεταδιδόναι τινί τινος ἢ τινί τι ἴδε Ἀσ.* 268 γ'. — *Εἴ τι ἔχοιεν*] = ὅ τι ἔχοιεν. *Ἴδε Β'.* α'. 8. *Περὶ δὲ τῆς εὐκτικῆς ἴδε*

ἴεσαν πρὸς τὸ πῦρ τοὺς ὀψίζοντας, εἰ μὴ μεταδοῖεν αὐτοῖς πυροὺς ἢ ἄλλο εἴ τι ἔχοιεν βρωτόν. ἔνθα δὴ 6 *μετεδίδοσαν ἀλλήλοις ὧν εἶχον ἕκαστοι. ἔνθα δὲ τὸ πῦρ ἐκάετο, διατηκομένης τῆς χιόνος, βόθροι ἐγίγνοντο μεγάλοι ἔς τε ἐπὶ τὸ δάπεδον· οὗ δὴ παρῆν μετρεῖν τὸ βάθος τῆς χιόνος. ἐντεῦθεν δὲ τὴν ἐπιοῦσαν ἡμέραν* 7 *ὅλην ἐπορεύοντο διὰ χιόνος, καὶ πολλοὶ τῶν ἀνθρώπων ἐβουλιμίασαν. Ξενοφῶν δ' ὀπισθοφυλακῶν καὶ καταλαμβάνων τοὺς πίπτοντας τῶν ἀνθρώπων ἠγνόει ὅ τι τὸ πάθος εἴη. ἐπειδὴ δὲ εἶπέ τις αὐτῷ τῶν ἐμπεί-* 8 *ρων, ὅτι σαφῶς βουλιμιῶσι κἄν τι φάγωσιν ἀναστήσονται, περιὼν περὶ τὰ ὑποζύγια, εἴ πού τι ὁρᾷ βρωτόν, διεδίδου καὶ διέπεμπε διδόντας τοὺς δυναμένους παρατρέχειν τοῖς βουλιμιῶσιν. ἐπειδὴ δέ τι ἐμ-* 9 *φάγοιεν, ἀνίσταντο καὶ ἐπορεύοντο. πορευομένων δέ, Χειρίσοφος μὲν ἀμφὶ κνέφας πρὸς κώμην ἀφικνεῖται, καὶ ὑδροφορούσας ἐκ τῆς κώμης πρὸς τῇ κρήνῃ γυναῖκας καὶ κόρας καταλαμβάνει ἔμπροσθεν τοῦ ἐρύματος. αὗται ἠρώτων αὐτούς, τίνες εἶεν. ὁ δ' ἑρμηνεὺς* 10 *εἶπε περσιστί, ὅτι παρὰ βασιλέως πορεύονται πρὸς τὸν σατράπην. αἱ δὲ ἀπεκρίναντο, ὅτι οὐκ ἐνταῦθα εἴη, ἀλλ' ἀπέχει ὅσον παρασάγγην. οἱ δ', ἐπεὶ ὀψὲ ἦν,*

Γ. Σ. Γ'.

§. 6. *Ἔνθα δὴ*] Γ'. γ'. 4.—*Ὧν εἶχον ἕκαστος*] τούτων, ἃ εἶχον ἕκαστος. *Α'.* α'. 8 *ὧν Τισσαφ.* — *Ἔς τε ἐπὶ τὸ δάπεδον*] ἕως εἰς τὸ ἔδαφος τῆς γῆς· οὐχὶ δὲ σπανίως ἀπαντῶσι τὰ ἔς τε ἐπὶ, *μέχρις ἐπί, μέχρι εἰς, ἄχρι εἰς. Ἴδε ΣΤ'.* δ'. 26, Ε'. α'. 1, Ε'. ς'. 2, Ε. ε'. 4.—*οὗ*] = ἐκ τούτου ἢ διὰ τούτου. *Ἀσ.* 220. 59. — *Παρῆν*] εὔκολον ἦτο. *Ταύτην τὴν σημασίαν ἔχει πάντοτε τὸ πάρεστιν, ἀπροσώπως λεγόμενον.*

§ 7. *Ἐβουλιμίασαν*] ἔπαθον ἐξ ὑπερβολικῆς πείνης· διότι βουλιμία = ὑπερβολικὴ πεῖνα καὶ πάθος ἐξ αὐτῆς προερχόμενον.

§. 8. *Διεδίδου κτλ.*] = διεδίδου τοῖς δυναμένοις παρατρέχειν καὶ διέπεμπεν αὐτοὺς διδόντας, σημαίνει δὲ ἡ διὰ τὸ ἔνθεν κακεῖθεν ἢ διανομήν. — *Διδόντας*] ἵνα δώσωσιν ἢ ἵνα δίδωσιν. *Ἀσ.* 533. 144. — *Ἐπειδή τι ἐμφάγοιεν*] *Ἀφοῦ δ' ἔτρωγον. Ἴδε Γ. Σ. Γ'. Δ'. Τὸ δ' ἐντρώγω* = βιαστικὰ τρώγω καὶ κοινότερον χάφτω.

§. 9. *Τοῦ Ἐρύματος*] *Α'.* ζ'. 16.

§. 10. *Ὅτι οὐκ εἴη, ἀλλ' ἀπέχει*] *Ἴδε Β'.* α'. 3. *Ἔλεγον ὅτι τέθνηκε.* — *Ὅσον παρασάγγην*] *Α'.* ή. 6. *ὅσον ἑξακόσιοι. Περὶ δὲ τοῦ παρασάγγου*

πρὸς τὸν κωμάρχην συνεισέρχονται εἰς τὸ ἔρυμα σὺν
11 ταῖς ὑδροφόροις. Χειρίσοφος μὲν οὖν καὶ ὅσοι ἐδυνήθησαν τοῦ στρατεύματος ἐνταῦθα ἐστρατοπεδεύσαντο, τῶν δ' ἄλλων στρατιωτῶν οἱ μὴ δυνάμενοι διατελέσαι τὴν ὁδὸν ἐνυκτέρευσαν ἄσιτοι καὶ ἄνευ πυρός· καὶ
12 ἐνταῦθά τινες ἀπώλοντο τῶν στρατιωτῶν. ἐφείποντο δὲ τῶν πολεμίων συνειλεγμένοι τινὲς καὶ τὰ μὴ δυνάμενα τῶν ὑποζυγίων ἥρπαζον καὶ ἀλλήλοις ἐμάχοντο περὶ αὐτῶν. ἐλείποντο δὲ τῶν στρατιωτῶν οἵ τε διεφθαρμένοι ὑπὸ τῆς χιόνος τοὺς ὀφθαλμοὺς οἵ τε ἀπὸ τοῦ ψύχους τοὺς δακτύλους τῶν ποδῶν ἀποσεση-
13 πότες. ἦν δὲ τοῖς μὲν ὀφθαλμοῖς ἐπικούρημα τῆς χιόνος εἴ τις μέλαν τι ἔχων πρὸ τῶν ὀφθαλμῶν ἐπορεύετο, τῶν δὲ ποδῶν εἴ τις κινοῖτο καὶ μηδέποτε ἡσυχίαν ἄγοι
14 καὶ εἰ τὴν νύκτα ὑπολύοιτο· ὅσοι δὲ ὑποδεδεμένοι ἐκοιμῶντο, εἰσεδύοντο εἰς τοὺς πόδας οἱ ἱμάντες καὶ τὰ ὑποδήματα περιεπήγνυτο· καὶ γὰρ ἦσαν, ἐπειδὴ ἐπέλιπε τὰ ἀρχαῖα ὑποδήματα, καρβάτιναι πεποιη-
15 μέναι ἐκ τῶν νεοδάρτων βοῶν. διὰ τὰς τοιαύτας

ἴδε Α'. β'. 5.

§. 11. *Διατελέσαι τὴν ὁδὸν*] Α'. ε'. 7.

§. 12. *Τὰ μὴ δυνάμενα*] βαδίζειν. — *Οἱ διεφθαρμένοι τοὺς ὀφθαλμούς . . οἱ τοὺς δακτύλους ἀποσεσηπότες*] ὅσων ἡ ὥρασις ἐβλάβη ἐκ τῆς χιόνος καὶ ὅσων οἱ δάκτυλοι ἐξεπάγιασαν καὶ ἔπεσαν. Ἴδε ἀνωτέρω, §. 3, *παντάπασιν ἀποκάων*.

§. 13. *Ἦν τοῖς ὀφθαλμοῖς ἐπικούρημα . . , εἴ τις* (= ὅστις. Ἴδε Β'. α'. 8.) *πορεύοιτο*] = εἶχον οἱ ὀφθαλμοὶ ἐκείνου, ὅστις ἐπορεύετο κτλ. ἐπικούρημα κατὰ τῆς χιόνος. Ἐπικούρημα δὲ ἦτο τὸ νὰ ἔχῃ πορευόμενος μέλαν τι πρὸ τῶν ὀφθαλμῶν. Ἄρα τὸ ὅλον = οἱ μὲν πάσχοντες τοὺς ὀφθαλμοὺς ὠφελοῦντο, ἂν πορευόμενοι εἶχον πρὸ τῶν ὀφθαλμῶν μέλαν τι, οἱ δὲ πάσχοντες τοὺς πόδας, ἂν ἐκινοῦντο κτλ. — *Ὑπολύοιτο*] ἐξέβαλε τὰ ὑποδήματά του. Εἶναι δὲ τὸ *ὑπολύεσθαι* ἀντίθετον τοῦ *ὑποδέεσθαι* = φορῶ τὰ ὑποδήματά μου· διότι, ὅτε μὲν ὑπεδέοντο, ἔδενον τὰ ὑποδήματα μὲ τοὺς ἱμάντας, ὅτε δὲ ἐξέβαλον, ἔλυον αὐτούς.

§. 14. *Καρβάτιναι*] τσαρούχια, ὁποῖα καὶ τὰ νῦν ἔχουσιν οἱ γεωργοὶ καὶ ποιμένες.

§. 15. *Ἀνάγκας*] ταλαιπωρίας· διότι ἀνάγκη οὐ μόνον τὸ ἐκ τῶν ἂν οὐκ ἄνευ, ἀλλὰ καὶ πᾶν ὅ τι ἠθικῶς ἢ ὑλικῶς περιορίζει τὴν ἡμετέραν θέλησιν, οἷα αἱ παθήσεις, τὸ δεσμωτήριον κτλ. — *Ἦν ἀτμίζουσα*] ἤτ-

οὖν ἀνάγκας ὑπελείποντό τινες τῶν στρατιωτῶν· καὶ ἰδόντες μέλαν τι χωρίον διὰ τὸ ἐκλελοιπέναι αὐτόθι τὴν χιόνα, εἴκαζον τετηκέναι· καὶ ἐτετήκει διά κρήνην τινά, ἢ πλησίον ἦν ἀτμίζουσα ἐν νάπῃ. ἐνταῦθ' ἐκ-
16 ταπόμενοι ἐκάθηντο καὶ οὐκ ἔφασαν πορεύσεσθαι. ὁ δὲ Ξενοφῶν ἔχων ὀπισθοφύλακας, ὡς ἤσθετο, ἐδεῖτο αὐτῶν πάσῃ τέχνῃ καὶ μηχανῇ μὴ ἀπολείπεσθαι, λέγων ὅτι ἕπονται πολλοὶ πολέμιοι συνειλεγμένοι, καὶ τελευ-
17 τῶν ἐχαλέπαινεν. οἱ δὲ σφάττειν ἐκέλευον· οὐ γὰρ ἂν δύνασθαι πορευθῆναι. ἐνταῦθα ἔδοξε κράτιστον εἶναι τοὺς ἑπομένους πολεμίους φοβῆσαι, εἴ τις δύ-
18 ναιτο, μὴ ἐπίοιεν τοῖς κάμνουσι. καὶ ἦν μὲν σκότος ἤδη, οἱ δὲ προσῆσαν πολλῷ θορύβῳ ἀμφὶ ὧν εἶχον διαφερόμενοι. ἔνθα δὴ οἱ μὲν ὀπισθοφύλακες, ἅτε ὑγιαίνοντες, ἐξαναστάντες ἔδραμον εἰς τοὺς πολεμίους· οἱ δὲ κάμνοντες, ἀνακραγόντες ὅσον ἐδύναντο μέγιστον, τὰς ἀσπίδας πρὸς τὰ δόρατα ἔκρουσαν. οἱ δὲ πο-
19 λέμιοι δείσαντες ἦκαν ἑαυτοὺς κατὰ τῆς χιόνος εἰς τὴν νάπην, καὶ οὐδεὶς ἔτι οὐδαμοῦ ἐφθέγξατο. καὶ Ξενοφῶν μὲν καὶ οἱ σὺν αὐτῷ εἰπόντες τοῖς ἀσθενοῦσιν, ὅτι τῇ ὑστεραίᾳ ἥξουσί τινες ἐπ' αὐτούς, πορευόμενοι, πρὶν τέτταρα στάδια διελθεῖν, ἐντυγχάνουσιν ἐν τῇ

μιζεν, ἀνέδιδεν ὑδατμούς. Φυσικὸν τὸ φαινόμενον. — *Ἐκτραπόμενοι*] παρεκκλίναντες, τραπέντες δηλαδὴ ἐκ τῆς ὁδοῦ πρὸς τὴν παρακειμένην κρήνην. — *Οὐκ ἔφασαν*] ἠρνοῦντο, ἀπεποιοῦντο.

§. 16. *Ἐχαλέπαινεν*] Α'. δ'. 12. — *Σφάζειν ἐκέλευον*] τὸν παρεκάλουν νὰ τοὺς σφάξῃ (μᾶλλον παρὰ νὰ τοὺς βιάζῃ νὰ προχωρήσωσι).

§. 17. *Εἴτις δύναιτο*] ὅστις δύναιτο. Β'. α'. 8. — *Τοῖς κάμνουσι*] τοῖς ἀσθενοῦσιν, ὡς λέγει κατωτέρω, §. 19. *Κάμνω* δὲ = ἀπαυδῶ καὶ ἀσθενῶ. Τὸ πρῶτον ἡμεῖς λέγομεν καὶ ἀποκάμνω. — *Οἱ δὲ*] πολέμιοι. — *Ἀμφὶ ὧν εἶχον διαφερόμενοι*] μαχόμενοι ὑπὲρ τῶν ἀγαθῶν, ἃ εἶχον (οἱ Ἕλληνες) = ζητοῦντες νὰ λαφυραγωγήσωσι τοὺς Ἕλληνας. Περὶ τοῦ ὧν εἶχον ἴδε Α'. ά. 8. *Τισσαφέρνης*. Περὶ δὲ τοῦ ἀμφὶ ἴδε Ἀσ. 611. 104.

§. 18. *Τὰς ἀσπίδας πρὸς τὰ δόρατα κρούσαντες*] ἵνα πτοήσωσι τοὺς πολεμίους. Τόσος δὲ ἦτο ὁ ἀπὸ τῶν ἀσπίδων κρότος, ὥστε δι' αὐτοῦ ἠμιλλᾶτο καὶ πρὸς τὸν Δία περὶ βροντῆς ὁ Romulus Silvius.

§ 19. *Ἐπ' αὐτούς*] = ἵνα ἀναλάβωσιν ἢ παραλάβωσιν αὐ-

ὁδῷ ἀναπαυομένοις ἐπὶ τῆς χιόνος τοῖς στρατιώταις ἐγκεκαλυμμένοις, καὶ οὐδὲ φυλακὴ οὐδεμία καθειστήκει· καὶ ἀνίστασαν αὐτούς. οἱ δ' ἔλεγον, ὅτι οἱ ἔμπροσθεν οὐχ ὑποχωροῖεν. ὁ δὲ παριὼν καὶ παραπέμπων τῶν πελταστῶν τοὺς ἰσχυροτάτους ἐκέλευε σκέψασθαι τί εἴη τὸ κωλῦον. οἱ δὲ ἀπήγγελον, ὅτι ὅλον οὕτως ἀναπαύοιτο τὸ στράτευμα. ἐνταῦθα καὶ οἱ ἀμφὶ Ξενοφῶντα ηὐλίσθησαν αὐτοῦ ἄνευ πυρὸς καὶ ἄδειπνοι, φυλακὰς οἵας ἐδύναντο καταστησάμενοι. ἐπεὶ δὲ πρὸς ἡμέραν ἦν, ὁ μὲν Ξενοφῶν πέμψας πρὸς τοὺς ἀσθενοῦντας τοὺς νεωτάτους ἀναστήσαντας ἐκέλευεν ἀναγκάζειν προϊέναι. ἐν δὲ τούτῳ Χειρίσοφος πέμπει τῶν ἐκ τῆς κώμης σκεψομένους πῶς ἔχοιεν οἱ τελευταῖοι. οἱ δὲ ἄσμενοι ἰδόντες τοὺς μὲν ἀσθενοῦντας τούτοις παρέδοσαν κομίζειν ἐπὶ τὸ στρατόπεδον, αὐτοὶ δὲ ἐπορεύοντο, καὶ πρὶν εἰκοσι στάδια διεληλυθέναι ἦσαν πρὸς τῇ κώμῃ, ἔνθα Χειρίσοφος ηὐλίζετο. ἐπεὶ δὲ συνεγένοντο ἀλλήλοις, ἔδοξε κατὰ τὰς κώμας ἀσφαλὲς εἶναι τὰς τάξεις σκηνοῦν. καὶ Χειρίσοφος μὲν αὐτοῦ ἔμενεν· οἱ δὲ ἄλλοι, διαλαχόντες ἃς ἑῴρων κώμας, ἐπορεύοντο ἕκαστοι τοὺς ἑαυτῶν ἔχοντες. ἔνθα δὴ Πολυκράτης Ἀθηναῖος λοχαγὸς ἐκέλευσεν ἀφιέναι ἑαυτόν· καὶ λαβὼν τοὺς εὐζώνους, θέων ἐπὶ τὴν κώμην, ἣν εἰλήχει Ξενοφῶν, καταλαμβάνει πάντας ἔνδον τοὺς κωμήτας καὶ τὸν κωμάρχην, καὶ πώλους εἰς δασμὸν

τούς. Ἀσ. 622. 145. — Οὐχ ὑποχωροῖεν] δὲν ἐπήγαιναν κομμάτι ἐμπρός, θὰ ἔλεγεν ἡ κοινή: = ἐσταμάτησαν. Ἀσ. 639. 200. β'.

§. 21. Ἀναστήσαντας . . ἀναγκάζειν προϊέναι] ἀφοῦ σηκώσωσι τοὺς ἀσθενοῦντας νὰ τοὺς ἀναγκάζωσι νὰ προχωρῶσιν.

§. 22. Πέμπει τῶν ἐκ τῆς κώμης] πέμπει ἐκ τῆς κώμης τινὰς τῶν ἐν τῇ κώμῃ. Ἴδε Α'. β'. 18. οἱ ἐκ τῆς ἀγορᾶς. — Οἱ δὲ ἄσμενοι ἰδόντες] οἱ δὲ σταλέντες ὑπὸ τοῦ Ξενοφῶντος ἄσμενοι ἰδόντες τους ὑπο Χειρισόφου πεμφθέντας.

§. 23. Συνεγένοντο] Α'. α'. 9. — Διαλαχόντες] διαμοιρασθέντες. Κυρίως διὰ κλήρου ἢ λαχνοῦ λαμβάνω τι.

§. 24. Πολυκράτης] λοχαγός, πιστότατος φίλος τοῦ Ξενοφῶντος. Ἴδε Ζ'. β'. 17. καὶ 29, Ζ'. ς'. 41. — Εἰς δασμὸν βασιλεῖ τρεφομένους] τρεφομένους ἵνα πεμφθῶσι δασμὸς (φόρος) τῷ βασιλεῖ. Ταὐτὸ λέγεται καὶ τρέφονται δασμὸς τῷ βασιλεῖ, ὡς κατωτέρω, §. 34. — Ὤρετο θηράσων] = ᾤχετο θηρασόμενος = εἶχε πορευθῇ ἵνα θηρεύσῃ λαγούς· διότι τὰ οἴχομαι, ᾠχόμην ἔχουσι παρακειμένου καὶ ὑπερσυντελικοῦ σημασίαν. Ἀσ. 493. 7.

§. 25. Κατάγειοι] ὑπόγειοι. Διὸ καὶ στόμα ἢ στόμιον, οὐχὶ δὲ θύρας εἶχον. Ὅ τι δὲ λέγει περὶ αὐτῶν ὁ Ξενοφῶν ἐνταῦθα, ταὐτὰ λέγει καὶ Διόδωρος ὁ Σικελιώτης ἐν ΙΔ'. 28. — Χιλῷ] ἴδε Α'. έ. 7.

§. 26. Οἶνος κρίθινος] Τὸ εἶδος τοῦτο τοῦ οἴνου καλεῖ μὲν ὁ Διόδωρος ζῦθον, λέγει δὲ ὅτι ἐπενοήθη ὑπὸ τοῦ Ὀσίριδος. Ἴδε Διοδ. Α'. κεφ. 20. καὶ 34, Ἡροδ. Β'. 77. — Ἐνῆσαν δὲ κτλ.] = ἐν τοῖς κρατῆρσι δὲ ἦσαν καὶ αὐταὶ αἱ κριθαί, (ἀφ' ὧν κατεσκευάζετο) μέχρι χειλέων ἐπιπλέουσαι. — Καὶ κάλαμοι . . γόνατα οὐκ ἔχοντες] καὶ κάλαμοι μὴ ἔχοντες κόμβους, ὡς λέγει ἡ κοινή.

§. 27. Μύζειν] νὰ ρουφᾷ. Ὁ Σουΐδας; λέγει, Μυζεῖ καὶ μύζει = θηλάζει, λείχει. — Συμμαθόντι] δι' ἐκεῖνον, ὅστις ἦτο συνειθισμένος. Ὁ Σουΐδας λέγει, Συμμαθόντι = συνεθισθέντι. — Οὔτε τῶν τέκνων στερήσοιτο, τήν τε οἰκίαν κτλ.] καὶ τῶν τέκνων οὐ στερήσοιτο, τήν τε οἰκίαν. Οὕτω ἀναλυτέα τὰ οὔτε, μήτε κτλ. ὅταν ἔχωσιν ἐπιφερόμενον τὸν τέ ἢ καί.

§. 28. Ἀγαθὸν] ὠφέλιμον.

βασιλεῖ τρεφομένους ἑπτακαίδεκα, καὶ τὴν θυγατέρα τοῦ κωμάρχου ἐνάτην ἡμέραν γεγαμημένην· ὁ δ' ἀνὴρ αὐτῆς λαγὼς ᾤχετο θηράσων καὶ οὐχ ἥλω ἐν ταῖς κώμαις. αἱ δ' οἰκίαι ἦσαν κατάγειοι, τὸ μὲν στόμα ὥσπερ φρέατος, κάτω δ' εὐρεῖαι· αἱ δὲ εἴσοδοι τοῖς μὲν ὑποζυγίοις ὀρυκταί, οἱ δὲ ἄνθρωποι κατέβαινον ἐπὶ κλίμακος. ἐν δὲ ταῖς οἰκίαις ἦσαν αἶγες, οἷες, βόες, ὄρνιθες καὶ τὰ ἔκγονα τούτων· τὰ δὲ κτήνη πάντα χιλῷ ἔνδον ἐτρέφετο. ἦσαν δὲ καὶ πυροὶ καὶ κριθαὶ καὶ ὅσπρια καὶ οἶνος κρίθινος ἐν κρατῆρσιν. ἐνῆσαν δὲ καὶ αὐταὶ αἱ κριθαὶ ἰσοχειλεῖς, καὶ κάλαμοι ἐνέκειντο, οἱ μὲν μείζους οἱ δὲ ἐλάττους, γόνατα οὐκ ἔχοντες· τούτους δ' ἔδει, ὁπότε τις διψῴη, λαβόντα εἰς τὸ στόμα μύζειν. καὶ πάνυ ἄκρατος ἦν, εἰ μή τις ὕδωρ ἐπιχέοι· καὶ πάνυ ἡδὺ συμμαθόντι τὸ πόμα ἦν. ὁ δὲ Ξενοφῶν τὸν ἄρχοντα τῆς κώμης ταύτης δεῖπνον ἐποιήσατο καὶ θαρρεῖν [αὐτὸν] ἐκέλευε λέγων, ὅτι οὔτε τῶν τέκνων στερήσοιτο τήν τε οἰκίαν αὐτοῦ ἀντεμπλήσαντες τῶν ἐπιτηδείων ἀπίασιν, ἣν ἀγαθόν

τι τῷ στρατεύματι ἐξηγησάμενος φαίνηται, ἔστ' ἂν ἐν
29 ἄλλῳ ἔθνει γένωνται. ὁ δὲ ταῦτα ὑπισχνεῖτο, καὶ
φιλοφρονούμενος οἶνον ἔφρασεν ἔνθα ἦν κατορω-
ρυγμένος. ταύτην μὲν οὖν τὴν νύκτα διασκηνήσαν-
τες οὕτως ἐκοιμήθησαν ἐν πᾶσιν ἀφθόνοις πάντες οἱ
στρατιῶται, ἐν φυλακῇ ἔχοντες τὸν κωμάρχην καὶ τὰ
30 τέκνα αὐτοῦ ὁμοῦ ἐν ὀφθαλμοῖς. τῇ δ' ἐπιούσῃ ἡμέρᾳ
Ξενοφῶν λαβὼν τὸν κωμάρχην πρὸς Χειρίσοφον ἐπο-
ρεύετο· ὅπου δὲ παρίοι κώμην, ἐτρέπετο πρὸς τοὺς ἐν
ταῖς κώμαις καὶ κατελάμβανε πανταχοῦ εὐωχουμένους
καὶ εὐθυμουμένους, καὶ οὐδαμόθεν ἀφίεσαν πρὶν πα-
31 ραθεῖναι αὐτοῖς ἄριστον· οὐκ ἦν δ' ὅπου οὐ παρετί-
θεσαν ἐπὶ τὴν αὐτὴν τράπεζαν κρέα ἄρνεια, ἐρίφεια,
χοίρεια, μόσχεια, ὀρνίθεια, σὺν πολλοῖς ἄρτοις τοῖς
32 μὲν πυρίνοις, τοῖς δὲ κριθίνοις. ὁπότε δέ τις φιλοφρο-
νούμενός τῳ βούλοιτο προπιεῖν, εἶλκεν ἐπὶ τὸν κρα-
τῆρα, ἔνθεν ἐπικύψαντα ἔδει ῥοφοῦντα πίνειν, ὥσπερ
βοῦν. καὶ τῷ κωμάρχῃ ἐδίδοσαν λαμβάνειν ὅ τι βού-
λοιτο. ὁ δὲ ἄλλο μὲν οὐδὲν ἐδέχετο, ὅπου δέ τινα τῶν
33 συγγενῶν ἴδοι, πρὸς ἑαυτὸν ἀεὶ ἐλάμβανεν. ἐπεὶ δ'
ἦλθον πρὸς Χειρίσοφον, κατελάμβανον κἀκείνους σκη-
νοῦντας ἐστεφανωμένους τοῦ ξηροῦ χιλοῦ στεφάνοις,
καὶ διακονοῦντας Ἀρμενίους παῖδας σὺν ταῖς βαρβα-

Οἶνον ἔφρασεν, ἔνθα ἦν] ἔφρασεν ἔνθα οἶνος ἦν. Ἴδε Α'. ά. 8.

§. 29. Ἐν φυλακῇ κτλ.] διορίσαντες ἄνδρας νὰ φυλάττωσι τὸν κωμάρχην καὶ τὰ τέκνα αὐτοῦ ὁμοῦ πρὸ τῶν ὀφθαλμῶν των. Ἀσ. 598. 55.

§. 30. Ὅπου παρίοι κώμην] ὅπου διήρχετο πλησίον κώμης. Γ. Σ. Γ. δ'. — Καὶ οὐδαμόθεν ἀφίεσαν] παρελθεῖν.

§. 31. Οὐκ ἦν δ' ὅπου οὐ] Γ. Σ. Ζ.

§. 32. Εἶλκεν ἐπὶ τὸν κρατῆρα] ἐκεῖνον, ὑπὲρ οὗ ἤθελε νὰ προπίῃ. — Ὥσπερ βοῦν] καθ' ἕλξιν ἀντί, ὥσπερ βοῦς (ροφεῖ).

§. 33. Κἀκείνους] = Χειρίσοφον καὶ τοὺς σὺν αὐτῷ στρατιώτας. Ἴδε Α'. β'. 27. — τοῦ ξηροῦ χιλοῦ στεφάνους] μὲ στεφάνους ἐκ ξηροῦ χιλοῦ. Ἀσ. 220. 59. — Τοῖς δὲ παισὶν ἐδείκνυσαν . . ὅ τι δέοι ποιεῖν] εἰς δὲ τοὺς διακονοῦντας παῖδας διὰ χειρονομιῶν ἔλεγον τί ἔπρεπε νὰ πράττωσιν. — Ὥσπερ ἐνεοῖς] οὗσιν = ὡς ἂν ἦσαν κωφάλαλοι. Ἐνεός ἢ ἔννεός = ἄφωνος, κωφάλαλος καὶ εὐήθης ἢ βλάξ. Οὗτοι δὲ ἦσαν οἱονεὶ κωφάλαλοι διότι ἠγνόουν τὴν ἑλληνικήν.

ρικαῖς στολαῖς· τοῖς δὲ παισὶν ἐδείκνυσαν, ὥσπερ ἐνεοῖς,
ὅ τι δέοι ποιεῖν. ἐπεὶ δ' ἀλλήλους ἐφιλοφρονήσαντο 34
Χειρίσοφος καὶ Ξενοφῶν, κοινῇ δὴ ἀνηρώτων τὸν
κωμάρχην διὰ τοῦ περσίζοντος ἑρμηνέως, τίς εἴη ἡ
χώρα. ὁ δ' ἔλεγεν ὅτι Ἀρμενία. καὶ πάλιν ἠρώτων,
τίνι οἱ ἵπποι τρέφοιντο. ὁ δ' ἔλεγεν ὅτι βασιλεῖ δασμός·
τὴν δὲ πλησίον χώραν ἔφη εἶναι Χάλυβας, καὶ τὴν
ὁδὸν ἔφραζεν ἥ εἴη. καὶ αὐτὸν τότε μὲν ᾤχετο ἄγων 35
Ξενοφῶν πρὸς τοὺς ἑαυτοῦ οἰκέτας, καὶ ἵππον, ὃν εἱλή-
φει παλαίτερον, δίδωσι τῷ κωμάρχῃ ἀναθρέψαντι κα-
ταθῦσαι, ὅτι ἤκουσεν αὐτὸν ἱερὸν εἶναι τοῦ Ἡλίου,
δεδιὼς μὴ ἀποθάνῃ· ἐκεκάκωτο γὰρ ὑπὸ τῆς πορείας·
αὐτὸς δὲ τῶν πώλων λαμβάνει, καὶ τῶν ἄλλων στρα-
τηγῶν καὶ λοχαγῶν ἔδωκεν ἑκάστῳ πῶλον. ἦσαν δ' 36
οἱ ταύτῃ ἵπποι μείονες μὲν τῶν Περσικῶν, θυμοειδέ-
στεροι δὲ πολύ. ἐνταῦθα δὴ καὶ διδάσκει ὁ κωμάρχης
περὶ τοὺς πόδας τῶν ἵππων καὶ τῶν ὑποζυγίων σακία
περιειλεῖν, ὅταν διὰ τῆς χιόνος ἄγωσιν· ἄνευ γὰρ τῶν
σακίων κατεδύοντο μέχρι τῆς γαστρός.

ς'. Ἐπεὶ δ' ἡμέρα ἦν ὀγδόη, τὸν μὲν ἡγεμόνα παρα- 1
δίδωσι Χειρισόφῳ, τοὺς δ' οἰκέτας καταλείπει τῷ κω-

§. 34. Κοινῇ δή] = κοινῇ ἤδη. Ὡς ἐν τῇ ἀποδώσει τῶν χρωνικῶν μετοχῶν (ἴδε Ἀσ. 468. 52), οὕτω καὶ ἐν τῇ ἀποδώσει τῶν ἀπὸ τοῦ ἐπεὶ καὶ ἐπειδὴ ἀρχομένων προτάσεων τίθεται ὁ δή, ἵνα δείξῃ ὅτι ἔχουσι ταῦτα χρονικήν, ἀλλ' οὐχὶ αἰτιολογικὴν σημασίαν. Διάφορον σημασίαν ἔχει, ὅταν προσδιορίζῃ μίαν λέξιν, ὡς ἐν Α'. θ'. 20. κράτιστος δή = ὄντως. — Βασιλεῖ δασμὸς] ἴδε §. 24. — Χάλυβας] ἴδε Δ'. δ'. 18. — Ἔφραζεν] ἐδήλου, ἐξήγει. Αὕτη εἶναι ἡ κυρία σημασία τοῦ ρήματος. — Ἥ εἴη] πῶς ἔχει. Ἴδε Δ'. γ'. 8 καλῶς ἔσεσθαι. Τὸ δὲ ὅλον κατὰ σχῆμα προλήψεως = ἐξήγει πῶς ἔχει ἡ ὁδὸς ἥ ὁποία τις εἶναι ἡ ὁδός.

§. 35. Ἱερὸν εἶναι τοῦ ἡλίου] ὅτι ἦτο ἀφιερωμένος εἰς τὸν Ἥλιον. Οἱ Πέρσαι θεὸν προσκυνοῦντες τὸν ἥλιον, ἀφιέρουν αὐτῷ ἵππους. — Τῶν πώλων λαμβάνει] ἕνα τῶν πώλων. Ἴδε Α'. έ. 7. λαβόντας τοῦ βαρβαρικοῦ. — Σακία περιειλεῖν] ἄλλοι περιετύλιξον κύκλους ἢ στέφανα ἐκ λύγων τοῖς ποσίν, ἄλλοι δὲ κεντρωτὰ ὠμοβοΐνα, ἵνα μὴ κωλύωνται πορευόμενοι διὰ χιόνος. Στράβων ΙΑ'. σελ. 772. Σουΐδας ἐν λέξει λύγος.

Κεφ. ς'. §. 1. Τοῦ ἄρτι ἠβάσκοντος] ὅστις μόλις ἤρξατο νὰ ἠβᾷ, νὰ εἶναι δηλαδὴ ἀνὴρ ἢ νὰ

μάρχῃ, πλὴν τοῖ υἱοῦ τοῦ ἄρτι ἠβάσκοντος· τοῦτον δ' Ἐπισθένει Ἀμφιπολίτῃ παραδίδωσι φυλάττειν, ὅπως, εἰ καλῶς ἡγήσοιτο, ἔχων καὶ τοῦτον ἀπίοι. καὶ εἰς τὴν οἰκίαν αὐτοῦ εἰσεφόρησαν ὡς ἐδύναντο πλεῖ-2 στα, καὶ ἀναζεύξαντες ἐπορεύοντο. ἡγεῖτο δ' αὐτοῖς ὁ κωμάρχης λελυμένος διὰ χιόνος. καὶ ἤδη τε ἦν ἐν τῷ τρίτῳ σταθμῷ, καὶ Χειρίσοφος αὐτῷ ἐχαλεπάνθη, ὅτι οὐκ εἰς κώμας ἤγαγεν. ὁ δ' ἔλεγεν, ὅτι οὐκ εἶεν ἐν τῷ τόπῳ τούτῳ. ὁ δὲ Χειρίσοφος αὐτὸν ἔπαισε μέν, ἔδησε 3 δ' οὔ. ἐκ δὲ τούτου ἐκεῖνος τῆς νυκτὸς ἀποδρὰς ᾤχετο καταλιπὼν τὸν υἱόν. τοῦτό γε δὴ Χειρισόφῳ καὶ Ξενοφῶντι μόνον διάφορον ἐν τῇ πορείᾳ ἐγένετο, ἡ τοῦ ἡγεμόνος κάκωσις καὶ ἀμέλεια. Ἐπισθένης δὲ ἠράσθη τοῦ παιδὸς καὶ οἰκαδε κομίσας πιστοτάτῳ 4 ἐχρῆτο. μετὰ τοῦτο ἐπορεύθησαν ἑπτὰ σταθμοὺς ἀνὰ πέντε παραβάγγας τῆς ἡμέρας παρὰ τὸν Φᾶσιν ποτα-5 μόν, εὖρος πλεθριαῖον. ἐντεῦθεν ἐπορεύθησαν σταθμοὺς δύο παραβάγγας δέκα· ἐπὶ δὲ τῇ εἰς τὸ πεδίον ὑπερβολῇ ἀπήντησαν αὐτοῖς Χάλυβες καὶ Τάοχοι καὶ 6 Φασιανοί. Χειρίσοφος δ' ἐπεὶ κατεῖδε τοὺς πολεμίους ἐπὶ τῇ ὑπερβολῇ, ἐπαύσατο πορευόμενος, ἀπέχων εἰς τριάκοντα σταδίους, ἵνα μὴ κατὰ κέρας ἄγων πλησιάσῃ τοῖς πολεμίοις· παρήγγειλε δὲ καὶ τοῖς ἄλλοις παράγειν τοὺς λόχους, ὅπως ἐπὶ φάλαγγος γένοιτο τὸ

ἔχῃ ἰσχὺν καὶ δύναμιν ἀνδρικήν.

§. 3. *Χειρισόφῳ καὶ Ξενοφῶντι . . διάφορον ἐγένετο*] αὕτη μόνη Χ καὶ Ξ. ἡ ἔρις ἐγένετο = κατὰ τοῦτο καὶ μόνον ἤρισαν.— *Πιστοτάτῳ ἐχρῆτο*] τὸν εὕρε πιστότατον. *Χρῶμαί τινι πιστῷ* = ἐκ πείρας γινώσκω ὅτι πιστός ἐστιν. *Χρῶμαί τινι ὡς φίλῳ* = τὸν θεωρῶ φίλον.

§. 4. *Τῆς ἡμέρας*] Α'. γ'. 21. — *Φᾶσιν*] Ἀράξην ἔπρεπε νὰ εἴπῃ· φαίνεται ὅμως ὅτι συνέχεε τοὺς δύο τούτους ποταμούς. *Καὶ ὅμως ἔκ τινος χωρίου τοῦ Ἡροδότου, φαίνεται ὅτι πλὴν τοῦ Κολχικοῦ ὑπῆρχε καὶ ἕτερος Φᾶσις.*

§. 5. *Ὑπερβολῇ*] Α'. β'. 25.— *Ἀπήντησαν*] Β'. δ'. 25. — *Χάλυβες καὶ Τάοχοι*] Δ'. δ'. 18.

§. 6. *Εἰς τριάκοντα*] Α'. ά. 10. — *Κατὰ κέρας*] ὄχι κατὰ μέτωπον τεταγμένον ὄντα τὸν στρατὸν (ἕνεκα τῆς ὁδοῦ). Εἶναι δὲ τὸ *κατὰ κέρας* ἀντίθετον τῷ *ἐπὶ φάλαγγος*, περὶ οὗ ἴδε Δ'. γ'. 26. — *Παράγειν τοὺς λόχους*] Γ'. δ'. 21.

στράτευμα. ἐπεὶ δὲ ἦλθον οἱ ὀπισθοφύλακες, συνε- 7 κάλεσε στρατηγοὺς καὶ λοχαγούς, καὶ ἔλεξεν ὧδε, Οἱ μὲν πολέμιοι, ὡς ὁρᾶτε, κατέχουσι τὰς ὑπερβολὰς τοῦ ὄρους· ὥρα δὲ βουλεύεσθαι, ὅπως ὡς κάλλιστα ἀγωνιούμεθα. ἐμοὶ μὲν οὖν δοκεῖ παραγγεῖλαι μὲν 8 ἀριστοποιεῖσθαι τοῖς στρατιώταις, ἡμᾶς δὲ βουλεύεσθαι εἴτε τήμερον εἴτε αὔριον δοκεῖ ὑπερβάλλειν τὸ ὄρος. Ἐμοὶ δέ γε, ἔφη ὁ Κλεάνωρ, δοκεῖ, ἐπὰν τά- 9 χιστα ἀριστήσωμεν, ἐξοπλισαμένους ὡς τάχιστα ἰέναι ἐπὶ τοὺς ἄνδρας· εἰ γὰρ διατρίψομεν τὴν τήμερον ἡμέραν, οἵ τε νῦν ἡμᾶς ὁρῶντες πολέμιοι θαρραλεώτεροι ἔσονται καὶ ἄλλους εἰκός, τούτων θαρρούντων, πλείους προσγενέσθαι. μετὰ τοῦτον Ξενοφῶν εἶπεν, Ἐγὼ δ' 10 οὕτω γιγνώσκω· εἰ μὲν ἀνάγκη ἐστὶ μάχεσθαι, τοῦτο δεῖ παρασκευάσασθαι, ὅπως ὡς κράτιστα μαχούμεθα· εἰ δὲ βουλόμεθα ὡς ῥᾷστα ὑπερβάλλειν, τοῦτό μοι δοκεῖ σκεπτέον εἶναι, ὅπως ἐλάχιστα μὲν τραύματα λάβωμεν, ὡς ἐλάχιστα δὲ σώματα ἀνδρῶν ἀποβάλωμεν. τὸ μὲν οὖν ὄρος ἐστὶ τὸ ὀρώμενον πλέον ἢ ἐφ' ἑξή- 11 κοντα στάδια, ἄνδρες δ' οὐδαμοῦ φυλάττοντες ἡμᾶς φανεροί εἰσιν ἀλλ' ἢ κατ' αὐτὴν τὴν ὁδόν. πολὺ οὖν κρεῖττον τοῦ ἐρήμου ὄρους καὶ κλέψαι τι πειρᾶσθαι λαθόντας καὶ ἁρπάσαι φθάσαντας, εἰ δυναίμεθα, μᾶλλον ἢ πρὸς ἰσχυρὰ χωρία καὶ ἄνδρας παρεσκευασμένους μάχεσθαι· πολὺ γὰρ ῥᾷον ὄρθιον ἀμαχεὶ ἰέναι 12 ἢ ὁμαλές, ἔνθεν καὶ ἔνθεν πολεμίων ὄντων, καὶ νύ-

§. 8. *Ἀριστοποιεῖσθαι*] Α'. ί. 19. *Ἄριστον.*

§. 9. *Ἐπὶ τοὺς ἄνδρας*] Γ'. ά. 22.

§. 10. *Γινώσκω*] Α'. θ'. 17 καὶ Β'. γ'. 19. — *Ὡς κράτιστα . . ὡς ἐλάχιστα*] Γ. ά. 16.

§. 11. *Ἐστὶν . . ἐπὶ ἑξήκοντα στάδια*] *ἐκτείνεται.* — *Πολὺ οὖν κρεῖττον κτλ.*] πολὺ οὖν κρεῖττον πειρᾶσθαι κλέψαι λαθόντας τι τοῦ ἐρήμου ὄρους καὶ ἁρπάσαι φθάσαντας. — *Κλέψαι λαθόντας*] ὡς λησταὶ νὰ καταλάβωμεν λαθραίως χωρίον τι τοῦ ὄρους, ἔρημον πολεμίων, ὡς φαίνεται ἐκ τῆς §. 13. *Περὶ δὲ τοῦ κλέψαι ἴδε καὶ Ε'. ϛ'. 9.* — *Ἁρπάσαι φθάσαντας*] πρὸ τῶν πολεμίων νὰ ἁρπάσωμεν. Σημείωσαι δ' ὅτι, ἂν ὁ λόγος ἦτο ὀρθός, θὰ ἔλεγε, *ἔλαθον κλέψαντες καὶ ἔφθησαν ἁρπάσαντες, περὶ ὧν ἴδε Γ. Σ. Δ'.*

§. 12. *Ὄρθιον ἀμαχεὶ ἰέναι*]= ὄρθιον χωρίον ἰέναι, μὴ κωλυ-

κτωρ ἀμαχεὶ μᾶλλον ἂν τὰ πρὸ ποδῶν ὁρῴητις ἢ μεθ' ἡμέραν μαχόμενος, καὶ ἡ τραχεῖα τοῖς ποσὶν ἀμαχεὶ ἰοῦσιν εὐμενεστέρα ἢ ὁμαλὴ τὰς κεφαλὰς βαλλομέ-13 νοις· καὶ κλέψαι δ' οὐκ ἀδύνατόν μοι δοκεῖ εἶναι, ἐξὸν μὲν νυκτὸς ἰέναι, ὡς μὴ ὁρᾶσθαι, ἐξὸν δὲ ἀπελθεῖν τοσοῦτον, ὡς μὴ αἴσθησιν παρέχειν. δοκοῦμει δ' ἄν μοι, ταύτῃ προσποιούμενοι προσβαλεῖν, ἐρημοτέρῳ ἂν τῷ ἄλλῳ ὄρει χρῆσθαι· μένοιεν γὰρ αὐτοῦ μᾶλλον 14 ἀθρόοι οἱ πολέμιοι. ἀτὰρ τί ἐγὼ περὶ κλοπῆς συμβάλλομαι ; ὑμᾶς γὰρ ἔγωγε, ὦ Χειρίσοφε, ἀκούω τοὺς Λακεδαιμονίους, ὅσοι ἐστὲ τῶν ὁμοίων, εὐθὺς ἐκ παίδων κλέπτειν μελετᾶν καὶ οὐκ αἰσχρὸν εἶναι, ἀλλὰ 15 καλὸν κλέπτειν, ὅσα μὴ κωλύει νόμος. ὅπως δὲ ὡς κράτιστα κλέπτητε καὶ πειρᾶσθε λανθάνειν, νόμιμον ἄρα ὑμῖν ἐστιν, ἐὰν ληφθῆτε κλέπτοντες, μαστιγοῦσθαι. νῦν οὖν μάλα σοι καιρός ἐστιν ἐπιδείξασθαι τὴν παιδείαν καὶ φυλάξασθαι, μὴ ληφθῶμεν κλέ-16 πτοντες τοῦ ὄρους, ὡς μὴ πληγὰς λάβωμεν. Ἀλλὰ

ὄντων πολεμίων. Καὶ ὄρθιον μὲν τὸ ἀνωφερές· περὶ δὲ τοῦ ὄρθιον ἰέναι ἴδε Α'. ε', 7. μακρὸς ἤλαυνον. — Εὐμενεστέρα] εὐνοϊκωτέρα. Μεταφορικῶς ἀντὶ μᾶλλον βατὴ ἢ μᾶλλον εὐδιάβατος.

§. 13. Ἐξὸν] Β'. ε'. 22. — Ὡς μὴ ὁρᾶσθαι . . ὡς μὴ αἴσθησιν παρέχειν] = χωρὶς νὰ φαίνωνται . . χωρὶς νὰ ἐννοηθῶσιν. Ἀσ. 440. 63. — Δοκοῦμεν . . μοι] Α'. γ'. 12. — Ταύτῃ] κατὰ τοῦτο τὸ μέρος, κατ' αὐτὴν τὴν ὁδόν. Ἴδε §. 11. — Προσποιούμενοι] ἂν προσποιούμεθα (ὅτι θὰ τοὺς προσβάλωμεν κατὰ τὴν ὁδόν, ὅπου ἤδη εἰσίν, θὰ εὕρωμεν τὸ ὄρος μᾶλλον ἔρημον πολεμίων).

§. 14. Ἀτὰρ] = Ἀλλά. Ποιητικὴ ἡ λέξις. — Συμβάλλομαι] Τὸ πλῆρες εὕρηται ἐν Ξενοφ. Κ. Π. Β'. β'. 21, Συμβαλέσθαι περὶ τούτου λόγον, ὅπερ ὁ Ἡρόδοτος ἐν Η'. 61. λέγει Συμβαλέσθαι γνώμας = νὰ εἴπω τὴν γνώμην μου, ἢ μᾶλλον νὰ πῶ καὶ ἐγὼ τὴν γνώμην μου, ὡς λέγει ἡ κοινή. — Ὅσοι ἐστὲ τῶν ὁμοίων] ὅσοι ἐστὲ ἰσότιμοι. Ὅμοιοι ἐν τῇ Λακεδαιμονίων πολιτείᾳ οἱ ἔχοντες τὰ αὐτὰ πολιτικὰ δικαιώματα. Ξενοφ. Ἑλλην. Γ'. γ'. 5. — Μελετᾶν] Γ'. δ'. 17.

§. 15. Νόμιμον ἄρα] διὰ τοῦτο βέβαια ὁρίζει ὁ νόμος. Ἐπὶ παραδόξων, ὡς ἐδῶ, ὁ ἄρα λέγεται μετά τινος εἰρωνείας.— Ἐπιδείξασθαι] Α'. Θ'. 10.— Καὶ . . μέντοι] Α'. ἡ. 20. — Κλέπτοντες τοῦ ὄρους] Ἴδε §. 11.

§. 16. Τὰ δημόσια] χρήματα. Σημείωσαι δ' ὅτι οὐχὶ ἐμπαθῶς, ἀλλὰ μετὰ πολλῆς οἰκειότητος

μέντοι, ἔφη ὁ Χειρίσοφος, κἀγὼ ὑμᾶς τοὺς Ἀθηναίους ἀκούω δεινοὺς εἶναι κλέπτειν τὰ δημόσια, καὶ μάλα ὄντος δεινοῦ τοῦ κινδύνου τῷ κλέπτοντι, καὶ τοὺς κρατίστους μέντοι μάλιστα, εἴπερ ὑμῖν οἱ κράτιστοι ἄρχειν ἀξιοῦνται. ὥστε ὥρα καὶ σοὶ ἐπιδείκνυσθαι τὴν παιδείαν. Ἐγὼ μὲν τοίνυν, ἔφη ὁ Ξενοφῶν, 17 ἕτοιμός εἰμι τοὺς ὀπισθοφύλακας ἔχων, ἐπειδὰν δειπνήσωμεν, ἰέναι καταληψόμενος τὸ ὄρος. ἔχω δὲ καὶ ἡγεμόνας· οἱ γὰρ γυμνῆτες τῶν ἑπομένων ἡμῖν κλωπῶν ἔλαβόν τινας ἐνεδρεύσαντες· τούτων καὶ πυνθάνομαι, ὅτι οὐκ ἄβατόν ἐστι τὸ ὄρος, ἀλλὰ νέμεται αἰξὶ καὶ βουσίν. ὥστε, ἐάνπερ ἅπαξ λάβωμέν τι τοῦ ὄρους, βατὰ καὶ τοῖς ὑποζυγίοις ἔσται. ἐλπίζω δὲ 18 οὐδὲ τοὺς πολεμίους μενεῖν ἔτι, ἐπειδὰν ἴδωσιν ἡμᾶς ἐν τῷ ὁμοίῳ ἐπὶ τῶν ἄκρων· οὐδὲ γὰρ νῦν ἐθέλουσι καταβαίνειν ἡμῖν εἰς τὸ ἴσον. ὁ δὲ Χειρίσοφος εἶπε, 19 Καὶ τί δεῖ σὲ ἰέναι καὶ λιπεῖν τὴν ὀπισθοφυλακίαν ;

ἀναγράφουσιν ἑκάτερος τὰ πάτρια ἐλαττώματα τοῦ ἑτέρου. — Εἴπερ ὑμῖν κτλ.] ἂν ὄντως οἱ ἄριστοι κρίνονται ἄξιοι παρ' ὑμῶν τῆς ἀρχῆς. Εἰρωνεικῶς καὶ τοῦτο λέγεται.

§. 17. Καταληψόμενος] ἵνα καταλάβω. Α'. γ'. 13. λέξοντες. — Γυμνῆτες] Α'. β'. 3. — Κλωπῶν] κλεπτῶν. Ἐννοεῖ δὲ ἐκείνους τῶν πολεμίων, οἵτινες τοὺς ἠκολούθουν, ἵνα φονεύσωσι καὶ λαφυραγωγῶσι τοὺς ἀποσκεδαννυμένους στρατιώτας. Ἴδε ΣΤ'. ά. 1. Περιφρονητικῶς δὲ τούτους καλεῖ κλῶπας ἀντὶ ἄνδρας, ὡς καλεῖ πολλαχοῦ τοὺς πολεμίους. Ἴδε Γ'. ά. 22. — Τούτων καὶ πυνθάνομαι] ὁ καὶ ἐπιδοτικὸς = οὐ μόνον ὡς ὁδηγοὺς θὰ ἔχω, ἀλλὰ καὶ μανθάνω παρ' αὐτῶν. Περὶ δὲ τῆς συντάξεως τοῦ πυνθάνομαι ἴδε Ἀσ. 259. Θ'. — Νέμεται αἰξὶ] βόσκονται ὑπ' αἰγῶν. Ὁ Ξενοφῶν ἐν Κύρου Παιδείᾳ Γ'. β'. 20. λέγει, Τὰ ὄρη νέμειν (τοῖς βοσκήμασιν) = παρέχει τὰ ὄρη εἰς νομὴν τοῖς βοσκήμασιν· ἐντεῦθεν τὸ παθητικόν, τὸ ὄρος νέμεται αἰξίν. — Βατὰ καὶ τοῖς ὑποζυγίοις ἔσται] = βατὰ καὶ τοῖς ὑποζυγίοις ἔσται ἡμῖν χωρία = θὰ ἔχωμεν καὶ τοῖς ὑποζυγίοις βατὰ χωρία.

§. 18. Ἐν τῷ ὁμοίῳ] = ἐν τῷ αὐτῷ ὕψει. Τὸ αὐτὸ δὲ σημαίνει καὶ τὸ κατωτέρω εἰς τὸ ἴσον, καθόσον μάλιστα ἐν τοῖς πολιτικοῖς τὸ ὅμοιος καὶ ἴσος τίθενται ἐκ παραλλήλου. Οὕτως ὁ Ξενοφ. ἐν Ἑλλην. Ζ'. ά. 45 λέγει, Πολιτεία ἐν τοῖς ἴσοις καὶ ὁμοίοις = πολίτευμα, ἐν ᾧ πάντες ἔχουσι τὰ αὐτὰ καθ' ὁλοκληρίαν δικαιώματα.

ἀλλὰ ἄλλους πέμψον, ἂν μή τινες ἐθελούσιοι φαίνωνται. ἐκ τούτου Ἀριστώνυμος Μεθυδριεὺς ἔρχεται ὁπλίτας ἔχων καὶ Ἀριστέας Χῖος γυμνῆτας καὶ Νικόμαχος Οἰταῖος γυμνῆτας· καὶ σύνθημα ἐποιήσαντο, ὁπότε ἔχοιεν τὰ ἄκρα, πυρὰ κάειν πολλά. ταῦτα συνθέμενοι, ἠρίστων· ἐκ δὲ τοῦ ἀρίστου προήγαγεν ὁ Χειρίσοφος τὸ στράτευμα πᾶν ὡς δέκα σταδίους πρὸς τοὺς πολεμίους, ὅπως ὡς μάλιστα δοκοίη ταύτῃ προσάξειν. Ἐπειδὴ δὲ ἐδείπνησαν καὶ νὺξ ἐγένετο, οἱ μὲν ταχθέντες ᾤχοντο καὶ καταλαμβάνουσι τὸ ὄρος, οἱ δὲ ἄλλοι αὐτοῦ ἀνεπαύοντο. οἱ δὲ πολέμιοι ἐπεὶ ἤσθοντο ἐχόμενον τὸ ὄρος, ἐγρηγόρεσαν καὶ ἔκαον πυρὰ πολλὰ διὰ νυκτός. ἐπειδὴ δὲ ἡμέρα ἐγένετο, Χειρίσοφος μὲν θυσάμενος ἦγε κατὰ τὴν ὁδόν, οἱ δὲ τὸ ὄρος καταλαβόντες κατὰ τὰ ἄκρα ἐπῆσαν. τῶν δ' αὖ πολεμίων τὸ μὲν πολὺ ἔμενεν ἐπὶ τῇ ὑπερβολῇ τοῦ ὄρους, μέρος δ' αὐτῶν ἀπήντα τοῖς κατὰ τὰ ἄκρα. πρὶν δὲ ὁμοῦ εἶναι τοὺς πολλοὺς ἀλλήλων, συμμιγνύασιν οἱ κατὰ τὰ ἄκρα, καὶ νικῶσιν οἱ Ἕλληνες καὶ διώκουσιν. ἐν τούτῳ δὲ καὶ οἱ ἐκ τοῦ πεδίου οἱ μὲν πελτασταὶ τῶν Ἑλλήνων δρόμῳ ἔθεον πρὸς τοὺς παρατεταγμένους, Χειρίσοφος δὲ βάδην ταχὺ ἐφείπετο σὺν τοῖς ὁπλίταις· οἱ δὲ πολέμιοι οἱ ἐπὶ τῇ ὁδῷ, ἐπειδὴ τὸ ἄνω ἑώρων

§. 20. *Μεθυδριεύς*] Δ'. ά. 27. — *Οἰταῖος*] ἐξ Οἴτης, ὄρους τῆς Θεσσαλίας.

§. 21. *Ὅπως δοκοίη ταύτῃ προσάξειν*] ὅτι κατὰ τοῦτο τὸ μέρος (κατὰ τὴν ὁδόν, §. 11.) θὰ προσβάλῃ τοὺς πολεμίους. Ἐν Κύρ. Παιδ. Α'. β'. 43. λέγει, Προσάγειν πρὸς τοὺς πολεμίους. Ἴδε καὶ Κύρ. Ἀνάβ. Α'. ί. 9.

§. 24. *Τὸ μὲν πολὺ*] ὅλος σχεδὸν ὁ στρατός. Γ'. γ'. 16. — *Ἀπήντα*] Β'. δ'. 25. — *Ὁμοῦ εἶναι ἀλλήλους*] ἐγγὺς εἶναι ἀλλήλους=πρὶν πλησιάσωσιν ἀλλήλους. — *Τοὺς πολλοὺς*] οἱ μεγάλοι στρατοὶ (τῶν τε Ἑλλήνων, καὶ τῶν βαρβάρων). Ἴδε ἀνωτέρω τὸ πολύ.

§. 25. *Οἱ ἐκ πεδίου οἱ μὲν πελτασταὶ τῶν Ἑλλήνων*]=τῶν ἐκ τοῦ πεδίου Ἑλλήνων οἱ μὲν πελτασταί. Α'. ή. 9. πάντες δ' οὗτοι, ἕκαστον τὸ ἔθνος. — *Οἱ ἐκ τοῦ πεδίου*] = οἱ ἐν τῷ πεδίῳ ἔθεον ἐκ τοῦ πεδίου. Α'. β'. 18. — *Βάδην ταχύ*] βήματι ταχεῖ, ὡς λέγει σήμερον ἡ στρατιωτικὴ γλῶσσα. Εἶναι δὲ τὸ βάδην ἀντίθετον τῷ δρόμῳ.

§. 26. *Τὸ ἄνω*] ἐκεῖνο τὸ μέρος τοῦ στρατοῦ, ὅπερ ἐμάχετο ἐν τοῖς ἄκροις. Ἴδε §. 24.

§. 27. *Πολλῶν καὶ ἀγαθῶν*] Ἀσ. 668. 37.

ἡττώμενον, φεύγουσι· καὶ ἀπέθανον μὲν οὐ πολλοὶ αὐτῶν, γέρρα δὲ πάμπολλα ἐλήφθη· ἃ οἱ Ἕλληνες ταῖς μαχαίραις κόπτοντες ἀχρεῖα ἐποίουν. ὡς δ' ἀνέβησαν, θύσαντες καὶ τρόπαιον στησάμενοι, κατέβησαν εἰς τὸ πεδίον, καὶ εἰς κώμας πολλῶν καὶ ἀγαθῶν γεμούσας ἦλθον.

ζ'. Ἐκ δὲ τούτων ἐπορεύθησαν εἰς Ταόχους σταθμοὺς πέντε παρασάγγας τριάκοντα· καὶ τὰ ἐπιτήδεια ἐπέλιπε· χωρία γὰρ ᾤκουν ἰσχυρὰ οἱ Τάοχοι, ἐν οἷς καὶ τὰ ἐπιτήδεια πάντα εἶχον ἀνακεκομισμένοι. ἐπεὶ δ' ἐφίκοντο πρὸς χωρίον, ὃ πόλιν μὲν οὐκ εἶχεν οὐδ' οἰκίας, συνεληλυθότες δ' ἦσαν αὐτόσε καὶ ἄνδρες καὶ γυναῖκες καὶ κτήνη πολλά, Χειρίσοφος μὲν πρὸς τοῦτο προσέβαλλεν εὐθὺς ἥκων· ἐπειδὴ δὲ ἡ πρώτη τάξις ἀπέκαμνεν, ἄλλη προσῄει καὶ αὖθις ἄλλη· οὐ γὰρ ἦν ἀθρόοις περιστῆναι, ἀλλὰ ποταμὸς ἦν κύκλῳ. ἐπειδὴ δὲ Ξενοφῶν ἦλθε σὺν τοῖς ὀπισθοφύλαξι καὶ πελτασταῖς καὶ ὁπλίταις, ἐνταῦθα δὴ λέγει Χειρίσοφος, Εἰς καλὸν ἥκετε· τὸ γὰρ χωρίον αἱρετέον· τῇ γὰρ στρατιᾷ οὐκ ἔστι τὰ ἐπιτήδεια, εἰ μὴ ληψόμεθα τὸ χωρίον. ἐνταῦθα δὴ κοινῇ ἐβουλεύοντο· καὶ τοῦ Ξενοφῶντος ἐρωτῶντος, τί τὸ κωλῦον εἴη εἰσελθεῖν, εἶπεν ὁ Χειρίσοφος, Μία αὕτη πάροδός ἐστιν, ἣν ὁρᾷς· ὅταν δέ τις ταύτῃ πειρᾶται παριέναι, κυλίνδουσι λίθους ὑπὲρ ταύτης τῆς ὑπερεχούσης πέτρας· ὃς δ' ἂν καταληφθῇ, οὕτω διατίθεται — ἅμα δ' ἔδειξε συντετριμμένους ἀνθρώπους καὶ σκέλη καὶ πλευράς — ἦν δὲ

§. 27. *Κεφ. ζ'.* § 1. *Εἶχον ἀνακεκομισμένοι*] εἶχον ἀνακομίσει. Ἀσ. 460. 24. Ἴδε καὶ Γ'. δ'. 14.

§. 2. *Εὐθὺς ἥκων*] ἅμα ἔφθασεν. Β'. ς'. 16. Εὐθύς . . ὤν.

§. 3. *Ἐνταῦθα δή*] Β'. β'. 7.

§. 4. *Οὕτω διατίθεται*] = ἰδοὺ τί πάσχει.

§. 5. *Ἄλλο τι ἢ οὐδὲν κωλύει*] = ἆρά γε ὑπάρχει ἄλλο τι κωλῦον; Ἴδε Β'. έ. 10. — *Ἐκ τοῦ ἐναντίου*] ἀντιτεταγμένους ἢ ἀντιπαρατεταγμένους. — *Ὀλίγους τούτους ἀνθρώπους*] = τούτους ὀλίγους ὄντας ἀνθρώπους = τούτους, οἵτινες ὀλίγοι ἄνθρωποι εἶναι. Ἴδε Δ'. ή. 4. ἐμὴν ταύτην πατρίδα εἶναι = ταύτην εἶναι ἐμὴν πατρίδα.

τοὺς λίθους ἀναλώσωσιν, ἔφη ὁ Ξενοφῶν, ἄλλο τι ἢ οὐδὲν κωλύει παριέναι; οὐ γὰρ δὴ ἐκ τοῦ ἐναντίου ὁρῶμεν εἰ μὴ ὀλίγους τούτους ἀνθρώπους, καὶ τού-
6 των δύο ἢ τρεῖς ὡπλισμένους. τὸ δὲ χωρίον, ὡς καὶ σὺ ὁρᾷς, σχεδὸν τρία ἡμίπλεθρά ἐστιν, ὃ δεῖ βαλλομένους διελθεῖν· τούτου δὲ ὅσον πλέθρον δασὺ πίτυσι διαλειπούσαις μεγάλαις, ἀνθ' ὧν ἑστηκότες ἄνδρες τί ἂν πάσχοιεν ἢ ὑπὸ τῶν φερομένων λίθων ἢ ὑπὸ τῶν κυλινδομένων; τὸ λοιπὸν οὖν ἤδη γίγνεται ὡς ἡμίπλεθρον, ὃ δεῖ, ὅταν λωφήσωσιν οἱ λίθοι, παραδραμεῖν.
7 Ἀλλὰ εὐθύς, ἔφη ὁ Χειρίσοφος, ἐπειδὰν ἀρξώμεθα εἰς τὸ δασὺ προσιέναι, φέρονται οἱ λίθοι πολλοί. Αὐτὸ ἄν, ἔφη, τὸ δέον εἴη· θᾶττον γὰρ ἀναλώσουσι τοὺς λίθους. ἀλλὰ πορευώμεθα, ἔνθεν ἡμῖν μικρόν τι παραδραμεῖν ἔσται, ἣν δυνώμεθα, καὶ ἀπελθεῖν ῥᾴθιον, ἣν βουλώμεθα.
8 Ἐντεῦθεν ἐπορεύοντο Χειρίσοφος καὶ Ξενοφῶν καὶ Καλλίμαχος Παρράσιος λοχαγός· τούτου γὰρ ἡ ἡγεμονία ἦν τῶν ὀπισθοφυλάκων λοχαγῶν ἐκείνῃ τῇ ἡμέρᾳ· οἱ δὲ ἄλλοι λοχαγοὶ ἔμενον ἐν τῷ ἀσφαλεῖ. μετὰ τοῦτο οὖν ἀπῆλθον ὑπὸ τὰ δένδρα ἄνθρωποι ὡς ἑβδομήκοντα, οὐκ ἀθρόοι ἀλλὰ καθ' ἕνα, ἕκαστος φυ-
9 λαττόμενος, ὡς ἐδύνατο. Ἀγασίας δὲ ὁ Στυμφάλιος καὶ Ἀριστώνυμος Μεθυδριεύς, καὶ οὗτοι τῶν ὀπισθοφυλάκων λοχαγοὶ ὄντες, καὶ ἄλλοι δέ, ἐφέστασαν ἔξω τῶν δένδρων· οὐ γὰρ ἦν ἀσφαλὲς ἐν τοῖς δένδροις
10 ἑστάναι πλέον ἢ τὸν ἕνα λόχον. ἔνθα δὴ Καλλίμαχος μηχανᾶταί τι· προὔτρεχεν ἀπὸ τοῦ δένδρου, ὑφ' ᾧ ἦν αὐτός, δύο ἢ τρία βήματα· ἐπεὶ δὲ οἱ λίθοι φέροιντο,

§. 6. *Ὅσον πλέθρον*] ὡς ἓν πλέθρον. — *Ἀνθ' ὧν*] ὄπισθεν τῶν ὁποίων. Οὕτως δηλαδή, ὥστε νὰ ἔχωσι ἀντιμέτωπα τὰ δένδρα. — *Τὸ λοιπὸν*] τὸ ὑπολειπόμενον, τὸ μεταξὺ δηλαδὴ τῶν πίτυων καὶ πολεμίων.

§. 7. *Αὐτὸ ἂν τὸ δέον εἴη*] αὐτὸ τοῦτο εἶναι ἐκεῖνο, ὅπερ πρέπει νὰ γείνῃ, νὰ φέρωνται δηλαδὴ οἱ λίθοι. — *Πορευώμεθα ἔνθεν*] = ἐκεῖσε, ἔνθεν.

§. 9. *Τῶν ὀπισθοφυλάκων λοχαγός*] *Ἴδε Δ'. ά. 26.* — *Καὶ ἄλλοι δὲ*] *ἴδε Α'. ά. 2. καὶ.. δέ.*

§. 10. *Ἀνεχάζετο*] ὑπεχώρει, ἀπεσύρετο. *Ἴδε καὶ Δ'. ή. 18. διαχάζοντας.*

ἀνεχάζετο εὐπετῶς· ἐφ' ἑκάστης δὲ προδρομῆς πλέον ἢ δέκα ἄμαξαι πετρῶν ἀνηλίσκοντο. ὁ δὲ Ἀγασίας, 11
ὡς ὁρᾷ τὸν Καλλίμαχον ἃ ἐποίει καὶ τὸ στράτευμα πᾶν θεώμενον, δείσας μὴ οὐ πρῶτος παραδράμοι εἰς τὸ χωρίον, οὔτε τὸν Ἀριστώνυμον πλησίον ὄντα παρακαλέσας οὔτε Εὐρύλοχον τὸν Λουσιέα, ἑταίρους ὄντας, οὔτε ἄλλον οὐδένα, χωρεῖ αὐτὸς καὶ παρέρχεται πάντας. ὁ δὲ Καλλίμαχος, ὡς ὁρᾷ αὐτὸν παριόντα, 12
ἐπιλαμβάνεται αὐτοῦ τῆς ἴτυος· ἐν δὲ τούτῳ παραθεῖ αὐτοὺς Ἀριστώνυμος Μεθυδριεύς, καὶ μετὰ τοῦτον Εὐρύλοχος Λουσιεύς· πάντες γὰρ οὗτοι ἀντεποιοῦντο ἀρετῆς καὶ διηγωνίζοντο πρὸς ἀλλήλους· καὶ οὕτως ἐρίζοντες αἱροῦσι τὸ χωρίον· ὡς γὰρ ἅπαξ εἰσέδραμον, οὐδεὶς πέτρος ἄνωθεν ἠνέχθη. ἐνταῦθα δὴ 13
δεινὸν ἦν θέαμα· αἱ γὰρ γυναῖκες ῥίπτουσαι τὰ παιδία εἶτα καὶ ἑαυτὰς ἐπικατερρίπτουν, καὶ οἱ ἄνδρες ὡσαύτως. ἔνθα δὴ καὶ Αἰνέας Στυμφάλιος λοχαγός, ἰδών τινα θέοντα ὡς ῥίψοντα ἑαυτὸν στολὴν ἔχοντα καλήν, ἐπιλαμβάνεται ὡς κωλύσων· ὁ δὲ αὐτὸν ἐπι- 14
σπᾶται, καὶ ἀμφότεροι ᾤχοντο κατὰ τῶν πετρῶν φερόμενοι καὶ ἀπέθανον. ἐντεῦθεν ἄνθρωποι μὲν πάνυ ὀλίγοι ἐλήφθησαν, βόες δὲ καὶ ὄνοι πολλοὶ καὶ πρόβατα.

Ἐντεῦθεν ἐπορεύθησαν διὰ Χαλύβων σταθμοὺς 15

§. 11. *Οὐ πρῶτος*] = ὕστερος ἄλλου.

§. 12. *Ἐπιλαμβάνεται αὐτοῦ τῆς ἴτυος*] τὸν πιάνει ἀπὸ τὴν ἴτυν. *Ἴτυς δὲ ἡ περιφέρεια τῆς ἀσπίδος, τῶν τροχῶν κτλ.* — *Ἀντεποιοῦντο*] *Β'. ά. 11.* — *Διηγωνίζοντο*] ἡμιλλῶντο. *Τοῦτο δ' εὐθὺς μετ' ὀλίγον λέγει ἐρίζειν.*

§. 14. *Ἐπισπᾶται*] ἐπισπᾷ = ἕλκει πρὸς ἑαυτόν. — *Ὤχοντο κατὰ κρημνῶν φερόμενοι*] ἐκρημνίσθησαν πάραυτα. *Γ. Σ'. Δ'.* — *Ἐντεῦθεν*] ἐκ τούτου τοῦ τόπου.

§. 15. *Χαλύβων*] *Δ'. γ'. 4.* — *Ὧν διῆλθον*] = πάντων, οὓς διῆλθον. *Ἔλξις. Α'. ά. 8. ὧν Τισσαφέρνης.* — *Εἰς χεῖρας ἦεσαν*] *Α'. β'. 26.* — *Ἧτρον*] τὸ ὑπογάστριον, ὁ ἀπὸ τῶν αἰδοίων μέχρι τοῦ ὀμφαλοῦ χῶρος. — *Πτερύγων*] οὕτω λέγονται τὰ ἐπιμήκη πέταλα, τὰ ὁποῖα προσηρμοσμένα ἀπὸ τοῦ θώρακος ἐκάλυπτον τὰ κάτωθεν τῆς ὀσφύος μέρη, χωρὶς νὰ κωλύωσι τὰς κινήσεις τοῦ σώματος. *Ἦσαν* δὲ ἐκ μετάλλου· διὸ καὶ

ἑπτὰ παρασάγγας πεντήκοντα. οὗτοι ἦσαν ὧν διῆλθον ἀλκιμώτατοι, καὶ εἰς χεῖρας ἦσαν. εἶχον δὲ θώρακας λινοῦς μέχρι τοῦ ἤτρου, ἀντὶ δὲ τῶν πτερύγων
16 σπάρτα πυκνὰ ἐστραμμένα. εἶχον δὲ καὶ κνημῖδας καὶ κράνη καὶ παρὰ τὴν ζώνην μαχαίριον ὅσον ξυήλην Λακωνικήν, ᾧ ἔσφαττον, ὧν κρατεῖν δύναιντο, καὶ ἀποτέμνοντες ἂν τὰς κεφαλὰς ἔχοντες ἐπορεύοντο, καὶ ἦδον καὶ ἐχόρευον, ὁπότε οἱ πολέμιοι αὐτοὺς ὄψεσθαι ἔμελλον. εἶχον δὲ καὶ δόρυ ὡς πεντεκαίδεκα πήχεων
17 μίαν λόγχην ἔχον. οὗτοι ἐνέμενον ἐν τοῖς πολίσμασιν· ἐπεὶ δὲ παρέλθοιεν οἱ Ἕλληνες, εἵποντο ἀεὶ μαχόμενοι. ᾤκουν δὲ ἐν τοῖς ὀχυροῖς, καὶ τὰ ἐπιτήδεια ἐν τούτοις ἀνακεκομισμένοι ἦσαν, ὥστε μηδὲν λαμβάνειν αὐτόθεν τοὺς Ἕλληνας, ἀλλὰ διετράφησαν
18 τοῖς κτήνεσιν, ἃ ἐκ τῶν Ταόχων ἔλαβον. ἐκ τούτου οἱ Ἕλληνες ἀφίκοντο ἐπὶ Ἅρπασον ποταμόν, εὖρος τεττάρων πλέθρων. ἐντεῦθεν ἐπορεύθησαν διὰ Σκυθηνῶν σταθμοὺς τέτταρας παρασάγγας εἴκοσι

ὁ Ξενοφ. ἐν Ἱππ. ΙΒ'. 4. λέγει, Περὶ δὲ τὸ ἦτρον καὶ τὰ αἰδοῖα καὶ τὰ κύκλῳ αἱ πτέρυγες ἔστωσαν τοιαῦται καὶ τοσαῦται, ὥστε στέγειν τὰ μέλη.

§ 16. Ξυήλη] παρὰ Λακεδαιμονίοις ἦτο, φαίνεται, ξίφους εἶδος, ὁποῖα τὰ νῦν τουρκικὰ γιαταγάνια, ἀφοῦ καὶ τὰ ἰσομεγέθη μαχαίρια τῶν Χαλύβων ἐφέροντο μὲν παρὰ τὴν ζώνην, ἦσαν δὲ κατάλληλα εἰς τὸ σφάττειν τοὺς πολεμίους. Τοιαῦται, φαίνεται, ἦσαν καὶ αἱ λεγόμεναι ἑλληνικαὶ μάχαιραι, περὶ ὧν ἴδε Α'. ἡ. 7. Σημείωσαι δ' ὅτι αἱ τῆς ἀρχαιοτέρας ἐποχῆς μάχαιραι ἦσαν ὡς τὰ λεγόμενα στελέτα, διότι ἐφέροντο παρὰ τὸ ξίφος, προσηρμοσμένα εἰς τὸν κολεόν. — Ἀποτέμνοντες ἂν . . ἐπορεύοντο] ὁ ἂν φέρεται εἰς τὸ ἐπορεύοντο· ἀλλὰ καὶ τὸ ἐπορεύοντο ἂν = ἐπορεύοντο. Ἴδε Β'. γ'. 11. ἔπαισεν ἄν.

§. 17. Πεντεκαίδεκα πηχῶν] = ὡς ἔγγιστα 7. γαλλικῶν μέτρων, διότι πῆχυς παρ' ἀρχαίοις ἐκαλεῖτο μέν, ἀπὸ τοῦ πήχεως τῆς χειρός, μέτρον ἀπὸ τοῦ ἀγκῶνος μέχρις ἄκρου τοῦ μέσου δακτύλου τῆς χειρός, ἰσοδυνάμει δὲ μὲ 1, 50 ποδός, ὁ δὲ ποῦς = 0, 308 τοῦ σημερινοῦ γαλλικοῦ μέτρου. — Μίαν λόγχην] Ἄρα δὲν εἶχον στύρακα ἢ σαυροτῆρα, δι' οὗ ἐσταίνοντο εἰς τὴν γῆν. — Ἐπεὶ παρέλθοιεν] ἀφ' οὗ παρήρχοντο Γ. Σ. Γ'. δ'. — Εἵποντο ἀεὶ μαχούμενοι] ἵνα προσβάλωσιν αὐτούς. Ἀσ. 468. 53. — Ἀλλὰ διετράφησαν] = διετράφησαν δέ. Μεταβατικὸς ὁ ἀλλά.

§. 18. Σκυθηνῶν] Σκυθηνὸς ἔθνος οὐ πόρρω τῶν Μακρώνων. Στεφ. Βυζ.

§. 19. Οἰκουμένην] Α'. β'. 14. — Γυμνιάς] σήμερον Ἐρζερούμ.

§. 20. Εἰ δὲ μή] ὄψονται θάλατταν. — Τεθνάναι ἐπηγγείλατο] εἶπεν ὅτι στέργει νὰ πέσῃ νεκρός· διότι ἐπαγγέλλομαι, ὅπερ συνήθως = ὑπισχνοῦμαι, πολλάκις = αἰτῶ ἢ δηλῶ ὅτι εἶμαι ἕτοιμος νὰ πράξω ἢ πάθω τι. — Εἰς τὴν ἑαυτῶν πολεμίαν] τῶν κατοίκων τῆς Γυμνιάδος. Ἀσ. 106. 32 καὶ 33. — Ὅτι ἕλθοι] ὅτι ἦλθε. Γ. Σ. Γ'.

§. 21. Θήχης] σήμερον Κόπ Νταγ.

§. 22. Ἐνέδραν] Δ'. ά. 22. — Γέρρα] Α'. ἡ. 9. — Δασειῶν βοῶν ὠμοβόεια] ἐξ ἀκατεργάστων δερμάτων πυκνομάλλων βοῶν κατεσκευασμένα. Καὶ ἐνταῦθα μὲν τὸ ἰδασυς προσδιορίζει τὸ βοῦς· ἀλλαχοῦ δὲ, Ε'. δ'. 12, προσδιορίζει τὸ ὠμοβύεια, ὅπερ ταὐτό.

§. 23. Οἱ ἀεὶ ἐπιόντες . . ἐπὶ τοὺς ἀεὶ βοῶντας] οἱ ἑκάστοτε ἐπερχόμενοι πρὸς τοὺς ἑκάστοτε βοῶντας. Β'. ς'. 9. διότι, ὁσάκις ἀνέβαινον στρατιῶταί τινες εἰς τὸ μέρος, ὅθεν ἐφαίνετο ἡ θάλασσα, ἤρχοντο βοῶντες.

διὰ πεδίου εἰς κώμας, ἐν αἷς ἔμειναν ἡμέρας τρεῖς καὶ ἐπεδιτίσαντο. ἐντεῦθεν διῆλθον σταθμοὺς τέτταρας παρασάγγας εἴκοσι πρὸς πόλιν μεγάλην καὶ εὐδαίμονα καὶ οἰκουμένην, ἣ ἐκαλεῖτο Γυμνιάς. ἐκ ταύτης ὁ τῆς χώρας ἄρχων τοῖς Ἕλλησιν ἡγεμόνα πέμπει, ὅπως διὰ τῆς ἑαυτῶν πολεμίας χώρας ἄγοι αὐτούς. ἐλθὼν δ' ἐκεῖνος λέγει, ὅτι ἄξει αὐτοὺς πέντε ἡμερῶν 20
εἰς χωρίον, ὅθεν ὄψονται θάλατταν· εἰ δὲ μή, τεθνάναι ἐπηγγείλατο. καὶ ἡγούμενος, ἐπειδὴ ἐνέβαλεν εἰς τὴν ἑαυτοῦ πολεμίαν, παρεκελεύετο αἴθειν καὶ φθείρειν τὴν χώραν· ᾧ καὶ δῆλον ἐγένετο, ὅτι τούτου ἕνεκα ἔλθοι, οὐ τῆς τῶν Ἑλλήνων εὐνοίας. καὶ ἀφικνοῦν- 21
ται ἐπὶ τὸ ὄρος τῇ πέμπτῃ ἡμέρᾳ· ὄνομα δὲ τῷ ὄρει ἦν Θήχης. ἐπεὶ δὲ οἱ πρῶτοι ἐγένοντο ἐπὶ τοῦ ὄρους καὶ κατεῖδον τὴν θάλατταν, κραυγὴ πολλὴ ἐγένετο. ἀκούσας δὲ ὁ Ξενοφῶν καὶ οἱ ὀπισθοφύλακες ᾠήθη- 22
σαν ἔμπροσθεν ἄλλους ἐπιτίθεσθαι πολεμίους· εἵποντο γὰρ καὶ ὄπισθεν οἱ ἐκ τῆς καομένης χώρας, καὶ αὐτῶν οἱ ὀπισθοφύλακες ἀπέκτειναν τέ τινας καὶ ἐζώγρησαν, ἐνέδραν ποιησάμενοι, καὶ γέρρα ἔλαβον δασειῶν βοῶν ὠμοβόεια ἀμφὶ τὰ εἴκοσιν. ἐπειδὴ δὲ 23
βοὴ πλείων τε ἐγίγνετο καὶ ἐγγύτερον καὶ οἱ ἀεὶ ἐπιόντες ἔθεον δρόμῳ ἐπὶ τοὺς ἀεὶ βοῶντας καὶ πολλῷ μεί-

ζων ἐγίγνετο ἡ βοή, ὅσῳ δὴ πλείους ἐγίγνοντο, ἐδόκει
24 δὴ μεῖζόν τι εἶναι τῷ Ξενοφῶντι, καὶ ἀναβὰς ἐφ' ἵππον καὶ Λύκιον καὶ τοὺς ἱππέας ἀναλαβὼν παρεβοήθει· καὶ τάχα δὴ ἀκούουσι βοώντων τῶν στρατιωτῶν, Θάλαττα! Θάλαττα! καὶ παρεγγυώντων. ἔνθα δὴ ἔθεον
πάντες καὶ οἱ ὀπισθοφύλακες, καὶ τὰ ὑποζύγια ἠλαύ-
25 νετο καὶ οἱ ἵπποι. ἐπεὶ δὲ ἀφίκοντο πάντες ἐπὶ τὸ ἄκρον, ἐνταῦθα δὴ περιέβαλλον ἀλλήλους καὶ στρατηγοὺς καὶ λοχαγοὺς δακρύοντες. καὶ ἐξαπίνης, ὅτου δὴ παρεγγυήσαντος, οἱ στρατιῶται φέρουσι λίθους καὶ ποιοῦσι κο-
26 λωνὸν μέγαν. ἐνταῦθα ἀνετίθεσαν δερμάτων πλῆθος ὠμοβοείων καὶ βακτηρίας καὶ τὰ αἰχμάλωτα γέρρα, καὶ ὁ ἡγεμὼν αὐτός τε κατέτεμνε τὰ γέρρα καὶ τοῖς ἄλλοις
27 διεκελεύετο. μετὰ ταῦτα τὸν ἡγεμόνα οἱ Ἕλληνες ἀποπέμπουσι, δῶρα δόντες ἀπὸ κοινοῦ, ἵππον καὶ φιάλην ἀργυρᾶν καὶ σκευὴν Περσικὴν καὶ δαρεικοὺς δέκα· ἤτει δὲ μάλιστα τοὺς δακτυλίους, καὶ ἔλαβε πολλοὺς παρὰ τῶν στρατιωτῶν. κώμην δὲ δείξας αὐτοῖς, οὗ σκηνήσουσι, καὶ τὴν ὁδόν, ἣν πορεύσονται εἰς Μάκρωνας, ἐπεὶ ἑσπέρα ἐγένετο, ᾤχετο τῆς νυκτὸς ἀπιών.

1 ἡ. Ἐντεῦθεν δ' ἐπορεύθησαν οἱ Ἕλληνες διὰ Μακρώνων σταθμοὺς τρεῖς παρασάγγας δέκα. τῇ πρώτῃ δὲ ἡμέρᾳ ἀφίκοντο ἐπὶ τὸν ποταμόν, ὃς ὥριζε τὴν τῶν
2 Μακρώνων καὶ τὴν τῶν Σκυθηνῶν. εἶχον δ' ὑπερδέξιον χωρίον οἷον χαλεπώτατον καὶ ἐξ ἀριστερᾶς ἄλ-

§. 24. *Τάχα δή*] Α'. ή. 8. — *Παρεγγυώντων*] Α'. ή. 16.

§. 25. *Ὅτου δὴ παρεγγυήσαντος*] = παρεγγυήσαντός τινος, ὅστις δὲ ποτ' ἦν, ἄγνωστον ἐτύγχανεν. Οὕτω καὶ ἐν Ε'. β'. 24. *Ὅτου δὴ ἐνάψαντος*. — *Κολωνὸν*] σωρὸν μέγαν ὡς λόφον· διότι κολωνὸς καὶ κολώνη = λόφος.

§. 27. *Ἀπὸ κοινοῦ*] ἀπὸ τοῦ κοινοῦ ταμείου. Ἴδε καὶ Ε'. ά. 12. — *Οὗ σκηνήσουσι . . ἣν πορεύσονται*] = ἐν ᾗ δύνανται ἢ πρέπει νὰ σκηνήσωσι . . ἣν δύνανται ἢ πρέπει νὰ διανύσωσιν. Ἀσ. 503. 44.

Κεφ. ή. §. 1. Μακρώνων] ἐπὶ Στράβωνος, ΙΒ'. γ'. 26, ἐκαλοῦντο Σάννοι, μετὰ δὲ ταῦτα ἐκλήθησαν Τζάνοι. — *Ἐπὶ τὸν ποταμὸν*] Ἄψαρον, νῦν Τσουρούκ Σού.

§. 2. *Οἷον χαλεπώτατοι*] =

λον ποταμόν, εἰς ὃν ἐνέβαλλεν ὁ ὁρίζων, δι' οὗ ἔδει διαβῆναι. ἦν δὲ οὗτος δασὺς δένδρεσι παχέσι μὲν οὔ, πυκνοῖς δέ. ταῦτα, ἐπεὶ προσῆλθον, οἱ Ἕλληνες ἔκοπτον, σπεύδοντες ἐκ τοῦ χωρίου ὡς τάχιστα ἐξελθεῖν. οἱ δὲ Μάκρωνες ἔχοντες γέρρα καὶ λόγχας καὶ τριχί- 3
νους χιτῶνας κατ' ἀντιπέρας τῆς διαβάσεως παρατεταγμένοι ἦσαν καὶ ἀλλήλοις διεκελεύοντο καὶ λίθους εἰς τὸν ποταμὸν ἔρριπτον· ἐξικνοῦντο δὲ οὔ, οὐδ' ἔβλαπτον οὐδέν.

Ἔνθα δὴ προσέρχεται Ξενοφῶντι τῶν πελταστῶν 4
ἀνήρ, Ἀθήνησι φάσκων δεδουλευκέναι, λέγων, ὅτι γιγνώσκοι τὴν φωνὴν τῶν ἀνθρώπων. καὶ οἶμαι, ἔφη, ἐμὴν ταύτην πατρίδα εἶναι· καί, εἰ μή τι κωλύει, ἐθέλω αὐτοῖς διαλεχθῆναι. Ἀλλ' οὐδὲν κωλύει, 5
ἔφη, ἀλλὰ διαλέγου καὶ μάθε πρῶτον τίνες εἰσίν. οἱ δ' εἶπον, ἐρωτήσαντος, ὅτι Μάκρωνες. Ἐρώτα τοίνυν, ἔφη, αὐτοὺς τί ἀντιτετάχαται καὶ χρήζουσιν ἡμῖν πολέμιοι εἶναι. οἱ δ' ἀπεκρίναντο, ὅτι καὶ ὑμεῖς ἐπὶ τὴν 6
ἡμετέραν χώραν ἔρχεσθε. λέγειν ἐκέλευον οἱ στρατηγοὶ ὅτι οὐ κακῶς γε ποιήσοντες, ἀλλὰ βασιλεῖ πολεμήσαντες ἀπερχόμεθα εἰς τὴν Ἑλλάδα, καὶ ἐπὶ θάλατταν βουλόμεθα ἀφικέσθαι. ἠρώτων ἐκεῖνοι, εἰ δοῖεν ἂν 7
τούτων τὰ πιστά. οἱ δ' ἔφασαν καὶ δοῦναι καὶ λαβεῖν ἐθέλειν. ἐντεῦθεν διδόασιν οἱ Μάκρωνες βαρβαρικὴν λόγχην τοῖς Ἕλλησιν, οἱ δὲ Ἕλληνες ἐκείνοις Ἑλληνικήν· ταῦτα γὰρ ἔφασαν πιστὰ εἶναι· θεοὺς δὲ ἐπεμαρτύραντο ἀμφότεροι.

Μετὰ δὲ τὰ πιστὰ εὐθὺς οἱ Μάκρωνες τὰ δένδρα 8

διότι ἦτο χαλεπώτατον τοῖς πολεμίοις, δηλαδὴ τὰ μάλιστα δυσάλωτον. Ἀσ. 119. 81. Ἴδε καὶ Ε'. ά. 17. — *Ἄλλον ποταμόν*] ἄδηλον τίνα. — *Ὡς τάχιστα*] ὡς οἷόν τε τάχιστα. Α'. ά. 6.

§. 4. *Δεδουλευκέναι*] ὅτι εἶχε χρηματίσει δοῦλος. — *Τὴν φωνὴν*] τὴν διάλεκτον. — *Ἐμὴν ταύτην πατρίδα εἶναι*] Δ'. Ζ. 5. *Ὀλίγους τούτους ἀνθρώπους*.

§. 5. *Τί . . χρήζουσι*] διατί ἔχουσι τὴν ἀπαίτησιν. Β'. ἐ. 2.

§. 6. *Ὅτι καὶ ὑμεῖς κτλ.*] διότι καὶ ὑμεῖς, — Ὅτι οὐ κακῶς γε ποιήσοντες] ὅτι ἐρχόμεθα ἐπὶ τὴν ὑμετέραν οὐχ ἵνα βλάψωμεν αὐτήν.

§. 7. *Πιστὰ*] Β'. γ'. 26.

§. 8. *Τὴν ὁδὸν ὡδοποίουν*]

συνεξέκοπτον τήν τε ὁδὸν ὡδοποίουν ὡς διαβιβῶντες ἐν μέσοις ἀναμεμιγμένοι τοῖς Ἕλλησι, καὶ ἀγορὰν οἵαν ἐδύναντο παρεῖχον, καὶ παρήγαγον ἐν τρισὶν ἡμέραις, ἕως ἐπὶ τὰ Κόλχων ὅρια κατέστησαν τοὺς Ἕλλη-
9 νας. ἐνταῦθα ἦν ὄρος μέγα, προσβατὸν δέ· καὶ ἐπὶ τούτου οἱ Κόλχοι παρατεταγμένοι ἦσαν. καὶ τὸ μὲν πρῶτον οἱ Ἕλληνες ἀντιπαρετάξαντο φάλαγγα, ὡς οὕτως ἄξοντες πρὸς τὸ ὄρος· ἔπειτα δὲ ἔδοξε τοῖς στρατηγοῖς βουλεύσασθαι, συλλεγεῖσιν, ὅπως ὡς κάλ-
10 λιστα ἀγωνιοῦνται. ἔλεξεν οὖν Ξενοφῶν, ὅτι δοκεῖ παύσαντας τὴν φάλαγγα λόχους ὀρθίους ποιῆσαι· ἡ μὲν γὰρ φάλαγξ διασπασθήσεται εὐθύς· τῇ μὲν γὰρ ἄνοδον, τῇ δὲ εὔοδον εὑρήσομεν τὸ ὄρος· καὶ εὐθὺς τοῦτο ἀθυμίαν ποιήσει, ὅταν τεταγμένοι εἰς φάλαγγα
11 ταύτην διεσπασμένην ὁρῶσιν. ἔπειτα, ἢν μὲν ἐπὶ πολλοὺς τεταγμένοι προσάγωμεν, περιττεύσουσιν ἡμῶν οἱ πολέμιοι καὶ τοῖς περιττοῖς χρήσονται, ὅ τι ἂν βούλωνται· ἐὰν δὲ ἐπ' ὀλίγων τεταγμένοι ἴωμεν, οὐδὲν ἂν εἴη θαυμαστόν, εἰ διακοπείη ἡμῶν ἡ φάλαγξ ὑπὸ ἀθρόων καὶ βελῶν καὶ ἀνθρώπων πολλῶν ἐμπεσόντων· εἰ δέ πῃ τοῦτο ἔσται, τῇ ὅλῃ φάλαγγι κακὸν
12 ἔσται. ἀλλά μοι δοκεῖ, ὀρθίους τοὺς λόχους ποιησαμένους, τοσοῦτον χωρίον κατασχεῖν διαλιπόντας τοῖς

τὴν δύσβατον ὁδὸν βατὴν ἐποίουν. — Ὡς διαβιβάσοντες] Β'. γ'. 21. ὡς πολεμήσοντες. — Ἀγορὰν . . παρεῖχον] Β'. γ'. 24. — Παρήγαγον] ἴσως προήγαγον (τοὺς Ἕλληνας) = ὡδήγησαν. — Κόλχων] κατῴκουν οἱ Κόλχοι τὴν ἀπὸ Τραπεζοῦντος μέχρι τῆς τῶν Φασιανῶν χώρας.

§. 9. Ὄρος μέγα] τὸ νῦν Καρὰ Καπὰν ἢ Ὀχὰτ Ντάγ. — Κατὰ φάλαγγα] Δ'. γ'. 26. — Ὡς ἄξοντες] Β'. γ'. 21.

§. 10. Λόχους ὀρθίους] Δ'. β. 11. — Τῇ μὲν . . τῇ δὲ] ποῦ μέν . . ποῦ δέ. Ἀσ. 209. 16. β'.

§. 11. Ἐπὶ πολλοὺς] οὕτω δηλαδή, ὥστε τὸ βάθος νὰ εἶναι πολύ = πολλοὶ κατὰ βάθος. — Περιττεύσουσιν ἡμῶν οἱ πολέμιοι] θὰ ὑπερφαλαγγίσωσιν ἢ ὑπερκερατίσωσιν ἡμᾶς· διότι ἂν ταχθῶμεν πολλοὶ κατὰ βάθος, τὸ μέτωπον φυσικὰ θὰ ἐκτείνηται ὀλιγώτερον, καὶ τότε οἱ πολέμιοι θὰ ἐκτείνωσι τὸ μέτωπον αὐτῶν οὕτως, ὥστε νὰ ὑπερβάλωσι τὸ ἡμέτερον. Τοῦτο κατωτέρω, §. 12, λέγει ἐπὶ τῆς τῶν πολεμίων φάλαγγος ἔξω οἱ ἔσχατοι.

§. 12. Τοσοῦτον χωρίον κατασχεῖν τοῖς λόχοις] κατὰ διαλείμματα τάξαντες τοσοῦτον χωρίον νὰ κατάσχωμεν μὲ τοὺς λόχους. — Ἐσόμεθα . . οἱ ἔσχατοι λόχοι] ἡμεῖς οἱ ἔσχατοι λόχοι, οἱ τῶν κεράτων λόχοι δηλαδή. — Οἱ κράτιστοι ἡμῶν] οἱ γενναιότεροι ἡμῶν· διότι οἱ τῶν κεράτων στρατιῶται καὶ ἄρχοντες ἦσαν οἱ μᾶλλον δόκιμοι, ἐπειδὴ εἰς τὰ κέρατα εἶναι ἀνατεθειμένη ἡ δόξα τοῦ στρατοῦ. — Ἥ τε ἂν εὔοδον ᾖ] καὶ ὅπου δήποτε εἶναι εὔοδον τὸ χωρίον. — Ἄξει ὁ λόχος] Πολλοὶ μετὰ τοῦ Κρυγέρου φρονοῦσιν ὅτι τὸ λόχος κακῶς ἐγράφη ἀντὶ λοχαγός = εἰς τοῦτο τὸ μέρος δύναται νὰ ὁδηγήσῃ τὸν λόχον του ἕκαστος λοχαγός.

λόχοις, ὅσον ἔξω τοὺς ἐσχάτους λόχους γενέσθαι τῶν πολεμίων κεράτων· καὶ οὕτως ἐσόμεθα τῆς τε τῶν πολεμίων φάλαγγος ἔξω οἱ ἔσχατοι λόχοι, καὶ ὀρθίους ἄγοντες οἱ κράτιστοι ἡμῶν πρῶτον προσίασιν, ᾗ τε ἂν εὔοδον ᾖ, ταύτῃ ἕκαστος ἄξει ὁ λόχος. καὶ εἴς τε τὸ 13
διαλεῖπον οὐ ῥᾴδιον ἔσται τοῖς πολεμίοις εἰσελθεῖν, ἔνθεν καὶ ἔνθεν λόχων ὄντων, διακόψαι τε οὐ ῥᾴδιον ἔσται λόχον ὀρθιον προσιόντα. ἐάν τέ τις πιέζηται τῶν λόχων, ὁ πλησίον βοηθήσει. ἢν τε εἰς πῃ δυνηθῇ τῶν λόχων ἐπὶ τὸ ἄκρον ἀναβῆναι, οὐδεὶς μηκέτι μείνῃ τῶν πολεμίων. ταῦτα ἔδοξε, καὶ ἐποίουν ὀρθίους 14
τοὺς λόχους. Ξενοφῶν δέ, ἀπιὼν ἐπὶ τὸ εὐώνυμον ἀπὸ τοῦ δεξιοῦ, ἔλεγε τοῖς στρατιώταις, Ἄνδρες, οὗτοί εἰσιν οὓς ὁρᾶτε μόνοι ἔτι ἡμῖν ἐμποδὼν τὸ μὴ ἤδη εἶναι, ἔνθα πάλαι ἐσπεύδομεν· τούτους, ἢν πως δυνώμεθα, καὶ ὠμοὺς δεῖ καταφαγεῖν.

Ἐπεὶ δ' ἐν ταῖς χώραις ἕκαστοι ἐγένοντο καὶ τοὺς 15
λόχους ὀρθίους ἐποιήσαντο, ἐγένοντο μὲν λόχοι τῶν ὁπλιτῶν ἀμφὶ τοὺς ὀγδοήκοντα, ὁ δὲ λόχος ἕκαστος σχεδὸν εἰς τοὺς ἑκατόν· τοὺς δὲ πελταστὰς καὶ τοὺς

§. 13. Τὸ διαλεῖπον] τὸ διάλειμμα, τὸ μεταξὺ τῶν λόχων διάστημα. — Οὐδεὶς μηκέτι μείνῃ] μὰ τὴν ἀλήθειαν οὐδεὶς πλέον ἐκ τῶν πολεμίων θὰ μείνῃ ἢ, μὴ φοβεῖσθε, καὶ οὐδεὶς πλέον θὰ μείνῃ. Ἀσ. 580. 88.

§. 14. Ἐμποδὼν τὸ μὴ ἤδη εἶναι] ἐμποδίζουσι ἢ παρεμβάλλουσι προσκόμματα ὥστε νὰ μὴ εἴμεθα ἤδη ἐκεῖ. Γ'. έ. 11. τὸ μὴ καταδύναι. — Ἥν πως δυνώμεθα] ὅπως δυνηθῶμεν, ὅπως ἐμπορέσωμεν. — Ὠμους καταφαγεῖν] ἡ φράσις, κοινοτάτη παρ' ἡμῖν, ἀπαντᾷ καὶ παρὰ τοῖς ἀρχαίοις. Ἴδε Ὁμ. Ἰλ. Δ. 35, Ξενοφ. Ἑλλ. Γ'. γ'. 6.

§. 15. Ἐν ταῖς χώραις ἕκαστοι ἐγένοντο] ἕκαστοι τῶν στρα-

τοξότας τριχῇ ἐποιήσαντο, τοὺς μὲν τοῦ εὐωνύμου ἔξω, τοὺς δὲ τοῦ δεξιοῦ, τοὺς δὲ κατὰ μέσον, σχεδὸν 16 ἑξακοσίους ἑκάστους. ἐκ τούτου παρηγγύησαν οἱ στρατηγοὶ εὔχεσθαι· εὐξάμενοι δὲ καὶ παιανίσαντες ἐπορεύοντο. καὶ Χειρίσοφος μὲν καὶ Ξενοφῶν καὶ οἱ σὺν αὐτοῖς πελτασταί, τῆς τῶν πολεμίων φάλαγγος ἔξω 17 γενόμενοι, ἐπορεύοντο· οἱ δὲ πολέμιοι, ὡς εἶδον αὐτούς, ἀντιπαρατείνοντες οἱ μὲν ἐπὶ τὸ δεξιὸν οἱ δὲ ἐπὶ τὸ εὐώνυμον διεσπάσθησαν, καὶ πολὺ τῆς αὑτῶν φά- 18 λαγγος ἐν τῷ μέσῳ κενὸν ἐποίησαν. ἰδόντες δὲ αὐτοὺς διαχάζοντας οἱ κατὰ τὸ Ἀρκαδικὸν πελτασταί, ὧν ἦρχεν Αἰσχίνης ὁ Ἀκαρνάν, νομίσαντες φεύγειν, ἀνακραγόντες ἔθεον· καὶ οὗτοι πρῶτοι ἐπὶ τὸ ὄρος ἀναβαίνουσι· συνεφείπετο δὲ αὐτοῖς καὶ τὸ Ἀρκαδι- 19 κὸν ὁπλιτικόν, ὧν ἦρχε Κλεάνωρ ὁ Ὀρχομένιος. οἱ δὲ πολέμιοι, ὡς ἤρξαντο θεῖν, οὐκέτι ἔστησαν, ἀλλὰ φυγῇ ἄλλος ἄλλῃ ἐτράπετο. οἱ δὲ Ἕλληνες ἀναβάντες ἐστρατοπεδεύοντο ἐν πολλαῖς κώμαις καὶ τἀπιτη- 20 δεια πολλὰ ἐχούσαις. καὶ τὰ μὲν ἄλλα οὐδὲν ὅ τι καὶ ἐθαύμασαν· τὰ δὲ σμήνη πολλὰ ἦν αὐτόθι, καὶ τῶν κηρίων ὅσοι ἔφαγον τῶν στρατιωτῶν, πάντες ἄφρονές τε ἐγίγνοντο καὶ ἔμουν καὶ κάτω διεχώρει αὐτοῖς καὶ ὀρθὸς οὐδεὶς ἐδύνατο ἵστασθαι, ἀλλ' οἱ μὲν

τηγῶν καὶ λοχαγῶν ἔφθασαν εἰς τὰς θέσεις των. Ἴδε ΣΤ. δ'. 11. — Πελτασταὶ] . . Α'. β'. 3. — Τοῦ δεξιοῦ] ἔξω.

§. 16. Παρηγγύησαν] Α'. ή. 16. — Παιανίσαντες] Α'. ή. 17.

§. 18. Διαχάζοντας] ἀφέντας τὸ μέσον κενόν. Διαχάζω καὶ τὸ μέσον διαχάζομαι = ὑποχωρῶ εἰς τὰ ἄκρα καὶ ἀφίνω τὸ μέσον κενόν· συγγενὲς τὸ ῥῆμα διαχαίνω. Καὶ τὸ ἀναχάζω δέ, Δ'. ά. 16, = ὑποχωρῶν ἀφίνω μεταξὺ ἐμοῦ καὶ ἄλλου τινος κενόν. — Οἱ κατὰ τὸ Ἀρκαδικὸν πελτασταὶ] οἱ τεταγμένοι κατὰ τοὺς Ἀρκάδας πελτασταί. Οὗτοι δέ, φαίνεται, ἦσαν τεταγμένοι εἰς τὸ μέσον.

§. 19. Ἀλλὰ φυγῇ] διὰ τῆς φυγῆς ἤ, ὅπερ ταὐτό, φεύγοντες.

§. 20. Καὶ τὰ μὲν ἄλλα κτλ.] καὶ ὡς πρὸς μὲν τὰ ἄλλα οὐδὲ τοῦ παραμικροῦ θαυμασμοῦ ὑπῆρχέ τι ἄξιον. Ἀσ. 666. 27. — Ἄφρονες] ἔκφρονες, μανιώδεις. Τὸ μέλι τοῦτο ἐκαλεῖτο μαινόμενον. Πλιν. ΚΑ. 13. — Καὶ κάτω διεχώρει αὐτοῖς] καὶ ὑπὸ διαρροίας ἢ πνλωμάτων κατελαμβάνοντο. — Ἐδηδοκότες] μέλ. τοῦ ἐσθίω = τρώγω.

ὀλίγον ἐδηδοκότες σφόδρα μεθύουσιν ἐῴκεσαν, οἱ δὲ πολὺ μαινομένοις, οἱ δὲ καὶ ἀποθνήσκουσιν. ἔκειντο 21 δὲ οὕτω πολλοί, ὥσπερ τροπῆς γεγενημένης, καὶ πολλὴ ἦν ἀθυμία. τῇ δ' ὑστεραίᾳ ἀπέθανε μὲν οὐδείς, ἀμφὶ δὲ τὴν αὐτήν πως ὥραν ἀνεφρόνουν· τρίτῃ δὲ καὶ τετάρτῃ ἀνίσταντο ὥσπερ ἐκ φαρμακοποσίας.

Ἐντεῦθεν δ' ἐπορεύθησαν δύο σταθμοὺς παρα- 22 βάγγας ἑπτά, καὶ ἦλθον ἐπὶ θάλατταν εἰς Τραπεζοῦντα πόλιν Ἑλληνίδα οἰκουμένην ἐν τῷ Εὐξείνῳ Πόντῳ, Σινωπέων ἀποικίαν ἐν τῇ Κόλχων χώρᾳ. ἐνταῦθα ἔμειναν ἡμέρας ἀμφὶ τὰς τριάκοντα ἐν ταῖς τῶν Κόλ- χων κώμαις· κἀντεῦθεν ὁρμώμενοι ἐλήζοντο τὴν 23 Κολχίδα. ἀγορὰν δὲ παρεῖχον τῷ στρατοπέδῳ Τραπεζούντιοι, καὶ ἐδέξαντό τε τοὺς Ἕλληνας καὶ ξένια ἔδοσαν βοῦς καὶ ἄλφιτα καὶ οἶνον. συνδιεπράττοντο 24 δὲ καὶ ὑπὲρ τῶν πλησίον Κόλχων τῶν ἐν τῷ πεδίῳ μάλιστα οἰκούντων, καὶ ξένια καὶ παρ' ἐκείνων ἦλθον βόες. μετὰ δὲ τοῦτο τὴν θυσίαν, ἣν ηὔξαντο, παρε- 25 σκευάζοντο· ἦλθον δ' αὐτοῖς ἱκανοὶ βόες ἀποθῦσαι

§. 21. Ἔκειντο δ' οὕτω] ἔκειντο δὲ διὰ ταύτην τὴν αἰτίαν. — Ὥσπερ τροπῆς γεγενημένης] τοῖς πολεμίοις = ὡς ἂν εἶχον τραπῆ οἱ πολέμιοι εἰς φυγήν. Περὶ τοῦ ὥσπερ ἴδε Α'. β'. 1. ὡς Πισίδας βουλόμενος. — Ἀνεφρόνουν] ἀνελάμβανον τὰς φρένας των, συνήρχοντο εἰς ἑαυτούς. — Τρίτῃ δὲ καὶ τετάρτῃ] ἡμέρᾳ. — Ὥσπερ ἐκ φαρμακοποσίας] = οὕτως, ὑπὸ τοῦ χρόνου δηλαδή, ἰώμενοι ὥσπερ ἐκ φαρμακοποσίας.

§. 23. Ξένια] δῶρα, τὰ ὁποῖα ἔδιδον οἱ φιλοξενοῦντες εἰς τοὺς ξενιζομένους· ἦσαν δὲ ταῦτα τροφαὶ καὶ ποτὰ συνήθως· εἰς ταῦτα δὲ προσετίθετο ἐνίοτε κειμήλιον δῶρον πρὸς παντοτεινὴν ἐνθύμησιν. — Ἄλφιτα] χονδραλεσμένον ἄλευρον, ὃ μετεχειρίζοντο εἰς τε τὰς θυσίας καὶ εἰς κατασκευὴν κοινοῦ ἄρτου.

§. 24. Συνδιεπράττοντο] διεπραγματεύοντο ἀπὸ κοινοῦ.

§. 25. Ἣν ηὔξαντο] Ἴδε τὴν εὐχὴν ἐν Γ'. β'. 9. — Ἦλθον ἱκανοὶ βόες ἀποθῦσαι] εἶχον σταλῇ βόες ἱκανοὶ ὥστε νὰ προσφέρωσι θυσίας τῷ μὲν Διῒ διὰ τὴν σωτηρίαν (σωτήρια, ἴδε Γ'. β'. 9.), τῷ δὲ Ἡρακλεῖ διότι τοὺς ὡδήγησεν ἀσφαλῶς (ἡγεμόσυνα). Βραχυλογικῶς ταῦτα ἀντὶ Διῒ τῷ σωτῆρι σωτήρια καὶ Ἡρακλεῖ τῷ ἡγεμόνι (ἴδε ΣΤ'. β'. 15) ἡγεμόσυνα. — Εἶλοντο . . δρόμου τε ἐπιμεληθῆναι καὶ τοῦ ἀ-

τῷ Διὶ τῷ σωτῆρι καὶ τῷ Ἡρακλεῖ ἠγεμόσυνα καὶ τοῖς ἄλλοις θεοῖς ἃ ηὔξαντο. ἐποίησαν δὲ καὶ ἀγῶνα γυμνικὸν ἐν τῷ ὄρει, ἐνθαπερ ἐσκήνουν. εἵλοντο δὲ Δρακόντιον Σπαρτιάτην, ὃς ἔφυγε παῖς ὢν οἴκοθεν παῖδα ἄκων κατακανὼν ξυήλῃ πατάξας, δρόμου τ' ἐπι-
26 μεληθῆναι καὶ τοῦ ἀγῶνος προστατῆσαι. ἐπειδὴ δὲ ἡ θυσία ἐγένετο, τὰ δέρματα παρέδοσαν τῷ Δρακοντίῳ καὶ ἡγεῖσθαι ἐκέλευον, ὅπου τὸν δρόμον πεποιηκὼς εἴη. ὁ δὲ δείξας, οὗπερ ἑστηκότες ἐτύγχανον, Οὗτος ὁ λόφος, ἔφη, κάλλιστος τρέχειν ὅπου ἄν τις βούληται. Πῶς οὖν, ἔφασαν, δυνήσονται παλαίειν ἐν ὀκληρῷ καὶ δασεῖ οὕτως; ὁ δ' εἶπε, Μᾶλλόν τι ἀνιάσεται ὁ
27 καταπεσών. ἠγωνίζοντο δὲ παῖδες μὲν στάδιον τῶν αἰχμαλώτων οἱ πλεῖστοι, δόλιχον δὲ Κρῆτες πλείους ἢ ἑξήκοντα ἔθεον, πάλην δὲ καὶ πυγμὴν καὶ παγκράτιον [ἕτεροι. καὶ] καλὴ θέα ἐγένετο· πολλοὶ γὰρ κατέβησαν καὶ ἅτε θεωμένων τῶν ἑταίρων πολλὴ φιλονεικία ἐγί-

γῶνος προστατῆσαι] ἐξέλεξαν προστάτην τοῦ δρόμου καὶ τοῦ ἀγῶνος. Καὶ δρόμος μὲν τὸ στάδιον, τὸ τρέξιμον, ἀγῶνες δὲ πλὴν τοῦ σταδίου ὁ δόλιχος, ἡ πάλη, ἡ πυγμὴ καὶ τὸ παγκράτιον· περὶ ὧν ἴδε κατωτέρω, §. 27.

§. 26. *Τὰ δέρματα παρέδοσαν τῷ Δρακοντίῳ*] ἵνα τἀποδώσῃ τοῖς ἀριστεύσασι τῶν ἀθλητῶν. Ποιεῦσι δὲ (*Αἰγύπτιοι, λέγει Ἡρόδ. ἐν Β'.* 91) τάδε Ἑλληνικὰ τῷ Περσεῖ· ἀγῶνα γυμνικὸν τιθεῖσι .. παρέχοντες ἆεθλα κτήνεα καὶ χλαίνας καὶ δέρματα. — *Μᾶλλόν τι*] ὀλίγον περισσότερον ἢ, κάτι τι περισσότερον.

§. 27. *Στάδιον .. δόλιχον*] ἀμφότερα εἶναι δρόμος· ἀλλὰ στάδιον μὲν ὅτε διέτρεχον διάστημα ἑνὸς σταδίου, 185 περίπου γαλλικῶν μέτρων, ἀπὸ τοῦ ἑνὸς ἄκρου, ὅπερ ἐκαλεῖτο ἀφετηρία, μέχρι τοῦ ἑτέρου, καμπτῆρος καλουμένου· δόλιχος ὅμως ἦτο δρόμος ἑπταπλάσιος, διότι ἀναχωροῦντες ἀπὸ τῆς ἀφετηρίας ἔκαμπτον τρὶς τὸν καμπτῆρα, ἐπανήρχοντο ἐκεῖθεν εἰς τὴν ἀφετηρίαν, ἐξηκολούθουν τρέχοντες ἅπαξ ἔτι εἰς τὸν καμπτῆρα καὶ τότε μόνον ἐσταμάτων. — *Παγκράτιον*] ὅτε καὶ ἐπάλαιον καὶ ἐγρονθοκοποῦντο. — *Κατέβησαν*] εἰς τὸν ἀγῶνα = διηγωνίσθησαν· διότι ἐν τοῖς τοιούτοις, Καταβαίνειν τὸ εἰς τὸν ἀγῶνα χωρεῖν. Σουΐδας. — *Ἅτε θεωμένων*] ἐπειδὴ ἐθεῶντο αὐτούς. *Ἀσ.* 469. 55.— *Φιλονεικία*] ἅμιλλα, φιλοτιμία.

γνετο. ἔθεον δὲ καὶ ἵπποι καὶ ἔδει αὐτούς, κατὰ τοῦ 28
πρανοῦς ἐλάσαντας ἐν τῇ θαλάττῃ, ἀναστρέψαντας πάλιν ἄνω πρὸς τὸν βωμὸν ἄγειν. καὶ κάτω μὲν οἱ πολλοὶ ἐκυλινδοῦντο· ἄνω δὲ πρὸς τὸ ἰσχυρῶς ὄρθιον μόλις βάδην ἐπορεύοντο οἱ ἵπποι· ἔνθα πολλὴ κραυγὴ καὶ γέλως καὶ παρακέλευσις ἐγίγνετο.

§. 28. *Οἱ πολλοὶ*] πάντες σχεδὸν (οἱ ἵπποι). — *Ἐκυλινδοῦντο*] ἐκατρακύλουν, θὰ ἔλεγεν ἡ κοινὴ μὲ τὴν σημασίαν εὐκολώτατα ἔτρεχαν.— *Ὄρθιον*] *Δ.* β'. 3.— *Βάδην*] *Δ.* ς'. 25— *Παρακέλευσις .. αὐτῶν*] ἐνθάρρυνσις πρὸς αὐτούς. *Ἀσ.* 49. 38. καὶ 42.

ΒΙΒΛΙΟΝ ΠΕΜΠΤΟΝ.

1 Ὅσα μὲν δὴ ἐν τῇ ἀναβάσει τῇ μετὰ Κύρου ἔπραξαν οἱ Ἕλληνες, καὶ ὅσα ἐν τῇ πορείᾳ τῇ μέχρι ἐπὶ θάλατταν τὴν ἐν τῷ Εὐξείνῳ Πόντῳ, καὶ ὡς εἰς Τραπεζοῦντα πόλιν Ἑλληνίδα ἀφίκοντο, καὶ ὡς ἀπέθυσαν, ἃ εὔξαιτο σωτήρια θύσειν, ἔνθα πρῶτον εἰς φιλίαν γῆν 2 ἀφίκοιντο, ἐν τῷ πρόσθεν λόγῳ δεδήλωται. ἐκ δὲ τούτου συνελθόντες ἐβουλεύοντο περὶ τῆς λοιπῆς πορείας· ἀνέστη δὲ πρῶτος Ἀντιλέων Θούριος καὶ ἔλεξεν ὧδε, Ἐγὼ μὲν τοίνυν, ἔφη, ὦ ἄνδρες, ἀπείρηκα ἤδη συσκευαζόμενος καὶ βαδίζων καὶ τρέχων καὶ τὰ ὅπλα φέρων καὶ ἐν τάξει ἰὼν καὶ φυλακὰς φυλάττων καὶ μαχόμενος· ἐπιθυμῶ δὲ ἤδη παυσάμενος τούτων τῶν πόνων, ἐπεὶ θάλατταν ἔχομεν, πλεῖν τὸ λοιπὸν καὶ ἐκταθείς, ὥσπερ Ὀδυσσεύς, ἀφικέσθαι εἰς τὴν 3 Ἑλλάδα. ταῦτα ἀκούσαντες οἱ στρατιῶται ἀνεθορύβησαν, ὡς εὖ λέγοι· καὶ ἄλλος ταὐτὰ ἔλεγε, καὶ πάντες οἱ παρόντες. ἔπειτα δὲ Χειρίσοφος ἀνέστη καὶ

Κεφ. ά. §. 1. *Μέχρις ἐπὶ*] Δ'. ε. 6. — *Καὶ ὡς εἰς Τραπεζοῦντα*] Β'. ά. 1. — *Ἀπέθυσαν*] Α'. ζ'. 18. ἀ π έ δ ω κ ε.

§. 2. *Θούριος*] ἐκ Θουρίων, πόλεως τῆς Μεγάλης Ἑλλάδος παρὰ τὸν Ταραντῖνον κόλπον. — *Ἐγὼ μὲν τοίνυν*] ἐγὼ τοὐλάχιστον. Ταύτην δὲ τὴν σημασίαν ἔχει κατ' ἐμὲ τὸ μ ὲ ν τ ο ί ν υ ν, ἐννοουμένου ἢ λεγομένου ἄλλου λόγου διὰ τοῦ δὲ συνδεομένου, πρὸς ὃν ἀντιδιαστέλλεται. Ἴδε Ζ'. ε. 10. Ζ'. ζ'. 17, Ζ'. β'. 13. *Τοιοῦτο καὶ τὸ Μ έ ν γ ε περὶ οὗ ἴδε Β'. ε. 25. — Ἀπείρηκα*] Α'. ε. 3. ἀ π α γ ο ρ ε ύ ο υ σ ι. — *Ὥσπερ Ὀδυσσεὺς*] Ὁμ. Ὀδύσ. Ν. 75 κ. ε.

§. 3. *Ἀνεθορύβησαν ὡς εὖ λέγοι*] ἐπευφήμησαν τοὺς λόγους του.

εἶπεν ὧδε, Φίλος μοί ἐστιν, ὦ ἄνδρες, Ἀναξίβιος, 4 ναυαρχῶν δὲ καὶ τυγχάνει. ἦν οὖν πέμψητέ με, οἶμαι ἂν ἐλθεῖν καὶ τριήρεις ἔχων καὶ πλοῖα τὰ ἡμᾶς ἄξοντα· ὑμεῖς δέ, εἴπερ πλεῖν βούλεσθε, περιμένετε, ἕστ' ἂν ἐγὼ ἔλθω· ἥξω δὲ ταχέως. ἀκούσαντες ταῦτα οἱ στρατιῶται, ἥσθησάν τε καὶ ἐψηφίσαντο πλεῖν αὐτὸν ὡς τάχιστα.

Μετὰ τοῦτον Ξενοφῶν ἀνέστη καὶ ἔλεξεν ὧδε, Χει- 5 ρίσοφος μὲν δὴ ἐπὶ πλοῖα στέλλεται, ἡμεῖς δὲ ἀναμενοῦμεν. ὅσα μοι οὖν δοκεῖ καιρὸς εἶναι ποιεῖν ἐν τῇ μονῇ, ταῦτα ἐρῶ. πρῶτον μὲν τὰ ἐπιτήδεια δεῖ 6 πορίζεσθαι ἐκ τῆς πολεμίας· οὔτε γὰρ ἀγορὰ ἔστιν ἱκανὴ οὔτε, ὅτου ὠνησόμεθα, εὐπορία, εἰ μὴ ὀλίγοις τισίν· ἡ δὲ χώρα πολεμία. κίνδυνος οὖν πολλοὺς ἀπόλλυσθαι, ἢν ἀμελῶς τε καὶ ἀφυλάκτως πορεύησθε ἐπὶ τὰ ἐπιτήδεια. ἀλλά μοι δοκεῖ σὺν προνομαῖς λαμ- 7 βάνειν τὰ ἐπιτήδεια, ἄλλως δὲ μὴ πλανᾶσθαι, ὡς σώζησθε, ἡμᾶς δὲ τούτων ἐπιμελεῖσθαι. ἔδοξε ταῦτα. Ἔτι τοίνυν ἀκούσατε καὶ τάδε, Ἐπὶ λείαν γὰρ ὑμῶν 8 ἐκπορεύσονταί τινες. οἶμαι οὖν βέλτιστον εἶναι ἡμῖν εἰπεῖν τὸν μέλλοντα ἐξιέναι, φράζειν δὲ καὶ ὅποι, ἵνα καὶ τὸ πλῆθος εἰδῶμεν τῶν ἐξιόντων καὶ τῶν μενόντων καὶ συμπαρασκευάζωμεν, ἐάν τι δέῃ· κἂν βοηθῆσαί τισι καιρὸς ᾖ, εἰδῶμεν, ὅποι δεήσει βοηθεῖν, καὶ

§. 4. *Ναυαρχῶν δὲ καὶ τυγχάνει*] = τυγχάνει δὲ καὶ ναυαρχῶν ἢ ναύαρχος ὤν. Ὁ κ α ὶ ἐ π ι δ ο τ ι κ ὸ ς εἰς τὸ ναυαρχῶν = οὐ μόνον φίλος, ἀλλὰ καὶ ναύαρχος. — Τὰ ἡμᾶς ἄξοντα] ἃ ἡμᾶς ἄξουσι = δύνανται νὰ φέρωσιν. — *Ἥσθησαν*] ἀόρ. τοῦ ἥ δ ο μ α ι.

§. 5. *Ἐν τῇ μονῇ*] ἐν ὅσῳ θὰ μένωμεν (= ἐδῶ). — *Ὅτου ὠνησόμεθα εὐπορία*] εὐπορία ἀργυρίου, ὅτου ὠνησόμεθα. Τὸ δὲ πλῆρες οὔτε ἔστι εὐπορία ἡμῖν ἀργυρίου, ὅτου ὠνησόμεθα, = οὔτε ἔχομεν, εἰ μὴ ὀλίγοι τινές, ἱκανὸν ἀργύριον ἀντὶ τοῦ ὁποίου δυνάμεθα ν' ἀγοράζωμεν.

§. 7. *Σὺν προνομαῖς*] διὰ προνομευτῶν, διὰ στρατιωτῶν δηλονότι ὡρισμένων νὰ συλλέγωσιν ἐκ τῆς πολεμίας χώρας τρόφιμα. Ἴδε Ξενοφ. Κ. Π. ΣΤ'. ά. 24. Ἑλλην. Δ'. ά. 16. — *Ἄλλως δὲ*] = μάτην δὲ ἢ ἀσκόπως δέ.

§. 8. *Ἐπὶ λείαν γὰρ*] ἐπὶ λείαν γε (= πάντως). Ἴδε Α'. Θ'. 8. Περὶ δὲ τῆς ἐννοίας ἴδε Δ'. ε. 12. ΣΤ'. ά. 1. — *Συμπαρασκευάζωμεν ἐάν τι δέῃ*] συμπα-

ἐάν τις τῶν ἀπειροτέρων ἐγχειρῇ ποι, συμβουλεύωμεν πειρώμενοι εἰδέναι τὴν δύναμιν ἐφ' οὓς ἂν ἴωσιν. 9 ἔδοξε καὶ ταῦτα. Ἐννοεῖτε δὲ καὶ τόδε, ἔφη, Σχολὴ τοῖς πολεμίοις λήζεσθαι, καὶ δικαίως ἡμῖν ἐπιβουλεύουσιν· ἔχομεν γὰρ τὰ ἐκείνων, ὑπερκάθηνται δ' ἡμῶν. φυλακὰς δή μοι δοκεῖ δεῖν περὶ τὸ στρατόπεδον εἶναι. ἐὰν οὖν κατὰ μέρος [μερισθέντες] φυλάττωμεν καὶ σκοπῶμεν, ἧττον ἂν δύναιντο ἡμᾶς θηρᾶν 10 οἱ πολέμιοι. ἔτι τοίνυν τάδε ὁρᾶτε· εἰ μὲν ἠπιστάμεθα σαφῶς ὅτι ἥξει πλοῖα Χειρίσοφος ἄγων ἱκανά, οὐδὲν ἂν ἔδει, ὧν μέλλω λέγειν· νῦν δ' ἐπεὶ τοῦτο ἄδηλον, δοκεῖ μοι πειρᾶσθαι πλοῖα συμπαρασκευάζειν καὶ αὐτόθεν· ἢν μὲν γὰρ ἔλθῃ, ὑπαρχόντων ἐνθάδε, ἐν ἀφθονωτέροις πλευσόμεθα· ἢν δὲ μὴ ἄγῃ, τοῖς 11 ἐνθάδε χρησόμεθα. ὁρῶ δὲ ἐγὼ πλοῖα πολλάκις παραπλέοντα, εἰ οὖν, αἰτησάμενοι παρὰ Τραπεζουντίων μακρὰ πλοῖα, κατάγοιμεν καὶ φυλάττοιμεν αὐτὰ τὰ

ρασκευάζωμεν τὰ δέοντα. — Βοηθῆσαί τισι καιρὸς ᾖ] ἂν ἀπαιτεῖ ὁ καιρὸς νὰ δράμωσιν εἰς βοήθειάν τινων. — Ἐγχειρῇ ποι]= ἐγχειρῇ τισιν = ἔχει διάθεσιν νὰ προσβάλῃ τινὰς τῶν πολεμίων. Κυρίως ἐγχειρῶ = βάζω χέρι, ὡς λέγει ἡ κοινή. — Συμβουλεύωμεν, πειρώμενοι εἰδέναι] συμβουλεύωμεν (ἂν πρέπει νὰ ἐπιτεθῶσι κατά τινων), ἀφοῦ προσπαθήσωμεν νὰ ἐξακριβώσωμεν.

§. 9. Σχολὴ τοῖς πολεμίοις λήζεσθαι] ἔσται = θὰ ἔχωσιν ἢ θὰ εὑρίσκωσιν εὐκαιρίαν οἱ πολέμιοι νὰ μάχωνται ληστρικῶς καθ' ἡμῶν. Ἴδε ἀνωτέρω, §. 8. καὶ Δ'. ἑ. 12. — Ὑπερκάθηνται δὲ ἡμῶν] εἶναι δ' ἐστρατοπεδευμένοι ὑψηλότερον ἡμῶν. Ἴδε Α'. ἑ. 9. ὅπου μὴ ἐκαθέζετο. Σημείωσαι δ' ὅτι κατὰ σχῆμα χιαζὸν τὸ μὲν ἔχομεν τὰ ἐκείνων αἰτιολογεῖ τὸ δικαίως ἡμῖν ἐπιβουλεύουσι, τὸ δὲ ὑπερκάθηνται ἡμῶν αἰτιολογεῖ τὸ σχολὴ τοῖς πολεμίοις λήζεσθαι. — Κατὰ μέρος] = ἐν τῷ μέρει = κατὰ σειράν. Ἴδε Γ'. δ'. 23. — Ἧττον] δυσκολώτερον, ὅπως μᾶλλον = εὐκολώτερον. Ἴδε Γ'. β'. 19.

§. 10. Ὁρᾶτε] ἐννοεῖτε, σκέψασθε. — Οὐδὲν ἂν ἔδει ὧν] οὐδόλως ἢ οὐδεμία θὰ ἦτο ἀνάγκη τούτων. Ἕλξις. Ἴδε Α'. ά. 8. ὧν Τισσαφέρνης. — Τ-παρχόντων ἐνθάδε] πλοίων. Γεν. ἀπόλυτος.

§. 11. Μακρὰ πλοῖα] πολεμικὰς τριήρεις. Πλοῖα δ' ἁπλῶς τὰ ἐμπορικά. — Κατάγοιμεν . . αὐτὰ] τὰ ἐμπορικά, τὰ συλλαμβανόμενα διὰ τῶν Τραπεζουντίων τριήρεων. Λέγεται δ' εἰδικώτερον τὸ κατάγειν ἐπὶ πλοίων βίᾳ συλλαμβανομένων καὶ εἰς λιμένα ἀσφαλῆ ἀγομένων καὶ φυλαττομένων. — Κομιδῆς] = πλοίων· διότι κομιδὴ ὁ τρόπος ἢ τὸ μέσον, δι' οὗ κομίζομεν ἄλλους ἢ κομιζόμεθα ἡμεῖς αὐτοί. — Εἰκὸς] δίκαιον, μεθ' οὗ καὶ παρατίθεται πολλάκις. Κυρίως εἰκὸς τὸ φυσικῶς ἑπόμενον καὶ τὸ πιθανόν. — Ἀπὸ κοινοῦ] Δ'. Ζ'. 27.

§. 13. Ἦν ἄρα] ἂν τυχόν. Β'. δ'. 6. — Ἐκπεραίνηται ὥστε] λάβωσι πέρας τοιοῦτον, ὥστε. Γ'. β'. 32.

§. 14. Ἐπεψήφισε] ἔθηκεν εἰς ψηφοφορίαν. Τί δὲ διαφέρει τοῦ

πηδάλια παραλυόμενοι, ἕως ἂν ἱκανὰ τὰ ἄξοντα γένηται, ἴσως ἂν οὐκ ἀπορήσαιμεν κομιδῆς οἵας δεόμεθα. ἔδοξε καὶ ταῦτα. Ἐννοήσατε δ', ἔφη, εἰ εἰκὸς καὶ 12 τρέφειν ἀπὸ κοινοῦ οὓς ἂν κατάγωμεν, ὅσον ἂν χρόνον ἡμῶν ἕνεκεν μένωσι, καὶ ναῦλον συνθέσθαι, ὅπως ὠφελοῦντες καὶ ὠφελῶνται. ἔδοξε καὶ ταῦτα. Δοκεῖ 13 τοίνυν μοι, ἔφη, ἢν ἄρα καὶ ταῦτα ἡμῖν μὴ ἐκπεραίνηται ὥστε ἀρκεῖν πλοῖα, τὰς ὁδούς, ἃς δυσπόρους ἀκούομεν εἶναι, ταῖς παρὰ θάλατταν οἰκούσαις πόλεσιν ἐντείλασθαι ὁδοποιεῖν· πείσονται γὰρ καὶ διὰ τὸ φοβεῖσθαι καὶ διὰ τὸ βούλεσθαι ἡμῶν ἀπαλλαγῆναι.

Ἐνταῦθα δὲ ἀνέκραγον ὡς οὐ δέοι ὁδοιπορεῖν. 14 ὁ δέ, ὡς ἔγνω τὴν ἀφροσύνην αὐτῶν, ἐπεψήφισε μὲν οὐδέν, τὰς δὲ πόλεις ἑκούσας ἔπεισεν ὁδοποιεῖν, λέγων, ὅτι θᾶττον ἀπαλλάξονται, ἢν εὔποροι γένωνται αἱ ὁδοί. ἔλαβον δὲ καὶ πεντηκόντορον παρὰ τῶν Τραπεζουν- 15 τίων, ἣ ἐπέστησαν Δέξιππον Λάκωνα περίοικον. οὗτος, ἀμελήσας τοῦ συλλέγειν πλοῖα, ἀποδρὰς ᾤχετο ἔξω τοῦ Πόντου ἔχων τὴν ναῦν. οὗτος μὲν οὖν δίκαια ἔπαθεν ὕστερον· ἐν Θράκῃ γὰρ παρὰ Σεύθῃ πολυπραγμονῶν τι ἀπέθανεν ὑπὸ Νικάνδρου τοῦ Λάκω-

ἐπιψηφίζομαι ἴδε Ἀσ. 340. 35 καὶ 37.

§. 15. Πεντηκόντορον] πλοῖον μὲ 50 κώπας. — Ἣ ἐπέστησαν] ἧς ἐπιστάτην διώρισαν. Λέγεται δὲ τὸ ἐφίστημί τινί τινα ἐπὶ στρατηγῶν, φρουτιστῶν, διδασκάλων, φυλάκων κ. τ. τ. Ἴδε καὶ Γ'. γ'. 20. — Ἔξω τοῦ πόντου] Ποῦ δ' ἐπορεύθη καὶ πῶς διῆγεν ἴδε ΣΤ'. ά. 32 καὶ ΣΤ'. ς'. 9. — Ἔχων τὴν ναῦν] μὲ τὴν ναῦν. — Παρὰ Σεύθῃ] βασιλεῖ τῆς Θράκης. Ἴδε Ζ'. ά. 5. κ. ἑ. — Πολυπραγμονῶν τι] ἐπειδὴ ἀνεμιγνύετο εἰς ἀλλοτρίας τινὰς ὑποθέσεις. — Ἀπέθανεν ὑπὸ Νικάνδρου] ἐφονεύθη.

16 νος. ἔλαβον δὲ καὶ τριακόντορον, ἣ ἐπεστάθη Πολυκράτης Ἀθηναῖος, ὅς, ὁπόσα λαμβάνοι πλοῖα, κατῆγεν ἐπὶ τὸ στρατόπεδον. καὶ τὰ μὲν ἀγώγιμα εἴ τι ἦγον ἐξαιρούμενοι φύλακας καθίστασαν, ὅπως σᾶ εἴη, τοῖς
17 δὲ πλοίοις ἐχρήσαντο εἰς παραγωγήν. ἐν ᾧ δὲ ταῦτα ἦν, ἐπὶ λείαν ἐξῆσαν οἱ Ἕλληνες, καὶ οἱ μὲν ἐλάμβανον, οἱ δὲ καὶ οὔ. Κλεαίνετος δ' ἐξαγαγὼν καὶ τὸν ἑαυτοῦ καὶ ἄλλον λόχον πρὸς χωρίον χαλεπόν, αὐτός τε ἀπέθανε καὶ ἄλλοι πολλοὶ τῶν σὺν αὐτῷ.

1 β'. Ἐπεὶ δὲ τὰ ἐπιτήδεια οὐκέτι ἦν λαμβάνειν, ὥστε ἀπανθημερίζειν ἐπὶ τὸ στρατόπεδον, ἐκ τούτου, λαβὼν Ξενοφῶν ἡγεμόνας τῶν Τραπεζουντίων, ἐξάγει εἰς Δρίλας τὸ ἥμισυ τοῦ στρατεύματος, τὸ δὲ ἥμισυ κατέλιπε φυλάττειν τὸ στρατόπεδον· οἱ γὰρ Κόλχοι, ἅτε ἐκπεπτωκότες τῶν οἰκιῶν, πολλοὶ ἦσαν ἀθρόοι καὶ
2 ὑπερεκάθηντο ἐπὶ τῶν ἄκρων. οἱ δὲ Τραπεζούντιοι, ὁπόθεν μὲν τὰ ἐπιτήδεια ῥᾴδιον ἦν λαβεῖν, οὐκ ἦγον· φίλοι γὰρ αὐτοῖς ἦσαν· εἰς δὲ τοὺς Δρίλας προθύμως ἦγον, ὑφ' ὧν κακῶς ἔπασχον, εἰς χωρία τε ὀρεινὰ καὶ δύσβατα καὶ ἀνθρώπους πολεμικωτάτους τῶν ἐν τῷ Πόντῳ.

3 Ἐπεὶ δὲ ἦσαν ἐν τῇ ἄνω χώρᾳ οἱ Ἕλληνες, ὁποῖα τῶν χωρίων τοῖς Δρίλαις ἁλῶσιμα εἶναι ἐδόκει, ἐμπιπράντες ἀπῆσαν· καὶ οὐδὲν ἦν λαμβάνειν, εἰ μὴ ὗς ἢ βοῦς ἢ ἄλλο τι κτῆνος τὸ πῦρ διαπεφευγός. Ἐν δὲ

§. 16. Ὁπόσα λαμβάνοι] ὁπόσα ἐλάμβανεν. Γ. Σ. Γ. δ'. — Ἀγώγιμα] φορτία, ἐμπορεύματα. — Φύλακας καθίστασαν] Γ. δ'. 30. —Εἰς παραγωγήν] εἰς παράπλουν, ἵνα διὰ τούτων μετακομίσωσι τὸν στρατόν.

§. 17. Χαλεπὸν] ἴδε Δ'. ή. 2. οἷον χαλεπώτατον. — Ἀπέθανεν] ἴδε ἀνωτέρω, §. 15.

Κεφ. β'. §. 1. Λαμβάνειν, ὥστε ἀπανθημερίζειν ἐπὶ τὸ στρατόπεδον] νὰ λαμβάνωσι (τὰ τρόφιμα) ἐκ τῆς πολεμίας οὕτως, ὥστε ἐν μιᾷ καὶ τῇ αὐτῇ ἡμέρᾳ καὶ νὰ ἐξέρχωνται εἰς συλλογὴν καὶ συλλέξαντες νὰ ἐπανακάμπτωσιν εἰς τὸ στρατόπεδον. — Δρίλας] ἔθνος νοτιώτερον τῶν Τραπεζουντίων οἰκοῦν.—Ἅτε ἐκπεπτωκότες] ἐπειδὴ ἠναγκάσθησαν νὰ καταλίπωσι τὰς οἰκίας των. — Ὑπερεκάθηντο] Ε'. ά. 9.

§. 3. Τοῖς Δρίλαις . . ἐδόκει] ἐνόμιζον οἱ Δρίλαι. — Ξυνερρυήκεσαν] εἶχον συρρεύσει. Ὑπερσ.

ἦν χωρίον μητρόπολις αὐτῶν· εἰς τοῦτο πάντες ξυνερρυήκεσαν. περὶ δὲ τοῦτο ἦν χαράδρα ἰσχυρῶς βαθεῖα καὶ πρόσοδοι χαλεπαὶ πρὸς τὸ χωρίον. οἱ δὲ 4 πελτασταί, προδραμόντες στάδια πέντε ἢ ἓξ τῶν ὁπλιτῶν, διαβάντες τὴν χαράδραν, ὁρῶντες πρόβατα πολλὰ καὶ ἄλλα χρήματα προσέβαλλον πρὸς τὸ χωρίον· συνείποντο δὲ καὶ δορυφόροι πολλοί, οἱ ἐπὶ τὰ ἐπιτήδεια ἐξωρμημένοι. ὥστε ἐγένοντο οἱ διαβάντες πλείονς ἢ 5 εἰς δισχιλίους ἀνθρώπους. ἐπεὶ δὲ μαχόμενοι οὐκ ἐδύναντο λαβεῖν τὸ χωρίον—καὶ γὰρ τάφρος ἦν περὶ αὐτὸ εὐρεῖα ἀναβεβλημένη καὶ σκόλοπες ἐπὶ τῆς ἀναβολῆς καὶ τύρσεις πυκναὶ ξύλιναι πεποιημέναι—ἀπιέναι δὴ ἐπεχείρουν· οἱ δὲ ἐπέκειντο αὐτοῖς. ὡς δὲ οὐκ 6 ἐδύναντο ἀποτρέχειν—ἦν γὰρ ἐφ' ἑνὸς ἡ κατάβασις ἐκ τοῦ χωρίου εἰς τὴν χαράδραν—πέμπουσι πρὸς Ξενοφῶντα· ὁ δὲ ἡγεῖτο τοῖς ὁπλίταις. ὁ δ' ἐλθὼν λέγει, ὅτι 7 ἔστι χωρίον χρημάτων πολλῶν μεστόν· τοῦτο οὔτε λαβεῖν δυνάμεθα—ἰσχυρὸν γάρ ἐστιν—οὔτε ἀπελθεῖν ῥᾴδιον· μάχονται γὰρ ἐπεξεληλυθότες καὶ ἡ ἄφοδος χαλεπή. ἀκούσας ταῦτα ὁ Ξενοφῶν, προσαγαγὼν 8 πρὸς τὴν χαράδραν, τοὺς μὲν ὁπλίτας θέσθαι ἐκέλευσε τὰ ὅπλα, αὐτὸς δέ, διαβὰς σὺν τοῖς λοχαγοῖς, ἐσκοπεῖτο

τοῦ συρρέω. — Χαράδρα] χάνδαξ φυσικὸς ἐκ τῶν καταρρεόντων ὑδάτων σχηματισθείς, νεροφαγγὰ λέγεται ἐνιαχοῦ. — Πρόσοδοι] ὁδοὶ φέρουσαι εἰς τὸ χωρίον. Ἴδε κατωτέρω §. 7, ἄφοδος.

§. 4. Οἱ ἐπὶ τὰ ἐπιτήδεια ἐξωρμημένοι] οἱ ἀποτελοῦντες τὰς προνομάς. Ἴδε Ε'. ά. 7.

§. 5. Τάφρος . . ἀναβεβλημένη] τάφρος ὑψηλὴ ἐκ τοῦ ἀνορυχθέντος χώματος· τοῦτο δὲ τὸ χῶμα, ὃ ἐπεσωρεύετο εἰς τὸ ἕτερον χεῖλος τῆς τάφρου, ἐλέγετο ἀναβολή. — Τύρσεις] Δ'. δ'. 2.—Ἀπιέναι δὴ] ἴδε Β'. ϛ'. 1.

§. 6. Ἀποτρέχειν] δρομαίως νὰ ἀπέρχωνται· διότι οἱ πελτασταὶ διὰ τὸν ὁπλισμόν των ἐπορεύοντο οὐ βάδην, ὡς οἱ ὁπλῖται, ἀλλὰ δρόμῳ. Ἴδε Γ. δ'. 27. — Ἦν ἐφ' ἑνὸς ἡ κατάβασις] ἀνὰ εἷς ἠδύναντο νὰ καταβαίνωσιν. Ἴδε Ζ'. ή. 14.

§. 7. Ὁ δ' ἐλθὼν] ὁ πεμφθεὶς πρὸς τὸν Ξενοφῶντα. — Χρημάτων] Α'. θ'. 19. — Ἄφοδος] ὁδός, δι' ἧς ἀπέρχεταί τις. Ἴδε ἀνωτέρω §. 3, πρόσοδοι.

§. 8. Θέσθαι . . τὰ ὅπλα] Α'. έ. 17. κατὰ χώραν ἔθεντο τὰ ὅπλα. — Ὡς ἁλόντος ἂν] = ὥσπερ ἂν, εἰ διαβιβάζοι τοὺς

πότερον εἴη κρεῖττον ἀπαγαγεῖν καὶ τοὺς διαβεβηκότας
ἢ καὶ τοὺς ὁπλίτας διαβιβάζειν, ὡς ἀλόντος ἂν τοῦ
9 χωρίου· ἐδόκει γὰρ τὸ μὲν ἀπαγαγεῖν οὐκ εἶναι ἄνευ
πολλῶν νεκρῶν, ἑλεῖν δ' ἂν ᾧοντο καὶ οἱ λοχαγοὶ τὸ
χωρίον. καὶ ὁ Ξενοφῶν συνεχώρησε, τοῖς ἱεροῖς πι-
στεύσας· οἱ γὰρ μάντεις ἀποδεδειγμένοι ἦσαν, ὅτι
10 μάχη μὲν ἔσται, τὸ δὲ τέλος καλὸν τῆς ἐξόδου. καὶ τοὺς
μὲν λοχαγοὺς ἔπεμπε διαβιβῶντας τοὺς ὁπλίτας, αὐ-
τὸς δ' ἔμενεν, ἀναχωρίσας ἅπαντας τοὺς πελταστάς,
11 καὶ οὐδένα εἴα ἀκροβολίζεσθαι. ἐπεὶ δ' ἦκον οἱ ὁπλῖ-
ται, ἐκέλευσε τὸν λόχον ἕκαστον ποιῆσαι τῶν λοχαγῶν,
ὡς ἂν κράτιστα οἴηται ἀγωνιεῖσθαι· ἦσαν γὰρ οἱ λοχα-
γοὶ πλησίον ἀλλήλων οἱ πάντα τὸν χρόνον ἀλλήλοις
12 περὶ ἀνδραγαθίας ἀντεποιοῦντο. καὶ οἱ μὲν ταῦτ'
ἐποίουν· ὁ δὲ τοῖς πελτασταῖς πᾶσι παρήγγελλε διηγ-
κυλωμένους ἰέναι, ὡς, ὁπόταν σημήνῃ, ἀκοντίζειν,
καὶ τοὺς τοξότας ἐπιβεβλῆσθαι ἐπὶ ταῖς νευραῖς, ὡς,
ὁπόταν σημήνῃ, τοξεύειν δεῆσον, καὶ τοὺς γυμνῆτας
λίθων ἔχειν μεστὰς τὰς διφθέρας· καὶ τοὺς ἐπιτηδεί-
13 ους ἔπεμψε τούτων ἐπιμεληθῆναι. ἐπεὶ δὲ πάντα παρε-
σκεύαστο, καὶ οἱ λοχαγοὶ καὶ οἱ ὑπολόχαγοι καὶ οἱ

ὁπλίτας, ἁλοίη ἂν τὸ χωρίον = ἁλώσιμον ἂν εἴη τὸ χωρίον. Α'. ά. 10. ὡς περιγενόμενος ἄν. Ἴδε καὶ Ἀσ. 476. 82.

§. 9. Ξυνεχώρησε] τοῖς στρατηγοῖς = παρεδέξατο τὴν γνώμην τῶν στρατηγῶν. — Ἀποδεδειγμένοι ἦσαν] γνώμην. Τὸ πλῆρες ἴδε ἐν Ε'. έ. 3, 6, 37. Τὸ δὲ ἀποδείκνυμαι γνώμην = ἀποφαίνομαι γνώμην=γνωμοδοτῶ.

§. 10. Ἔπεμπε διαβιβῶντας] τελικὴ ἡ μετοχή. — Ἀκροβολίζεσθαι] Γ'. δ'. 16.

§. 11. Ἀλλήλοις περὶ ἀνδραγαθίας ἀντεποιοῦντο] Β'. ά. 11. ἀντιποιεῖται.

§ 12. Διηγκυλωμένους] Δ'. γ'. 28. — Ὡς, ὁπόταν σημήνῃ, ἀκοντίζειν κτλ.] = ὡς δεῆσον ἀκοντίζειν καὶ . . ὡς . . δεῆσον τοξευειν = διότι ἔμελλε νὰ γείνῃ ἀνάγκη ν' ἀκοντίζωσι . . διότι ἔμελλε νὰ γείνῃ ἀνάγκη, νὰ τοξεύωσιν. Ὥστε τὸ δεῆσον ἀπὸ κοινοῦ ἐννοεῖται καὶ εἰς τὸ ἀκοντίζειν. — Ἐπιβεβλῆσθαι] Δ'. γ'. 28. — Γυμνῆτας] Α'. β'. 3. — Διφθέρας] τοὺς τορβάδες, ὡς λέγομεν τουρκιστί, ἢ ταγάρια δερματίνους σάκκους. — Ἐπιτηδείους] Α'. γ'. 18. οἵτινες ἐπιτήδειοι.

§. 13. Ἀξιοῦντες] οἱ ἔχοντες τὴν ἀπαίτησιν ἢ ἀξίωσιν. — Μηνοειδὴς ἦν] εἶχε σχῆμα ἡμισελήνου.

ἀξιοῦντες τούτων μὴ χείρους εἶναι πάντες παρατεταγ-
μένοι ἦσαν, καὶ ἀλλήλους μὲν δὴ συνεώρων· μηνοει-
δὴς γὰρ διὰ τὸ χωρίον ἡ τάξις ἦν· ἐπεὶ δ' ἐπαιάνισαν 14
καὶ ἡ σάλπιγξ ἐφθέγξατο, ἅμα τε τῷ Ἐνυαλίῳ ἠλέλι-
ξαν καὶ ἔθεον δρόμῳ οἱ ὁπλῖται, καὶ τὰ βέλη ὁμοῦ
ἐφέρετο, λόγχαι, τοξεύματα, σφενδόναι, πλεῖστοι δ'
ἐκ τῶν χειρῶν λίθοι· ἦσαν δὲ οἳ καὶ πῦρ προσέφερον.
ὑπὸ δὲ τοῦ πλήθους τῶν βελῶν ἔλιπον οἱ πολέμιοι τά 15
τε στανρώματα καὶ τὰς τύρσεις. ὥστε Ἀγασίας Στυμ-
φάλιος καὶ Φιλόξενος Πελληνεύς, καταθέμενοι τὰ ὅπλα,
ἐν χιτῶνι μόνον ἀνέβησαν, καὶ ἄλλος ἄλλον εἵλκε, καὶ
ἄλλος ἀνεβεβήκει, καὶ ἠλώκει τὸ χωρίον, ὡς ἐδόκει.
καὶ οἱ μὲν πελτασταὶ καὶ οἱ ψιλοὶ εἰσδραμόντες ἥρπα- 16
ζον ὅ τι ἕκαστος ἐδύνατο· ὁ δὲ Ξενοφῶν, στὰς κατὰ
τὰς πύλας, ὁπόσους ἐδύνατο, κατεκώλνε τῶν ὁπλιτῶν
ἔξω· πολέμιοι γὰρ ἄλλοι ἐφαίνοντο ἐπ' ἄκροις τισὶν
ἰσχυροῖς. οὐ πολλοῦ δὲ χρόνου μεταξὺ γενομένου, 17
κραυγή τε ἐγένετο ἔνδον καὶ ἔφευγον οἱ μὲν καὶ ἔχον-
τες, ἃ ἔλαβον, τάχα δέ τις καὶ τετρωμένος· καὶ πολὺς
ἦν ὠθισμὸς ἀμφὶ τὰ θύρετρα. καὶ ἐρωτώμενοι οἱ
ἐκπίπτοντες ἔλεγον, ὅτι ἄκρα τέ ἐστιν ἔνδον καὶ οἱ πο-
λέμιοι πολλοί, οἳ παίουσιν ἐκδεδραμηκότες τοὺς ἔνδον
ἀνθρώπους. ἐνταῦθα ἀνειπεῖν ἐκέλευσε Τολμίδην 18
τὸν κήρυκα ἰέναι εἴσω τὸν βουλόμενόν τι λαμβάνειν.
καὶ ἵεντο πολλοὶ εἴσω, καὶ νικῶσι τοὺς ἐκπίπτοντας οἱ
εἰσωθούμενοι καὶ κατακλείουσι τοὺς πολεμίους πάλιν

νου.

§. 14. Ἐπαιάνισαν] Α'. ή. 17. — Ἐνυαλίῳ] Α'. ή. 18. — Ἠλέλιξαν] Α'. ή. 18. — Ὁμοῦ ἐφέρετο] ταὐτοχρόνως ἐφέροντο. — Ἦσαν δὲ οἳ] τινὲς δέ. Γ. Σ. Ζ'.

§. 15. Σταυρώματα] φράκτας ἐκ σταυρῶν κατεσκευασμένους. σταυροὶ δὲ ἐλέγοντο οἱ πάσσαλοι, τὰ παλούκια. Οἱ αὐτοὶ ἐλέγοντο καὶ σκόλοπες. — Τύρσεις] ἴδε ἀνωτέρω, §. 5. — Ἀνεβεβήκει] = εἶχεν ἀναβῆ χωρὶς νὰ περιμείνῃ νὰ τὸν ἀνελκύσῃ ἄλλος.

§. 17. Τάχα δέ τις] διὰ τοῦτο δέ τινες καὶ τετρωμένοι ἔφευγον, (διότι δηλαδὴ ἔφερον καὶ ἃ ἔλαβον). Ταύτην τὴν σημασίαν ἔχει τὸ τάχα μετὰ τοῦ ἄν, περὶ οὗ ἴδε Δ'. δ', 12 — Οἱ ἐκπίπτοντες] ἴδε Ε'. β'. 31.

§. 18. Ἀνειπεῖν] Β'. β'. 20. — Ἵεντο] Γ'. δ'. 41. — Τοὺς ἐκπίπτοντας] τοὺς ἐξωσθέντας τῶν οἰκιῶν των. Ε'. β'. 31.

19 εἰς τὴν ἄκραν. καὶ τὰ μὲν ἔξω τῆς ἄκρας πάντα διηρπάσθη καὶ ἐξεκομίσαντο οἱ Ἕλληνες· οἱ δὲ ὁπλῖται ἔθεντο τὰ ὅπλα οἱ μὲν περὶ τὰ ξαυρώματα, οἱ δὲ
20 κατὰ τὴν ὁδὸν τὴν ἐπὶ τὴν ἄκραν φέρουσαν. ὁ δὲ Ξενοφῶν καὶ οἱ λοχαγοὶ ἐσκόπουν, εἰ οἷόν τε εἴη τὴν ἄκραν λαβεῖν· ἦν γὰρ οὕτω σωτηρία ἀσφαλής, ἄλλως δὲ πάνυ χαλεπὸν ἐδόκει εἶναι ἀπελθεῖν· σκοπουμένοις δὲ αὐτοῖς ἔδοξε παντάπασιν ἀνάλωτον εἶναι τὸ
21 χωρίον. ἐνταῦθα παρεσκευάζοντο τὴν ἄφοδον, καὶ τοὺς μὲν σταυροὺς ἕκαστοι τοὺς καθ' αὑτοὺς διῄρουν καὶ τοὺς ἀχρείους καὶ φορτία ἔχοντας ἐξεπέμποντο, καὶ τῶν ὁπλιτῶν τὸ πλῆθος καταλιπόντες οἱ λοχαγοί, οἷς
22 ἕκαστος ἐπίστευεν. ἐπεὶ δὲ ἤρξαντο ἀποχωρεῖν, ἐπεξέθεον ἔνδοθεν πολλοί, γέρρα καὶ λόγχας ἔχοντες καὶ κνημῖδας καὶ κράνη Παφλαγονικά, καὶ ἄλλοι ἐπὶ τὰς οἰκίας ἀνέβαινον τὰς ἔνθεν καὶ ἔνθεν τῆς εἰς τὴν
23 ἄκραν φερούσης ὁδοῦ. ὥστε οὐδὲ διώκειν ἀσφαλὲς ἦν κατὰ τὰς πύλας τὰς εἰς τὴν ἄκραν φερούσας· καὶ γὰρ ξύλα μεγάλα ἐπερρίπτουν ἄνωθεν. ὥστε χαλεπὸν ἦν καὶ μένειν καὶ ἀπιέναι. καὶ ἡ νὺξ φοβερὰ ἦν ἐπι-
24 οῦσα. μαχομένων δὲ αὐτῶν καὶ ἀπορουμένων, θεῶν τις αὐτοῖς μηχανὴν σωτηρίας δίδωσιν· ἐξαπίνης γὰρ

§. 19. Ἔθεντο τὰ ὅπλα] *Α'. έ.* 17.

§. 20. Ἐσκόπουν] ἀντὶ τοῦ ἐσκέπτοντο = ἐσκέπτοντο, ὡς φαίνεται καὶ ἐκ τῶν κατωτέρω, σκοπουμένοις δὲ αὐτοῖς.

§. 21. Παρεσκευάζοντο τὴν ἄφοδον] παρεσκεύαζον ἑαυτοῖς τὴν ἀποχώρησιν. Ἴδε Ἀσ. 263. 21. ή. — Τοὺς καθ' αὑτοὺς] τοὺς ἀπέναντι ἑαυτῶν. *Α'. ή.* 21.—Διῄρουν] διέσπων.—Καὶ τοὺς ἀχρείους] ἀντὶ τοὺς δὲ ἀχρείους· ἀχρεῖοι δὲ οἱ ἄχρηστοι. Ἴδε *Γ'. δ'.* 26. — Καὶ τῶν ὁπλιτῶν τὸ πλῆθος κτλ.] καταλιπόντες καὶ τούτους (τοὺς ἀχρείους καὶ φορτία φέροντας) καὶ τῶν ὁπλιτῶν τὸ πλῆθος (τούτοις, οἷς ἕκαστος τῶν λοχαγῶν ἐπίστευεν (εἶχεν ἐμπιστοσύνην ἢ πεποίθησιν).

§. 22. Κράνη Παφλαγονικά] ἴδε *Ε'. δ'.* 13, ὅπου καὶ σκύτινα καλοῦνται.

§. 23. Φοβερὰ ἦν ἐπιοῦσα] ἐπελθοῦσα τοὺς ἐφόβιζε πάνυ.

§. 24. Μαχομένων δ' αὐτῶν] ἀντὶ μαχομένοις δ' αὐτοῖς. Ἴδε Ἀσ. 476. 81. — Ὅτου δὴ ἐνάψαντος] *Δ'. ζ'.* 25. Ὅτου δὴ παρεγγυήσαντος. — Οἱ ἀπὸ τῶν ἐν δεξιᾷ οἰκιῶν] οἱ ἐπὶ τῶν ἐν δεξιᾷ οἰκιῶν ὄντες ἔφευγον ἀπ' αὐτῶν. Ἴδε *Α'. β'.* 18.

ἀνέλαμψεν οἰκία τῶν ἐν δεξιᾷ, ὅτου δὴ ἐνάψαντος. ὡς δ' αὕτη συνέπιπτεν, ἔφευγον οἱ ἀπὸ τῶν ἐν δεξιᾷ οἰκιῶν. ὡς δὲ ἔμαθεν ὁ Ξενοφῶν τοῦτο παρὰ τῆς τύ- 25
χης, ἐνάπτειν ἐκέλευε καὶ τὰς ἐν ἀριστερᾷ οἰκίας, αἳ ξύλιναι ἦσαν, ὥστε καὶ ταχὺ ἐκάοντο. ἔφευγον οὖν καὶ οἱ ἀπὸ τούτων τῶν οἰκιῶν. οἱ δὲ κατὰ στόμα 26
δὴ ἔτι μόνοι ἐλύπουν καὶ ὁπλοι, ὅτι ἐπικείσονται ἐν τῇ ἐξόδῳ τε καὶ καταβάσει. ἐνταῦθα παραγγέλλει φέρειν ξύλα, ὅσοι ἐτύγχανον ἔξω ὄντες τῶν βελῶν, εἰς τὸ μέσον ἑαυτῶν καὶ τῶν πολεμίων. ἐπεὶ δὲ ἱκανὰ ἤδη ἦν, ἐνῆψαν· ἐνῆπτον δὲ καὶ τὰς παρ' αὐτὸ τὸ χαράκωμα οἰκίας, ὅπως οἱ πολέμιοι ἀμφὶ ταῦτα ἔχοιεν. οὕτω 27
μόλις ἀπῆλθον ἀπὸ τοῦ χωρίου, πῦρ ἐν μέσῳ ἑαυτῶν καὶ τῶν πολεμίων ποιησάμενοι. καὶ κατεκαύθη πᾶσα ἡ πόλις καὶ αἱ οἰκίαι καὶ αἱ τύρσεις καὶ τὰ σταυρώματα καὶ τἆλλα πάντα πλὴν τῆς ἄκρας.

Τῇ δὲ ὑστεραίᾳ ἀπῆσαν οἱ Ἕλληνες ἔχοντες τὰ 28
ἐπιτήδεια. ἐπεὶ δὲ τὴν κατάβασιν ἐφοβοῦντο τὴν εἰς Τραπεζοῦντα—πρανὴς γὰρ ἦν καὶ στενὴ — ψευδενέ- 29
δραν ἐποιήσαντο· καὶ ἀνὴρ Μυσὸς τὸ γένος καὶ τοὔνομα τοῦτο ἔχων, τῶν Κρητῶν λαβὼν δέκα, ἔμενεν ἐν λασίῳ χωρίῳ καὶ προσεποιεῖτο τοὺς πολεμίους πειρᾶσθαι

οἱ ἐκ τῆς ἀγορᾶς.

§. 25. Οἱ κατὰ τὸ στόμα] οἱ πρῶτοι, οἱ ἀποτελοῦντες τὸ ἔμπροσθεν μέρος τοῦ στρατοῦ. Ἀντίθετον τῷ στόμα ἡ οὐρά. Ἴδε *Γ'. δ'.* 37 καὶ *Δ'. Γ'.* 26. — Δὴ ἔτι μόνοι ἐλύπουν] μόνοι δὴ ἐλύπουν ἔτι = αὐτοὶ καὶ μόνοι ἠνώχλουν ἔτι. Περὶ τοῦ δὴ ἴδε *Α'. ή.* 10, τὰ δὴ δρεπανηφόρα· περὶ τοῦ λυπῶ ἴδε *Β'. γ'.* 23.

§. 26. Ἔξω ὄντες τῶν βελῶν] *Α'. ή.* 19. — Ἀμφὶ ταῦτα ἔχοιεν] ἀσχολῶνται εἰς ταῦτα. Ἴδε καὶ *ΣΤ'. ς'.* 1, *Ζ'. β'.* 16.

§. 28. Ψευδενέδραν] ψευδῆ ἐνέδραν. Προσεποιοῦντο ὅτι ςαίνουσι παγίδας κατὰ τῶν πολεμίων, ἵνα διευκολύνωσι τὴν ὀπισθοχώρησιν τοῦ ἄλλου στρατοῦ. Ἴδε §. 30.

§. 29. Μυσὸς τὸ γένος καὶ τοὔνομα τοῦτο ἔχων] = Μυσὸς καὶ τὴν πατρίδα καὶ τοὔνομα = Μυσὸς μὲν τὴν πατρίδα, Μυσὸς δὲ καὶ καλούμενος. Τοιαῦτα καὶ τὰ ἡμέτερα Αὐλωνίτης, Μωραΐτης, Ἀθηναῖος κτλ. οὐχὶ μόνον ὡς ἐθνικά, ἀλλὰ καὶ ὡς κύρια ὀνόματα λεγόμενα. —Λασίῳ χωρίῳ] εἰς ὑλώδες χωρίον = ρουμάνι. Ἴδε *Α'. έ.* 1. Ἴδε καὶ κατωτέρω, § 31. — Ἄλ-

λανθάνειν· αἱ δὲ πέλται αὐτῶν ἄλλοτε καὶ ἄλλοτε
30 διεφαίνοντο, χαλκαῖ οὖσαι. οἱ μὲν οὖν πολέμιοι, ταῦτα
διορῶντες ἐφοβοῦντο, ὡς ἐνέδραν οὖσαν· ἡ δὲ στρα-
τιὰ ἐν τούτῳ κατέβαινεν. ἐπεὶ δὲ ἐδόκει ἤδη ἱκανὸν
ὑπεληλυθέναι, τῷ Μυσῷ ἐσήμηνε φεύγειν ἀνὰ κράτος·
31 καὶ ὃς ἐξαναστὰς φεύγει καὶ οἱ σὺν αὐτῷ. καὶ οἱ μὲν
ἄλλοι Κρῆτες—ἀλίσκεσθαι γὰρ ἔφασαν τῷ δρόμῳ—ἐκ-
πεσόντες ἐκ τῆς ὁδοῦ, εἰς ὕλην κατὰ τὰς νάπας καλιν-
32 δούμενοι ἐσώθησαν, ὁ Μυσὸς δὲ κατὰ τὴν ὁδὸν φεύ-
γων ἐβόα βοηθεῖν· καὶ ἐβοήθησαν αὐτῷ καὶ ἀνέλαβον
τετρωμένον. καὶ αὐτοὶ ἐπὶ πόδα ἀνεχώρουν βαλλό-
μενοι οἱ βοηθήσαντες καὶ ἀντιτοξεύοντές τινες τῶν
Κρητῶν. οὕτως ἀφίκοντο ἐπὶ τὸ στρατόπεδον, πάν-
τες σῷ ὄντες.

1 γ'. Ἐπεὶ δὲ οὔτε Χειρίσοφος ἦκεν οὔτε πλοῖα ἱκανὰ
ἦν οὔτε τὰ ἐπιτήδεια ἦν λαμβάνειν ἔτι, ἐδόκει ἀπιτέον
εἶναι. καὶ εἰς μὲν τὰ πλοῖα τούς τε ἀσθενοῦντας ἐνε-
βίβασαν καὶ τοὺς ὑπὲρ τετταράκοντα ἔτη καὶ παῖδας
καὶ γυναῖκας καὶ τῶν σκευῶν ὅσα μὴ ἀνάγκη ἦν ἔχειν.
καὶ Φιλήσιον καὶ Σοφαίνετον τοὺς πρεσβυτάτους τῶν
στρατηγῶν εἰσβιβάσαντες, τούτων ἐκέλευον ἐπιμελεῖ-
σθαι· οἱ δὲ ἄλλοι ἐπορεύοντο· ἡ δὲ ὁδὸς ὡδοποιημένη

λοτε καὶ ἄλλοτε] ἀπὸ καιροῦ εἰς καιρόν. Α'. ἐ. 12. ἄλλος καὶ ἄλλος. — Διεφαίνοντο] διὰ τῆς ὕλης διεκρίνοντο.

§. 30. Ὡς ἐνέδραν οὖσαν] ὡς ἂν ὑπῆρχεν ἐνέδρα. Γ'. γ'. 2. ὡς φίλον. — Ἀνὰ κράτος] Α'. ἰ. 15. — Καὶ ὅς] καὶ οὗτος.

§. 31. Ἁλίσκεσθαι γὰρ ἔφασαν τῷ δρόμῳ] διότι ἐνόμιζον ὅτι θὰ κατελαμβάνοντο ὑπὸ τῶν πολεμίων, ἂν ἐξηκολούθουν τρέχοντες ἐν τῇ ὁδῷ. Ἔφασαν = ἔλεγον καθ' ἑαυτούς = ἐνόμιζον. Το δὲ τῷ δρόμῳ = τούτῳ τῷ δρόμῳ = κατα τὴν ὁδόν. — Ἐκπεσόντες ἐκ τῆς ὁδοῦ] ἐξωσθέντες, δηλ. βιασθέντες ὑπὸ τῶν πολεμίων νὰ καταλίπωσι τὴν ὁδόν. Ἀσ. 283. 32. — Νάπας] δασώδης ἢ ὑλώδης κοιλάς. — Καλινδούμενοι] Δ'. ἡ. 28. — Βοηθεῖν] νὰ σπεύσωσιν εἰς βοήθειαν αὐτοῦ. — Ἐπὶ πόδα ἀνεχώρουν] ὑπεχώρουν ὀπισθοβατικῶς, μὲ τὸ πρόσωπον δηλαδὴ ἐστραμμένον πρὸς τοὺς πολεμίους, ἵνα μὴ στρέψωσι τοῖς πολεμίοις τὰ νῶτα.

Κεφ. γ'. §. 1. Τούτων ἐπιμελεῖσθαι] τῆς κατὰ θάλασσαν πορείας. — Ἐπορεύοντο] πεζῇ ἐπορεύοντο. — Ὡδοποιημένη] Ε'. ά. 14.

ἦν. καὶ ἀφικνοῦνται πορευόμενοι εἰς Κερασοῦντα τρι- 2
ταῖοι, πόλιν Ἑλληνίδα ἐπὶ θαλάττῃ Σινωπέων ἄποικον
ἐν τῇ Κολχίδι χώρᾳ. ἐνταῦθα ἔμειναν ἡμέρας δέκα· 3
καὶ ἐξέτασις ἐν τοῖς ὅπλοις ἐγίγνετο καὶ ἀριθμός, καὶ
ἐγένοντο ὀκτακισχίλιοι καὶ ἑξακόσιοι. οὗτοι ἐσώθη-
σαν· οἱ δὲ ἄλλοι ἀπώλοντο ὑπό τε τῶν πολεμίων καὶ
χιόνος καὶ εἴτις νόσῳ.

Ἐνταῦθα καὶ διαλαμβάνουσι τὸ ἀπὸ τῶν αἰχμα- 4
λώτων ἀργύριον γενόμενον· καὶ τὴν δεκάτην, ἣν τῷ
Ἀπόλλωνι ἐξεῖλον καὶ τῇ Ἐφεσίᾳ Ἀρτέμιδι, διέλαβον οἱ
στρατηγοὶ τὸ μέρος ἕκαστος φυλάττειν τοῖς θεοῖς· ἀντὶ
δὲ Χειρισόφου Νέων ὁ Ἀσιναῖος ἔλαβε. Ξενοφῶν οὖν 5
τὸ μὲν τοῦ Ἀπόλλωνος, ἀνάθημα ποιησόμενος, ἀνατί-
θησιν εἰς τὸν ἐν Δελφοῖς τῶν Ἀθηναίων θησαυρὸν
καὶ ἐπέγραψε τό τε αὐτοῦ ὄνομα καὶ τὸ Προξένου, ὃς
σὺν Κλεάρχῳ ἀπέθανε· ξένος γὰρ ἦν αὐτοῦ. τὸ δὲ 6
τῆς Ἀρτέμιδος τῆς Ἐφεσίας, ὅτ' ἀπῄει σὺν Ἀγησιλάῳ

§. 2. Ἐπὶ θαλάττῃ] Α'. δ'. 4. ἐπὶ δὲ τοῖς τείχεσι.

§. 3. Ἐξέτασις . . ἀριθμὸς] Α'. β'. 9. — Ὑπὸ . . τῆς χιόνος καὶ εἴ τις νόσῳ] Ἴδε Δ'. ἐ. 3 καὶ ἑξῆς.

§. 4. Καὶ διαλαμβάνουσι] οὐ μόνον ἀνεπαύσαντο, ἀλλὰ καὶ διαλαμβάνουσι. Εἶναι δὲ τὸ διαλαμβάνειν ἴσον τῷ διαμοιράζεσθαι. — Τὸ ἀπὸ τῶν αἰχμαλώτων ἀργύριον γενόμενον] = τὸ γενόμενον ἀπὸ τῶν αἰχμαλώτων ἀργύριον = τὸ προερχόμενον ἀπὸ τῶν λαφύρων, ἃ ἔλαβον ἐκ τῶν αἰχμαλώτων. Ἴδε Γ. Σ. Α. Σημειωτέον δ' ὅτι ἐκ τῶν λαφύρων μέρος μὲν τοῖς θεοῖς ἀφιέρουν, τὴν δεκάτην, ὡς λέγει ἐνταῦθα, μέρος δὲ τοῖς στρατηγοῖς (ἴδε Ἡροδ. Καλλιόπην), τὰ δ' ἄλλα διενέμοντο τοῖς στρατηγοῖς καὶ στρατιώταις ἐξ ἴσου. Ξενοφ. Κ. Π. Γ. — Τὸ μέρος] τὸ ἀναλογοῦν μέρος. Ἀσ. 142. 26. — Φυλάττειν τοῖς θεοῖς] ἵνα φυλάττῃ ὑπὲρ ἑκάστου τῶν θεῶν. Α'. γ'. 21. Φαίνεται δ' ὅτι τὸ δέκατον τῶν λαφύρων ἀφιέρωσαν τῷ Ἀπόλλωνι καὶ τῇ Ἐφεσίᾳ Ἀρτέμιδι· τούτου δὲ πάλιν τὸ μὲν ἥμισυ ἔλαβεν ὁ Ξενοφῶν, τὸ δ' ἕτερον Νέων ὁ Ἀσιναῖος ἀντὶ τοῦ Χειρισόφου, διότι οὗτος δὲν εἶχεν εἰσέτι ἐπανέλθει. Ἴδε ἀνωτέρω §. 1.

§. 5. Τῶν Ἀθηναίων θησαυρὸν] ἐν Δελφοῖς ἑκάστη πόλις διετήρει ἴδιον θησαυρόν, ἐν ᾧ ἀπετίθεντο τἀφιερώματα αὐτῆς.

§. 6. Ὅτ' ἀπῄει . . τὴν εἰς Βοιωτοὺς ὁδὸν] ὅτε ἐπορεύετο εἰς Βοιωτίαν. Ἀμεταβάτον τὸ ῥῆμα μεταβατικῶς ἐκφερόμενον. Ἴδε Ἀσ. 248. 41. — Μεγαβύ-

ἐκ τῆς Ἀσίας την εἰς Βοιωτοὺς ὁδόν, καταλείπει παρὰ Μεγαβύζῳ τῷ τῆς Ἀρτέμιδος νεωκόρῳ, ὅτι αὐτὸς κινδυνεύσων ἐδόκει ἰέναι, καὶ ἐπέστειλεν, ἢν μὲν αὐτὸς σωθῇ, αὐτῷ ἀποδοῦναι· ἢν δέ τι πάθῃ, ἀναθεῖναι ποιησάμενον τῇ Ἀρτέμιδι ὅ τι οἴοιτο χαριεῖσθαι τῇ 7 θεῷ. ἐπεὶ δ' ἔφευγεν ὁ Ξενοφῶν, κατοικοῦντος ἤδη αὐτοῦ ἐν Σκιλλοῦντι, ὑπὸ τῶν Λακεδαιμονίων οἰκισθέντος, παρὰ τὴν Ὀλυμπίαν, ἀφικνεῖται Μεγάβυζος εἰς Ὀλυμπίαν θεωρήσων καὶ ἀποδίδωσι τὴν παρακαταθήκην αὐτῷ. Ξενοφῶν δέ, λαβών, χωρίον ὠνεῖται τῇ 8 θεῷ, ὅπου ἀνεῖλεν ὁ θεός. ἔτυχε δὲ διαρρέων διὰ τοῦ χωρίου ποταμὸς Σελινοῦς· καὶ ἐν Ἐφέσῳ δὲ παρὰ τὸν τῆς Ἀρτέμιδος νεὼν Σελινοῦς ποταμὸς παραῤῥεῖ. καὶ ἰχθύες τε ἐν ἀμφοτέροις ἔνεισι καὶ κόγχαι· ἐν δὲ τῷ ἐν Σκιλλοῦντι χωρίῳ καὶ θῆραι πάντων, ὁπόσα 9 ἐξὶν ἀγρευόμενα θηρία. ἐποίησε δὲ καὶ βωμὸν καὶ ναὸν ἀπὸ τοῦ ἱεροῦ ἀργυρίου, καὶ τὸ λοιπὸν δὲ ἀεί, δεκατεύων τὰ ἐκ τοῦ ἀγροῦ ὡραῖα, θυσίαν ἐποίει τῇ θεῷ, καὶ πάντες οἱ πολῖται καὶ οἱ πρόσχωροι ἄνδρες καὶ γυναῖκες μετεῖχον τῆς ἑορτῆς. παρεῖχε δὲ ἡ θεὸς τοῖς σκηνοῦσιν ἄλφιτα, ἄρτους, οἶνον, τραγήματα καὶ τῶν θυομένων ἀπὸ τῆς ἱερᾶς νομῆς λάχος, καὶ τῶν

ξῳ] οἱ νεωκόροι τῆς ἐν Ἐφέσῳ Ἀρτέμιδος φρυγιστὶ ἐλέγοντο μεγάβυζοι· ὁ περὶ οὗ ὅμως ὁ λόγος ἐκ τοῦ ἐπαγγέλματος εἶχε μετονομασθῆ Μεγάβυζος· τοῦτο δὲ παρ' ἡμῖν κατέστη συνηθέστατον, ὡς ὁ Δαγηνᾶς, ὁ Παπᾶς, ὁ Διάκος. Ἦσαν δὲ πάντες οἱ Μεγάβυζοι εὐνοῦχοι. — Ποιησάμενον τῇ Ἀρτέμιδι ὅ τι οἴοιτο χαριεῖσθαι τῇ θεῷ] = ποιησάμενον ἀνάθημα τοιοῦτον ὥστε χαριεῖσθαι = ἀρεστὸν εἶνε τῇ θεῷ. Ἴδε Ἀσ. 118. 78.

§. 7. Ὑπὸ Λακεδαιμονίων οἰκισθέντος παρὰ τὴν Ὀλυμπίαν] Ἴδε Βίον Ξενοφῶντος ἐν ἀρχῇ τοῦ βιβλίου.

§. 8. Πάντων ὅσα ἐστὶν ἀγρευόμενα θηρία] = πάντων τῶν θηρίων, ὁπόσα ἀγρεύονται ἢ ἀγρευσιμά εἰσιν.

§. 9. Τὰ ἐκ τοῦ ἀγροῦ ὡραῖα] = τοὺς ὡρίμους τῶν ἀγρῶν καρπούς. — Ἱερᾶς νομῆς] τοῦ χωρίου τοῦ καθιερωμένου τῇ Ἀρτέμιδι. — Τραγήματα] β'. γ'. 15. — Λάχος] μερίδιον ἢ τεμάχιον· διότι τῶν θυμάτων τους μὲν μηροὺς διενέμοντο οἱ ἱερεῖς, τὸ δ' ἄλλο οἱ προσφέροντες τὴν

θηρευομένων δέ· καὶ γὰρ θήραν ἐποιοῦντο εἰς τὴν 10 ἑορτὴν οἵτε Ξενοφῶντος παῖδες καὶ οἱ τῶν ἄλλων πολιτῶν, οἱ δὲ βουλόμενοι καὶ ἄνδρες συνεθήρων· καὶ ἠλίσκετο τὰ μὲν ἐξ αὐτοῦ τοῦ ἱεροῦ χώρου, τὰ δὲ καὶ ἐκ τῆς Φολόης, σύες καὶ δορκάδες καὶ ἔλαφοι· ἔστι 11 δὲ ἡ χώρα, ᾗ ἐκ Λακεδαίμονος εἰς Ὀλυμπίαν πορεύονται, ὡς εἰκοσι στάδιοι ἀπὸ τοῦ ἐν Ὀλυμπίᾳ Διὸς ἱεροῦ· ἔνι δ' ἐν τῷ ἱερῷ χώρῳ καὶ λειμὼν καὶ ὄρη δένδρων μεστά, ἱκανὰ σῦς καὶ αἶγας καὶ βοῦς τρέφειν καὶ ἵππους, ὥστε καὶ τὰ τῶν εἰς τὴν ἑορτὴν ἰόντων ὑποζύγια εὐωχεῖσθαι. περὶ δὲ αὐτὸν τὸν ναὸν ἄλσος ἡμέρων 12 δένδρων ἐφυτεύθη, ὅσα ἐστὶ τρωκτὰ ὡραῖα. ὁ δὲ ναὸς ὡς μικρὸς μεγάλῳ τῷ ἐν Ἐφέσῳ εἴκασται, καὶ τὸ ξόανον ἔοικεν ὡς κυπαρίττινον χρυσῷ ὄντι τῷ ἐν Ἐφέσῳ. καὶ στήλη ἕστηκε παρὰ τὸν ναὸν γράμματα ἔχουσα, 13

ΙΕΡΟΣ Ο ΧΩΡΟΣ ΤΗΣ ΑΡΤΕΜΙΔΟΣ. ΤΟΝ ΕΧΟΝΤΑ ΚΑΙ ΚΑΡΠΟΥΜΕΝΟΝ ΤΗΝ ΜΕΝ ΔΕΚΑΤΗΝ ΚΑΤΑΘΥΕΙΝ ΕΚΑΣΤΟΥ ΕΤΟΥΣ. ΕΚ ΔΕ ΤΟΥ ΠΕΡΙΤΤΟΥ ΤΟΝ ΝΑΟΝ ΕΠΙΣΚΕΥΑΖΕΙΝ. ΑΝ ΔΕ ΤΙΣ ΜΗ ΠΟΙΗΙ ΤΑΥΤΑ, ΤΗΙ ΘΕΩΙ ΜΕΛΗΣΕΙ.

δ'. Ἐκ Κερασοῦντος δὲ κατὰ θάλατταν μὲν ἐκομί- 1 ζοντο οἵπερ καὶ πρόσθεν, οἱ δὲ ἄλλοι κατὰ γῆν ἐπορεύοντο. ἐπεὶ δὲ ἦσαν ἐπὶ τοῖς Μοσσυνοίκων ὁρίοις, 2

θυσίαν. Καὶ τῶν θηρευομένων δὲ] ἀκόμη δὲ καὶ τῶν θηρευομένων. Α'. ά. 2.

§. 10. Εἰς τὴν ἑορτὴν] διὰ τὴν ἑορτήν. Ἀσ. 601. 69. — Οἱ δὲ βουλόμενοι καὶ ἄνδρες] συνεθήρων δὲ καὶ οἱ βουλόμενοι ἄνδρες. Α' Θ'. 7.

§. 11. ᾗ] ἐκεῖ, ὅπου. — Εὐωχεῖσθαι] τρέφεσθαι. Σπανίως, ἀλλ' εὕρηται ἐνιαχοῦ καὶ περὶ ζώων, ἐπὶ ἀνθρώπων κυρίως λεγόμενον.

§. 12. Ὅσα ἐστὶ τρωκτὰ ὡραῖα] ὅσα, ὅταν ὡριμάσωσιν, εἶναι τρωκτά. — Ὁ δὲ ναὸς κτλ.] ὁ δὲ ναός, μικρὸς ὤν, εἴκασται ὡς τῷ ἐν Ἐφέσῳ, μεγάλῳ ὄντι, καὶ τὸ ξόανον, κυπαρίττινον ὄν, ἔοικεν ὡς τῷ ἐν Ἐφέσῳ, χρυσῷ ὄντι. Τὸ ὡς εἶναι κολαϊκὸν· δεικνύει ὅτι ἡ ὁμοιότης δὲν εἶναι τελεία. Ὁμοιάζει σάν, ὡς θὰ ἔλεγεν ἡ κοινή.

Κεφ. δ'. §. 1. Οἵπερ καὶ πρόσθεν] οἱ ὑπὲρ τὰ 40 ἔτη, οἱ ἀσθενεῖς, οἱ παῖδες καὶ αἱ γυναῖκες. Ἴδε Ε'. γ'. 1.

§. 2. Μοσσυνοίκων] λαοῦ μεταξὺ Κερασοῦντος καὶ τῆς χά-

πέμπουσιν εἰς αὐτοὺς Τιμησίθεον τὸν Τραπεζούντιον, πρόξενον ὄντα τῶν Μοσσυνοίκων, ἐρωτῶντες, πότερον ὡς διὰ φιλίας ἢ διὰ πολεμίας πορεύσονται τῆς χώρας. οἱ δὲ εἶπον, ὅτι οὐ διήσοιεν· ἐπίστευον γὰρ 3 τοῖς χωρίοις. ἐντεῦθεν λέγει ὁ Τιμησίθεος, ὅτι πολέμιοι οὗτοί εἰσιν οἱ ἐκ τοῦ ἐπέκεινα. καὶ ἐδόκει καλέσαι ἐκείνους, εἰ βούλοιντο συμμαχίαν ποιήσασθαι· καὶ πεμφθεὶς ὁ Τιμησίθεος ἦκεν ἄγων τοὺς ἄρχοντας. 4 ἐπεὶ δὲ ἀφίκοντο, συνῆλθον οἵ τε τῶν Μοσσυνοίκων ἄρχοντες καὶ οἱ στρατηγοὶ τῶν Ἑλλήνων· καὶ ἔλεξε 5 Ξενοφῶν, ἡρμήνευε δὲ Τιμησίθεος, Ὦ ἄνδρες Μοσσύνοικοι, ἡμεῖς βουλόμεθα διασωθῆναι πρὸς τὴν Ἑλλάδα πεζῇ· πλοῖα γὰρ οὐκ ἔχομεν· κωλύουσι δὲ 6 οὗτοι ἡμᾶς, οὓς ἀκούομεν ὑμῖν πολεμίους εἶναι. εἰ οὖν βούλεσθε, ἔξεστιν ὑμῖν ἡμᾶς λαβεῖν συμμάχους καὶ τιμωρήσασθαι, εἴ τί ποτε ὑμᾶς οὗτοι ἠδικήκασι, 7 καὶ τὸ λοιπὸν ὑμῶν ὑπηκόους εἶναι τούτους. εἰ δὲ ἡμᾶς ἀφήσετε, σκέψασθε, πόθεν αὖ ἂν τοσαύτην 8 δύναμιν λάβοιτε σύμμαχον· πρὸς ταῦτα ἀπεκρίνατο ὁ ἄρχων τῶν Μοσσυνοίκων, ὅτι καὶ βούλοιντο ταῦτα 9 καὶ δέχοιντο τὴν συμμαχίαν. Ἄγετε δή, ἔφη ὁ Ξενοφῶν, τί ἡμῶν δεήσεσθε χρήσασθαι, ἂν σύμμαχοι ὑμῶν γενώμεθα, καὶ ὑμεῖς τί οἷοί τε ἔσεσθε ἡμῖν συμ- 10 πρᾶξαι περὶ τῆς διόδου; οἱ δὲ εἶπον, ὅτι ἱκανοὶ ἐσμεν εἰς τὴν χώραν εἰσβάλλειν ἐκ τοῦ ἐπὶ θάτερα τὴν τῶν

ρας τῶν Τιβαρηνῶν. Διατί δὲ λέγονται οὕτω, ἴδε κατωτέρω §. 26—Ὡς διὰ φιλίας] ἴδε Δ'. ά. 8.— Οὐ διήσοιεν] = μέλλοιεν κωλῦσαι τὴν διάβασιν. Ἴδε Γ'. β'. 22.

§. 3. Ἐντεῦθεν] τούτου ἕνεκα, ἐπειδὴ δηλαδὴ οἱ Μοσσύνοικοι εἶπον ὅτι ἔμελλον νὰ κωλύσωσι τοῖς Ἕλλησι τὴν πορείαν. — Οἱ ἐκ τοῦ ἐπέκεινα] οἱ εἰς τὸ ἀντίθετον μέρος κατοικοῦντες, οἱ πρὸς τοὺς Τιβαρηνοὺς πλησιάζοντες, Μοσσύνοικοι ὄντες καὶ αὐτοί.

§. 7. Ἡμᾶς ἀφήσετε] τὴν συμμαχίαν ἡμῶν ἀπορρίψετε.

§. 9. Ἄγετε δή] = εἴπατε λοιπὸν ἤ εἴπατε ἤδη. Ἴδε Β'. β'. 10. — Τί ἡμῶν δεήσεσθε χρήσασθαι] τίνα ἀνάγκην θὰ λάβητε ἡμῶν πρὸς χρῆσιν ὑμῶν αὐτῶν = εἰς τί δύνασθε νὰ μᾶς χρησιμοποιήσητε.

§. 10. Ἐκ τοῦ ἐπὶ θάτερα] ἐκ τοῦ ἀντιθέτου μέρους (ὡς πρὸς τὸ μέρος, ἔνθα οἱ λόγοι γίγνον-

ὑμῖν τε καὶ ἡμῖν πολεμίων, καὶ δεῦρο ὑμῖν πέμψαι ναῦς τε καὶ ἄνδρας, οἵτινες ὑμῖν συμμαχοῦνταί τε καὶ τὴν ὁδὸν ἡγήσονται.

Ἐπὶ τούτοις πιστὰ δόντες καὶ λαβόντες, ᾤχοντο. 11 καὶ ἦκον τῇ ὑστεραίᾳ ἄγοντες τριακόσια πλοῖα μονόξυλα καὶ ἐν ἑκάστῳ τρεῖς ἄνδρας, ὧν οἱ μὲν δύο, ἐκβάντες, εἰς τάξιν ἔθεντο τὰ ὅπλα, ὁ δὲ εἷς ἔμενε. καὶ 12 οἱ μὲν, λαβόντες τὰ πλοῖα, ἀπέπλευσαν, οἱ δὲ μένοντες ἐξετάξαντο ὧδε· ἔστησαν ἀνὰ ἑκατὸν μάλιστα, οἷον χοροὶ ἀντιστοιχοῦντες ἀλλήλοις, ἔχοντες γέρρα πάντες λευκῶν βοῶν δασέα, εἰκασμένα κιττοῦ πετάλῳ, ἐν δὲ τῇ δεξιᾷ παλτὸν ὡς ἕξπηχυ, ἔμπροσθεν μὲν λόγχην ἔχον, ὄπισθεν δὲ αὐτοῦ τοῦ ξύλου σφαιροειδές. χιτω- 13 νίσκους δὲ ἐνεδεδύκεσαν ὑπὲρ γονάτων, πάχος ὡς λινοῦ στρωματοδέσμου, ἐπὶ τῇ κεφαλῇ δὲ κράνη σκύτινα, οἷάπερ τὰ Παφλαγονικά, κρωβύλον ἔχοντα κατὰ μέσον ἐγγύτατα τιαροειδῆ· εἶχον δέ καὶ σαγάρεις σιδηρᾶς. ἐντεῦθεν ἐξῆρχε μὲν αὐτῶν εἷς, οἱ δὲ ἄλλοι 14 πάντες ἐπορεύοντο ᾄδοντες ἐν ῥυθμῷ, καὶ διελθόντες διὰ τῶν τάξεων καὶ διὰ τῶν ὅπλων τῶν Ἑλλήνων ἐπορεύοντο εὐθὺς πρὸς τοὺς πολεμίους ἐπὶ χωρίον ὃ ἐδό-

ται). Ἀπὸ τοῦ ἄλλου μέρους, θὰ ἔλεγεν ἡ κοινή.

§. 11. Ἐπὶ τούτοις πιστὰ δόντες καὶ λαβόντες] Ἴδε Β'. ἐ. 42, Β'. γ'. 26. — Ἦκον] = ἐπανῆλθον. Β'. ά. 9. — Εἰς τάξιν ἔθεντο τὰ ὅπλα] = παρετάσσοντο. Α'. ἐ. 17.

§. 12. Καὶ οἱ μὲν] οὗτοι μέν, οἱ μένοντες ἐν τοῖς μονοξύλοις. — Ἀνὰ ἑκατὸν μάλιστα] = ἀνὰ ἑκατὸν τὸ πολὺ πολύ, θὰ ἔλεγεν ἡ κοινή. — Οἷον χοροὶ κτλ.] ὡς χορευταὶ ἔχοντες ἕκαστος τὸν ἑαυτῷ ἀντίστοιχον. — Γέρρα] Α'. ἡ. 9. — Λευκῶν βοῶν δασέα] Δ'. ζ'. 22. — Παλτὸν] Α'. ἐ. 15. — Σφαιροειδές] = σφαιροειδές τι = τί σὰν σφαῖραν. Τοῦτο δὲ ἵνα ἀποσπῶσιν αὐτὸ εὐχερῶς ἀπὸ τῶν τιτρωσκομένων.

§. 13. Ὑπὲρ γονάτων] κοντοὺς, μὴ καθικνουμένους μέχρι γονάτων. — Πάχος ὡς λινοῦ στρωματοδέσμου] = πάχος ὅσον εἶναι τὸ πάχος τοῦ λινοῦ ἐκείνου, δι' οὗ κατασκευάζονται οἱ στρωματόδεσμοι. — Παφλαγονικά] ἐννοεῖται κράνη. Ἴδε Ε'. β'. 22. — Κρωβύλον] λόφον· κυρίως κρωβύλος λέγεται ἡ κόμη δεμένη ὑπὲρ τὴν κορυφὴν ὥστε ν' ἀποτελῇ λόφον. — Τιαροειδῆ] ὡσὰν τιάραν. Ἴδε Β'. ἐ. 23. — Σαγάρεις] Δ'. δ'. 16.

§. 14. Ἐπὶ χωρίον] κατὰ φρουρίου, ὡς φαίνεται ἐκ τῶν κατωτέρω, §. 26.

κει ἐπιμαχώτατον εἶναι. ὠκεῖτο δὲ τοῦτο πρὸ τῆς πόλεως, τῆς μητροπόλεως καλουμένης αὐτοῖς καὶ ἐχούσης τὸ ἀκρότατον τῶν Μοσσυνοίκων. καὶ περὶ τούτου ὁ πόλεμος ἦν· οἱ γὰρ ἀεὶ τοῦτ' ἔχοντες ἐδόκουν ἐγκρατεῖς εἶναι καὶ πάντων Μοσσυνοίκων, καὶ ἔφασαν τούτους οὐ δικαίως ἔχειν τοῦτο, ἀλλά, κοινὸν ὄν, κατα-
16 λαβόντας πλεονεκτεῖν. εἵποντο δ' αὐτοῖς καὶ τῶν Ἑλλήνων τινές, οὐ ταχθέντες ὑπὸ τῶν στρατηγῶν, ἀλλὰ ἁρπαγῆς ἕνεκεν. οἱ δὲ πολέμιοι, προσιόντων, τέως μὲν ἡσύχαζον· ἐπεὶ δ' ἐγγὺς ἐγένοντο τοῦ χωρίου, ἐκδραμόντες, τρέπονται αὐτούς, καὶ ἀπέκτειναν συχνοὺς τῶν βαρβάρων καὶ τῶν συναναβάντων Ἑλλήνων τινάς, καὶ ἐδίωκον μέχρι οὗ εἶδον τοὺς Ἕλληνας βοηθοῦντας·
17 εἶτα δὲ ἀποτραπόμενοι ᾤχοντο, καὶ ἀποτεμόντες τὰς κεφαλὰς τῶν νεκρῶν ἐπεδείκνυσαν τοῖς Ἕλλησι καὶ τοῖς ἑαυτῶν πολεμίοις, καὶ ἅμα ἐχόρευον νόμῳ τινὶ
18 ᾄδοντες. οἱ δὲ Ἕλληνες μάλα ἠχθοντο, ὅτι τούς τε πολεμίους ἐπεποιήκεσαν θρασυτέρους καὶ ὅτι οἱ ἐξελθόντες Ἕλληνες σὺν αὐτοῖς ἀπεφεύγεσαν, μάλα ὄντες συχνοί· ὃ οὔπω πρόσθεν ἐπεποιήκεσαν ἐν τῇ στρατείᾳ.
19 Ξενοφῶν δὲ συγκαλέσας τοὺς Ἕλληνας εἶπεν, Ἄνδρες στρατιῶται, μηδὲν ἀθυμήσητε ἕνεκα τῶν γεγενημένων· ἴστε γὰρ ὅτι καὶ ἀγαθὸν οὐ μεῖον τοῦ κακοῦ
20 γεγένηται· πρῶτον μὲν γὰρ ἐπίστασθε, ὅτι οἱ μέλλοντες ἡμῖν ἡγεῖσθαι τῷ ὄντι πολέμιοι εἰσιν, οἱόσπερ καὶ ἡμᾶς ἀνάγκη· ἔπειτα δὲ καὶ τῶν Ἑλλήνων οἱ ἀμελήσαντες τῆς σὺν ἡμῖν τάξεως καὶ ἱκανοὶ ἡγησάμενοι

§. 15. *Αὐτοῖς*] ὑπ' αὐτῶν, ποιητικὸν αἴτιον τοῦ καλουμένης. — *Ἀκρότατον*] ὑψηλότατον. — *Οἱ ἀεὶ τοῦτο ἔχοντες*] οἱ ἑκάστοτε κατέχοντες τοῦτο. Β'. στ'. 9. — *Κοινὸν ὄν*] πᾶσι τοῖς Μοσσυνοίκοις. — *Πλεονεκτεῖν*] πλείονα ἔχουσιν ἰσχύν.

§. 16. *Τέως*] μέχρι μέν τινος. — *Βοηθοῦντας*] εἰς βοήθειαν ἐρχομένους.

§. 17. *Νόμῳ τινὶ*] κατά τινα ἦχον. Ε'. δ'. 17.

§. 20. *Πολέμιοί εἰσιν οἱόσπερ καὶ ἡμᾶς ἀνάγκη*] πολέμιοι πρὸς ἐκείνους, πρὸς οὓς εἶναι ἀνάγκη νὰ ἤμεθα καὶ ἡμεῖς πολέμιοι. — *Δίκην δεδώκασιν*] Γ. Σ. ς'. — *αὖθις*] ἄλλην μίαν φοράν, θὰ ἔλεγεν ἡ κοινή. — *Ἧττον*] δυσκολώτερον. *Ἴδε τὸ ἀντίθετον μᾶλλον ἐν Γ'. Β'. 19.*

εἶναι σὺν τοῖς βαρβάροις ταὐτὰ πράττειν, ἅπερ ἡμῖν, δίκην δεδώκασιν· ὥστε αὖθις ἧττον τῆς ἡμετέρας τάξεως ἀπολείψονται. ἀλλ' ὑμᾶς δεῖ παρασκευάζεσθαι, 21
ὅπως καὶ τοῖς φίλοις οὗσι τῶν βαρβάρων δόξετε κρείττους αὐτῶν εἶναι καὶ τοῖς πολεμίοις δηλώσετε, ὅτι οὐχ ὁμοίοις ἀνδράσι μαχοῦνται νῦν τε καὶ ὅτε τοῖς ἀτάκτοις ἐμάχοντο.

Ταύτην μὲν οὖν τὴν ἡμέραν οὕτως ἔμειναν· τῇ 22
δ' ὑστεραίᾳ, θύσαντες, ἐπεὶ ἐκαλλιερήσαντο, ἀριστήσαντες, ὀρθίους τοὺς λόχους ποιησάμενοι καὶ τοὺς βαρβάρους ἐπὶ τὸ εὐώνυμον κατὰ ταὐτὰ ταξάμενοι, ἐπορεύοντο τοὺς τοξότας μεταξὺ τῶν λόχων ὀρθίων ἔχοντες, ὑπολειπομένους δὲ μικρὸν τοῦ στόματος τῶν ὁπλιτῶν· ἦσαν γὰρ τῶν πολεμίων, οἵ, εὔζωνοι 23
κατατρέχοντες, τοῖς λίθοις ἔβαλλον. τούτους ἀνέστελλον οἱ τοξόται καὶ πελτασταί. οἱ δ' ἄλλοι βάδην ἐπορεύοντο πρῶτον μὲν ἐπὶ τὸ χωρίον, ἀφ' οὗ τῇ προτεραίᾳ οἱ βάρβαροι ἐτρέφθησαν καὶ οἱ σὺν αὐτοῖς· ἐνταῦθα γὰρ οἱ πολέμιοι ἦσαν ἀντιτεταγμένοι. τοὺς 24
μὲν οὖν πελταστὰς ἐδέξαντο οἱ βάρβαροι καὶ ἐμάχοντο· ἐπειδὴ δὲ ἐγγὺς ἦσαν οἱ ὁπλῖται, ἐτρέποντο. καὶ οἱ μὲν πελτασταὶ εὐθὺς εἵποντο διώκοντες ἄνω πρὸς τὴν πόλιν, οἱ δὲ ὁπλῖται ἐν τάξει εἵποντο. ἐπεὶ δὲ ἄνω 25
ἦσαν πρὸς ταῖς τῆς μητροπόλεως οἰκίαις, ἐνταῦθα οἱ πολέμιοι, ὁμοῦ δὴ πάντες γενόμενοι, ἐμάχοντο καὶ

§. 21. *Τοῖς φίλοις οὖσι τῶν βαρβάρων*] ἐκείνοις ἐκ τῶν βαρβάρων, δηλαδὴ τῶν Μοσσυνοίκων, οἵπερ φίλοι ἡμῖν εἰσιν. — *Οὐχ ὁμοίοις ἀνδράσι κτλ.*] = μαχοῦνται νῦν ἀνδράσιν ἐσομένοις οὐχ ὁμοίοις καὶ ὅτε ἀτάκτοις αὐτοῖς οὖσιν ἐμάχοντο = οἱ ἄνδρες, καθ' ὧν θὰ πολεμήσωσι νῦν, θ' ἀναδειχθῶσι διάφοροι ἐκείνων, καθ' ὧν πρό τινος, ἀτάκτων ὄντων, ἐπολέμησαν.

§. 22. *Ἐκαλλιερήσαντο*] Β'. β'. 3. — *Ὀρθίους τοὺς λόχους*] Δ'. β'. 11. — *Κατὰ ταὐτὰ*] ὀρθίους δηλαδὴ τοὺς λόχους ἔχοντας. — *Στόματος*] Ε'. β'. 26.

§. 23. *Ἦσαν... οἵ*] τινές. — *Εὔζωνοι*] Γ'. γ'. 6.

§. 24. *Ἐδέξαντο*] Δ'. γ'. 31.

§. 25. *Ἐνταῦθα δὴ*] Β'. β'. 7. — *Πάντες ὁμοῦ δὴ γενόμενοι*] = συλλεγέντες εἰς τὸν αὐτὸν τόπον. — *Παχέα μακρά, ὅσα ἀνὴρ ἂν φέροι μόλις*] = τόσον παχέα καὶ μακρά, ὥστε μόλις ἠδύνατο ἀνὴρ νὰ τὰ σηκόνῃ. —

ἐξηκόντιζον τοῖς παλτοῖς, καὶ ἄλλα δόρατα ἔχοντες παχέα μακρά, ὅσα ἀνὴρ ἂν φέροι μόλις, τούτοις ἐπει-
26 ρῶντο ἀμύνασθαι ἐκ χειρός. ἐπεὶ δὲ οὐχ ὑφίεντο οἱ Ἕλληνες, ἀλλ' ὁμόσε ἐχώρουν, ἔφευγον οἱ βάρβαροι καὶ ἐντεῦθεν ἅπαντες, λιπόντες τὸ χωρίον. ὁ δὲ βασιλεὺς αὐτῶν ὁ ἐν τῷ μόσσυνι τῷ ἐπ' ἄκρου ᾠκοδομημένῳ, ὃν τρέφουσι πάντες κοινῇ αὐτοῦ μένοντα καὶ φυλάττουσιν, οὐκ ἤθελεν ἐξελθεῖν, οὐδὲ οἱ ἐν τῷ πρότερον αἱρεθέντι χωρίῳ, ἀλλ' αὐτοῦ σὺν τοῖς μοσσύνοις
27 κατεκαύθησαν. οἱ δὲ Ἕλληνες, διαρπάζοντες τὰ χωρία, ηὕρισκον θησαυροὺς ἐν ταῖς οἰκίαις ἄρτων νενημένων πατρίους, ὡς ἔφασαν οἱ Μοσσύνοικοι, τὸν δὲ νέον σῖτον σὺν τῇ καλάμῃ ἀποκείμενον· ἦσαν δὲ ζειαὶ αἱ
28 πλεῖσται. καὶ δελφίνων τεμάχη ἐν ἀμφορεῦσιν ηὑρίσκετο τεταριχευμένα καὶ στέαρ ἐν τεύχεσι τῶν δελφίνων, ᾧ ἐχρῶντο οἱ Μοσσύνοικοι, καθάπερ οἱ Ἕλληνες
29 τῷ ἐλαίῳ. κάρυα δὲ ἐπὶ τῶν ἀνακείων ἦ πολλὰ τὰ πλατέα οὐκ ἔχοντα διαφυὴν οὐδεμίαν. τούτῳ καὶ πλείστῳ σίτῳ ἐχρῶντο ἕψοντες καὶ ἄρτους ὀπτῶντες. οἶνος δὲ ηὑρίσκετο, ὃς, ἄκρατος μέν, ὀξὺς ἐφαίνετο εἶναι ὑπὸ τῆς αὐστηρότητος, κερασθεὶς δέ, εὐώδης τε καὶ ἡδύς.

Ἐκ χειρὸς] = ἐκ χειρὸς βάλλοντες = ἀκοντίζοντες, Δ'. γ'. 15.

§. 26. Ὑφίεντο] ὑπεχάρουν. Γ'. ά. 17. — Μοσσύνοις] μόσσυνος γεν. μοσσύνου καὶ μόσσυν γεν. μόσσυνος μεθ' ἑνὸς ἢ δύο σ ὁ οἶκος.

§. 27. Θησαυροὺς... πατρίους] ἀποθήκας ὑπὸ τῶν πατέρων κατεσκευασμένας. — Νενημένων] συσσωρευμένων. Παρακ. τοῦ Νέω = σωρεύω, νήσω, ἔνησα, νένημαι καὶ νένησμαι, ἐνήθην καὶ ἐνήσθην. Σπανιώτατον τὸ ρῆμα. — Ἦσαν δὲ ζειαὶ αἱ πλεῖσται] καθ' ἕλξιν ἀντὶ ὁ πλεῖστος σῖτος. Ζειαὶ δὲ = ἀσπρόσιτι, ἐξ οὗ ὁ φάρος.

§. 28. Ἀμφορεῦσι] στάμνος μὲ δύο χεῖρας. — Τεύχεσι] = ἀγγείοις· ἔχει ἡ λέξις εὐρεῖαν σημασίαν, ὡς καὶ τὸ σκεῦος.

§. 29. Κάρυα... οὐκ ἔχοντα διαφυὴν] = κάστανα. Κάστανα δὲ ἐκλήθησαν ἐκ Καστάνης, πόλεως τῆς Θεσσαλίας, ὅθεν πρῶτον εἶχον ἔλθει εἰς Ἑλλάδα τὰ κάστανα. — Τούτῳ καὶ πλείστῳ σίτῳ κτλ.] τούτων μετὰ πλείστου σίτου ἔκαμαν χρῆσιν εἰς τροφὴν ἢ βράζοντες ἢ ἄρτους ψήνοντες ἐξ αὐτῶν κατεσκευασμένους. Εἶπε δὲ καθ' ἕλξιν τούτῳ ἀντὶ τούτοις τοῖς καρύοις. — Αὐστηρότητος] τῆς μπρουσκάδας, ὡς λέγομεν βαρβαριστί.

Οἱ μὲν δὴ Ἕλληνες, ἀριστήσαντες ἐνταῦθα, ἐπο- 30
ρεύοντο εἰς τὸ πρόσω, παραδόντες τὸ χωρίον τοῖς συμμαχήσασι τῶν Μοσσυνοίκων. ὁπόσα δὲ καὶ ἄλλα παρῆσαν χωρία τῶν σὺν τοῖς πολεμίοις ὄντων, τὰ εὐπροσοδώτατα οἱ μὲν ἔλειπον, οἱ δὲ ἑκόντες προσεχώρουν. τὰ δὲ πλεῖστα τοιάδε ἦν τῶν χωρίων· ἀπεῖχον 31
αἱ πόλεις ἀπ' ἀλλήλων στάδια ὀγδοήκοντα, αἱ δὲ πλεῖον, αἱ δὲ μεῖον· ἀναβοώντων δὲ ἀλλήλων συνήκουον εἰς τὴν ἑτέραν ἐκ τῆς ἑτέρας πόλεως· οὕτως ὑψηλή τε καὶ κοίλη ἡ χώρα ἦν. ἐπεὶ δὲ πορευόμενοι 32
ἐν τοῖς φίλοις ἦσαν, ἐπεδείκνυσαν αὐτοῖς παῖδας τῶν εὐδαιμόνων σιτευτούς, τεθραμμένους καρύοις ἐφθοῖς, ἁπαλοὺς καὶ λευκοὺς σφόδρα καὶ οὐ πολλοῦ δέοντας ἴσους τὸ μῆκος καὶ τὸ πλάτος εἶναι, ποικίλους δὲ τὰ νῶτα καὶ τὰ ἔμπροσθεν πάντα ἐστιγμένους ἀνθέμια. ἐζήτουν δὲ καὶ ταῖς ἑταίραις, ἃς ἦγον οἱ Ἕλληνες, ἐμφα- 33
νῶς συγγίγνεσθαι· νόμος γὰρ ἦν οὗτος σφίσι. λευκοὶ δὲ πάντες οἱ ἄνδρες καὶ αἱ γυναῖκες. τούτους ἔλεγον 34
οἱ στρατευσάμενοι βαρβαρωτάτους διελθεῖν καὶ πλεῖστον τῶν Ἑλληνικῶν νόμων κεχωρισμένους· ἔν τε γὰρ ὄχλῳ ὄντες, ἐποίουν, ἅπερ ἂν ἄνθρωποι ἐν ἐρημίᾳ

§. 30. Ὁπόσα δὲ καὶ ἄλλα παρῆσαν κτλ.]=τὰ εὐπροσοδώτατα δὲ τῶν ἄλλων χωρίων τῶν σὺν τοῖς πολεμίοις ὄντων, ὅσα παρῆσαν, οἱ μὲν ἔλειπον κτλ. — Εὐπροσοδώτατα] ἔχοντα ὁδοὺς εὐχερέστατα φερούσας εἰς αὐτά. — Προσεχώρουν] παρεδίδοντο.

§. 31. Στάδια] Α'. β. 5. — αἱ δὲ] τινὲς δὲ. Α'. 10. 3. — Ξυνήκουον] εὐκρινῶς ἤκουον.—

§. 32. Τῶν εὐδαιμόνων] πλουσίων. — Ἴσους τὸ πλάτος, τὸ μῆκος] ὁλοστρόγγυλοι, θὰ ἔλεγεν ἡ κοινή. — Ἐστιγμένους ἀνθέμια] κεντημένους ἄνθη, ἐκ τοῦ ἐνεργητικοῦ ἔστιζον ἑαυτοὺς ἀνθέμια· ἀνθέμιον δὲ ὄνομα φυτοῦ καὶ γραμμή τις ἑλικοειδὴς τῶν τοῦ Ἰωνικοῦ ρυθμοῦ κιόνων. Διόδωρος ὁ Σικελιώτης λέγει ἐν Ιᾼ'. 30 ὅτι ἅπαντες ἐκ παιδικῆς ἡλικίας ἔστιζον καὶ τὰ νῶτα καὶ τὸ στῆθος.

§. 33. Αἷς ἦγον] = ἃς ἦγον. Ἔλξις. — Ἐμφανῶς] ἐνώπιον τῶν ἄλλων. Ἀντίθετον τοῦ κατωτέρω, 34, ἐν ἐρημίᾳ. — Νόμος] = ἔθος. Α'. β'. 15.

§. 34. Τούτους ἔλεγον. . βαρβαρωτάτους διελθεῖν] = ἔλεγον οἱ στρατευσάμενοι ὅτι οὗτοι ἦσαν βαρβαρώτατοι πάντων, ὅσους διῆλθον. — Διελέγοντο αὐτοῖς] ἐπαραμίλουν, ὡς λέγει ἡ κοινή.— Ἐγέλων ἑαυτοῖς] ἐκρυφογελοῦσαν,

ποιήσειαν, μόνοι τε ὄντες, ὅμοια ἔπραττον, ἅπερ ἂν μετ' ἄλλων ὄντες, διελέγοντό τε αὐτοῖς καὶ ἐγέλων ἐφ' ἑαυτοῖς καὶ ὠρχοῦντο ἐφιστάμενοι, ὅπου τύχοιεν, ὥσπερ ἄλλοις ἐπιδεικνύμενοι.

1 ε. Διὰ ταύτης τῆς χώρας οἱ Ἕλληνες, διά τε τῆς πολεμίας καὶ τῆς φιλίας, ἐπορεύθησαν ὀκτὼ σταθμοὺς καὶ ἀφικνοῦνται εἰς Χάλυβας. οὗτοι ὀλίγοι τε ἦσαν καὶ ὑπήκοοι τῶν Μοσσυνοίκων, καὶ ὁ βίος ἦν τοῖς πλείστοις αὐτῶν ἀπὸ σιδηρείας. ἐντεῦθεν ἀφικνοῦνται
2 εἰς Τιβαρηνούς. ἡ δὲ τῶν Τιβαρηνῶν χώρα πολὺ ἦν πεδινωτέρα καὶ χωρία εἶχεν ἐπὶ θαλάττῃ ἧττον ἐρυμνά. καὶ οἱ στρατηγοὶ ἔχρῃζον πρὸς τὰ χωρία προσβάλλειν καὶ τὴν στρατιὰν ὀνηθῆναί τι καὶ τὰ ξένια, ἃ ἦκε παρὰ Τιβαρηνῶν, οὐκ ἐδέχοντο, ἀλλ' ἐπιμεῖναι κελεύσαντες,
3 ἔστε βουλεύσαιντο, ἐθύοντο. καὶ πολλὰ καταθυσάντων, τέλος ἀπεδείξαντο οἱ μάντεις πάντες γνώμην, ὅτι οὐδαμῇ προσίοιντο οἱ θεοὶ τὸν πόλεμον. ἐντεῦθεν δὴ τὰ ξένια ἐδέξαντο, καὶ ὡς διὰ φιλίας πορευόμενοι δύο ἡμέρας ἀφίκοντο εἰς Κοτύωρα πόλιν Ἑλληνίδα, Σινωπέων ἀποικίαν, ὄντας δ' ἐν τῇ Τιβαρηνῶν χώρᾳ.

4 Μέχρι ἐνταῦθα ἐπέζευσεν ἡ στρατιά. πλῆθος τῆς καταβάσεως τῆς ὁδοῦ ἀπὸ τῆς ἐν Βαβυλῶνι μάχης ἄχρι εἰς Κοτύωρα σταθμοὶ ἑκατὸν εἴκοσι δύο, παρασάγγαι
5 ἑξακόσιοι καὶ εἴκοσι, στάδιοι μύριοι καὶ ὀκτακισχίλιοι καὶ ἑξακόσιοι, χρόνου πλῆθος ὀκτὼ μῆνες. ἐνταῦθα ἔμειναν ἡμέρας τετταράκοντα πέντε. ἐν δὲ ταύταις πρῶτον μὲν τοῖς θεοῖς ἔθυσαν, καὶ πομπὰς ἐποίησαν κατὰ ἔθνος ἕκαστοι τῶν Ἑλλήνων καὶ ἀγῶνας γυμνι-

θὰ ἔλεγεν ἡ κοινή· ἴδιον δὲ τοῦτο τοῖς ὀνειροπολοῦσιν. — Ἐπιδεικνύμενοι] θέλοντες νὰ ἐπιδείξωσι τὴν περὶ τὸ ὀρχεῖσθαι δεξιότητα αὐτῶν.

Κεφ. ε'. §. 1. Χάλυβας] διάφοροι οὗτοι τῶν μνημονευθέντων ἐν Δ'. γ'. 3. — Σιδηρείας] σιδηρουργίας, τῆς ἐξορύξεως καὶ τῆς κατεργασίας τοῦ σιδήρου.

§. 2 Ἐπὶ θαλάττῃ] Α'. δ'. 4. — Ἐρυμνά] Α'. ζ'. 16. — Ἔχρῃζον] Β'. ε'. δ'. 2.—

§. 3. Προσίοιντο] ἐδέχοντο. Γ'. α'. 30 Περὶ δὲ τῆς εὐκτικῆς ἴδε Γ'. Σ. Γ'.

§. 4. Ἐπέζευσεν] πεζῇ ἐπορεύθη.

§. 5. Πομπὰς] εἶδος λιτανείας, πανδήμου δηλαδὴ ἱκεσίας.

κούς. τὰ δ' ἐπιτήδεια ἐλάμβανον τὰ μὲν ἐκ τῆς Πα- 6
φλαγονίας, τὰ δ' ἐκ τῶν χωρίων τῶν Κοτυωριτῶν· οὐ γὰρ παρεῖχον ἀγοράν, οὐδ' εἰς τὸ τεῖχος τοὺς ἀσθενοῦντας ἐδέχοντο.

Ἐν τούτῳ ἔρχονται ἐκ Σινώπης πρέσβεις, φοβού- 7
μενοι περὶ τῶν Κοτυωριτῶν τῆς τε πόλεως—ἦν γὰρ ἐκείνων καὶ φόρον ἐκείνοις ἔφερον—καὶ περὶ τῆς χώρας, ὅτι ἤκουον δῃουμένην. καὶ ἐλθόντες εἰς τὸ στρατόπεδον ἔλεγον, προηγόρει δὲ Ἑκατώνυμος, δεινὸς νομιζόμενος εἶναι λέγειν, Ἔπεμψεν ἡμᾶς, ὦ ἄνδρες 8
στρατιῶται, ἡ τῶν Σινωπέων πόλις ἐπαινέσοντάς τε ὑμᾶς, ὅτι νικᾶτε, Ἕλληνες ὄντες, βαρβάρους, ἔπειτα δὲ καὶ συνησθησομένους, ὅτι διὰ πολλῶν τε καὶ δεινῶν, ὡς ἡμεῖς ἠκούσαμεν, πραγμάτων σεσωμένοι πάρεστε. ἀξιοῦμεν δέ, Ἕλληνες ὄντες καὶ αὐτοί, ὑφ' ὑμῶν, ὄντων 9
Ἑλλήνων, ἀγαθόν μέν τι πάσχειν, κακὸν δὲ μηδέν· οὐδὲ γὰρ ἡμεῖς ὑμᾶς οὐδὲν πώποτε ὑπήρξαμεν κακῶς ποιοῦντες. Κοτυωρῖται δὲ οὗτοί εἰσι μὲν ἡμέτεροι 10
ἄποικοι καὶ τὴν χώραν ἡμεῖς αὐτοῖς ταύτην παραδεδώκαμεν, βαρβάρους ἀφελόμενοι· διὸ καὶ δασμὸν ἡμῖν φέρουσιν οὗτοι τεταγμένον καὶ Κερασούντιοι καὶ Τραπεζούντιοι· ὥστε, ὅ τι ἂν τούτους κακὸν ποιήσητε, ἡ Σινωπέων πόλις νομίζει πάσχειν· νῦν δὲ 11
ἀκούομεν ὑμᾶς εἴς τε τὴν πόλιν, βίᾳ παρεληλυθότας, ἐνίους σκηνοῦν ἐν ταῖς οἰκίαις καὶ ἐκ τῶν χωρίων βίᾳ λαμβάνειν, ὧν ἂν δέησθε, οὐ πείθοντας. ταῦτ' οὖν 12
οὐκ ἀξιοῦμεν· εἰ δὲ ταῦτα ποιήσετε, ἀνάγκη ἡμῖν

§. 6. Παρεῖχον ἀγοράν] Β'. γ'. 24.

§. 7. Καὶ περὶ τῆς χώρας] καὶ περὶ τῶν ἀγρῶν· διότι χώρα ἢ ἡ ὑποτελὴς πόλις ἢ πάσης πόλεως ἡ περιοχή, ὅπου τὰ χωράφια. — Δεινὸς εἶναι λέγειν] δεινὸς ῥήτωρ. Β'. ε'. 15.

§. 8. Ἔπεμψεν... ἐπαινέσοντας... καὶ συνησθησομένους] μᾶς ἔπεμψεν ἵνα σᾶς ἐπαινέσωμεν καὶ ἵνα σᾶς συγχαρῶμεν. Τελικαὶ αἱ μετοχαί. Ἴδε Α'. γ'. 13. — Πραγμάτων] δυσχερειῶν. Δ'. ά. 22.

§ 9. Καὶ αὐτοὶ] καὶ ἡμεῖς αὐτοί. — Ὑπήρξαμεν κακῶς ποιοῦντες] ἠρχίσαμεν πρῶτοι νὰ σᾶς κακοποιῶμεν. Β'. γ'. 23.

§. 10. Εἰς τὴν πόλιν παρεληλυθότας] εἰσελθόντας.

§. 12. Οὐκ ἀξιοῦμεν] = ἀπαξιοῦμεν, ἀποδοκιμάζομεν. — Κο-

καὶ Κορύλαν καὶ Παφλαγόνας καὶ ἄλλον, ὅντινα ἂν δυνώμεθα, φίλον ποιεῖσθαι.

13 Πρὸς ταῦτα ἀναστὰς Ξενοφῶν ὑπὲρ τῶν στρατιωτῶν εἶπεν, Ἡμεῖς δέ, ὦ ἄνδρες Σινωπεῖς, ἥκομεν ἀγαπῶντες, ὅτι τὰ σώματα διεσωσάμεθα καὶ τὰ ὅπλα· οὐ γὰρ ἦν δυνατὸν ἅμα τε χρήματα ἄγειν καὶ φέρειν
14 καὶ τοῖς πολεμίοις μάχεσθαι. καὶ νῦν, ἐπεὶ εἰς τὰς Ἑλληνίδας πόλεις ἤλθομεν, ἐν Τραπεζοῦντι μέν—παρεῖχον γὰρ ἡμῖν ἀγοράν—ὠνούμενοι εἴχομεν τὰ ἐπιτήδεια, καὶ ἀνθ' ὧν ἐτίμησαν ἡμᾶς καὶ ξένια ἔδωκαν τῇ στρατιᾷ ἀντετιμῶμεν αὐτούς, καὶ εἴ τις αὐτοῖς φίλος ἦν τῶν βαρβάρων, τούτων ἀπειχόμεθα· τοὺς δὲ πολεμίους αὐτῶν, ἐφ' οὓς αὐτοὶ ἡγοῦντο, κακῶς ἐποιοῦμεν,
15 ὅσον ἐδυνάμεθα. ἐρωτᾶτε δὲ αὐτούς, ὁποίων τινῶν ἡμῶν ἔτυχον· πάρεισι γὰρ ἐνθάδε οὓς ἡμῖν ἡγεμόνας
16 διὰ φιλίαν ἡ πόλις συνέπεμψεν. ὅποι δ' ἂν ἐλθόντες ἀγορὰν μὴ ἔχωμεν, ἄν τε εἰς βάρβαρον γῆν ἄν τε εἰς
17 Ἑλληνίδα, οὐχ ὕβρει, ἀλλὰ ἀνάγκῃ λαμβάνομεν τὰ ἐπιτήδεια. καὶ Καρδούχους καὶ Ταόχους καὶ Χαλδαίους, καίπερ βασιλέως οὐχ ὑπηκόους ὄντας, ὅμως, καὶ μάλα φοβεροὺς ὄντας, πολεμίους ἐκτησάμεθα διὰ τὸ
18 ἀνάγκην εἶναι λαμβάνειν τὰ ἐπιτήδεια, ἐπεὶ ἀγορὰν οὐ παρεῖχον. Μάκρωνας δέ, καίπερ βαρβάρους ὄντας, ἐπεὶ ἀγορὰν οἵαν ἐδύναντο παρεῖχον, φίλους τε ἐνομίζομεν εἶναι καὶ βίᾳ οὐδὲν ἐλαμβάνομεν τῶν ἐκείνων.
19 Κοτυωρίτας δέ, οὓς ὑμετέρους φατὲ εἶναι, εἴ τι αὐτῶν εἰλήφαμεν, αὐτοὶ αἴτιοί εἰσιν· οὐ γὰρ ὡς φίλοι προσ-

ρύλαν] ὃς ἐτύγχανε τότε Παφλαγονίας ἄρχων. Ἴδε ς'. ά. 2.

§. 13. Ἀγαπῶντες] εὐχαριστημένοι ὄντες.—Χρήματα] τὰ χρήσιμα πράγματα, κινητὰ καὶ ἀκίνητα· διὸ περὶ μὲν τῶν πρώτων ἐλέχθη τὸ ἄγειν, περὶ δὲ τῶν δευτέρων τὸ φέρειν.

§. 14. Ἀνθ' ὧν] Α'. γ'. 4. — Καὶ εἴ τις αὐτοῖς φίλος κτλ.] = καὶ τούτων, οἵτινες ἐκ τῶν βαρβάρων ἦσαν φίλοι αὐτοῖς (τοῖς Τραπεζουντίοις), ἀπειχόμεθα. Β'. στ'. 10.

§. 15. Πάρεισι... οὓς] πάρεισιν οὗτοι, οὓς.

§. 16. Οὐχ ὕβρει] οὐχὶ ἐξ ἀλαζονείας ἢ αὐθαιρεσίας.

§. 17. Καρδούχους, Ταόχους, Χαλδαίους] ἴδε Γ'. ε. 15, Δ'. γ'. 4, Δ'. δ'. 18.

§. 19. Ἁρμοστήν] ἁρμοσταὶ λέγονται ἀνώτατοι ἄρχοντες ἀποστελλόμενοι ὑπὸ τῶν Λακεδαιμονίων εἰς τὰς ὑποτελεῖς χώρας.

§. 20. Κάμνοντας] ἀσθενεῖς. Δ'. ε. 17. — Ἡ ἡμᾶς ἐδέχετο τὸ χωρίον] ἀφ' ὅπου ἡ φύσις τοῦ χωρίου μᾶς ἐπέτρεπε νὰ εἰσέλθωμεν. Ἴδε Ἀσ. 271. 41. — Ἐπὶ τῷ ὑμετέρῳ ἁρμοστῇ ὦσιν] ἱς τὴν ἐξουσίαν τοῦ ἁρμοστοῦ ὦσιν.

§. 22. Ἡμεῖς δέ] = ἡμεῖς δή. Ταύτην τὴν σημασίαν ἔχει ἐν τοῖς ἀποδόσεσιν, ἐν τῇ κυρίᾳ δηλαδὴ προτάσει. Ἴδε καὶ Ε'. στ'. 20, Ζ'. ζ'. 7.

§. 24. Οὐ πόλεμον ποιησόμενοι ἦκοιεν, ἀλλὰ ἐπιδείξοντες] ἦλθον οὐχὶ ἵνα πολεμήσωσιν, ἀλλ' ἵνα ἀποδείξωσιν. Ἴδε ἀνωτέρω §. 8. — Ξενίοις... δεξόμεθα] μὲ δῶρα φιλοξενίας θὰ σᾶς ὑποδεχθῶμεν.

εφέροντο ἡμῖν, ἀλλὰ κλείσαντες τὰς πύλας οὔτε εἴσω ἐδέχοντο οὔτε ἔξω ἀγορὰν ἔπεμπον· ἠτιῶντο δὲ τὸν παρ' ὑμῶν ἁρμοστὴν τούτων αἴτιον εἶναι. ὃ δὲ λέγεις, 20 βίᾳ παρελθόντας σκηνοῦν, ἡμεῖς ἠξιοῦμεν τοὺς κάμνοντας εἰς τὰς στέγας δέξασθαι· ἐπεὶ δὲ οὐκ ἀνέῳγον τὰς πύλας, ᾗ ἡμᾶς ἐδέχετο αὐτὸ τὸ χωρίον, ταύτῃ εἰσελθόντες, ἄλλο μὲν οὐδὲν βίαιον ἐποιήσαμεν, σκηνοῦσι δ' ἐν ταῖς στέγαις οἱ κάμνοντες, τὰ αὐτῶν δαπανῶντες, καὶ τὰς πύλας φρουροῦμεν, ὅπως μὴ ἐπὶ τῷ ὑμετέρῳ ἁρμοστῇ ὦσιν οἱ κάμνοντες ἡμῶν, ἀλλ' ἐφ' ἡμῖν ᾖ κομίσασθαι, ὅταν βουλώμεθα. οἱ δὲ ἄλλοι, ὡς ὁρᾶτε, 21 σκηνοῦμεν ὑπαίθριοι ἐν τῇ τάξει, παρεσκευασμένοι, ἂν μέν τις εὖ ποιῇ, ἀντευποιεῖν, ἂν δὲ κακῶς, ἀλέξασθαι. ἃ δὲ ἠπείλησας, ὡς, ἢν ὑμῖν δοκῇ, Κορύλαν καὶ 22 Παφλαγόνας συμμάχους ποιήσεσθε ἐφ' ἡμᾶς, ἡμεῖς δέ, ἢν μὲν ἀνάγκη ᾖ, πολεμήσομεν καὶ ἀμφοτέροις· ἤδη γὰρ καὶ ἄλλοις πολλαπλασίοις ὑμῶν ἐπολεμήσαμεν· ἂν δὲ δοκῇ ἡμῖν καὶ φίλον ποιεῖσθαι τὸν Παφλαγόνα— ἀκούομεν δὲ αὐτὸν καὶ ἐπιθυμεῖν τῆς ὑμετέρας πόλεως 23 καὶ χωρίων τῶν ἐπιθαλαττίων—πειρασόμεθα συμπράττοντες αὐτῷ, ὧν ἐπιθυμεῖ, φίλοι γίγνεσθαι.

Ἐκ τούτου μάλα μὲν δῆλοι ἦσαν οἱ συμπρέσβεις 24 τῷ Ἑκατωνύμῳ χαλεπαίνοντες τοῖς εἰρημένοις· παρελθὼν δ' αὐτῶν ἄλλος εἶπεν, ὅτι οὐ πόλεμον ποιησόμενοι ἥκοιεν, ἀλλὰ ἐπιδείξοντες, ὅτι φίλοι εἰσί. καὶ ξενίοις, ἢν μὲν ἔλθητε πρὸς τὴν Σινωπέων πόλιν, ἐκεῖ δεξόμεθα, νῦν δὲ τοὺς ἐνθάδε κελεύσομεν διδόναι, ἃ δύ-

25 νανται· ὁρῶμεν γὰρ πάντα ἀληθῆ ὄντα, ἃ λέγετε. ἐκ τούτου ξένιά τε ἔπεμπον οἱ Κοτυωρῖται, καὶ οἱ στρατηγοὶ τῶν Ἑλλήνων ἐξένιζον τοὺς τῶν Σινωπέων πρέσβεις, καὶ πρὸς ἀλλήλους πολλά τε καὶ φιλικὰ διελέγοντο, τά τε ἄλλα καὶ περὶ τῆς λοιπῆς πορείας ἀνεπυνθάνοντο, ὧν ἑκάτεροι ἐδέοντο.

1 στ'. Ταύτῃ μὲν τῇ ἡμέρᾳ τοῦτο τὸ τέλος ἐγένετο. τῇ δὲ ὑστεραίᾳ συνέλεξαν οἱ στρατηγοὶ τοὺς στρατιώτας καὶ ἐδόκει αὐτοῖς περὶ τῆς λοιπῆς πορείας παρακαλέσαντας τοὺς Σινωπέας βουλεύεσθαι· εἴτε γὰρ πεζῇ δέοι πορεύεσθαι, χρήσιμοι ἂν ἐδόκουν εἶναι οἱ Σινωπεῖς—ἔμπειροι γὰρ ἦσαν τῆς Παφλαγονίας — εἴτε κατὰ θάλατταν, προσδεῖν ἐδόκει Σινωπέων· μόνοι γὰρ ἂν ἐδόκουν ἱκανοὶ εἶναι πλοῖα παρασχεῖν ἀρ-
2 κοῦντα τῇ στρατιᾷ. καλέσαντες οὖν τοὺς πρέσβεις συνεβουλεύοντο, καὶ ἠξίουν, Ἕλληνας ὄντας, Ἕλλησι τούτῳ πρῶτον καλῶς δέχεσθαι, τῷ εὔνους τε εἶναι καὶ τὰ βέλτιστα συμβουλεύειν.

3 Ἀναστὰς δὲ Ἑκατώνυμος πρῶτον μὲν ἀπελογήσατο περὶ οὗ εἶπεν, ὡς τὸν Παφλαγόνα φίλον ποιήσοιντο, ὅτι οὐχ ὡς τοῖς Ἕλλησι πολεμησόντων σφῶν εἴποι, ἀλλ' ὅτι, ἐξὸν τοῖς βαρβάροις φίλους εἶναι, τοὺς Ἕλληνας αἱρήσονται. ἐπεὶ δὲ συμβουλεύειν ἐκέλευον,
4 ἐπευξάμενος εἶπεν ὧδε, Εἰ μὲν συμβουλεύοιμι, ἃ βέλτιστά μοι δοκεῖ εἶναι, πολλά μοι κἀγαθὰ γένοιτο· εἰ δὲ μή, τἀναντία· αὕτη γὰρ ἡ ἱερὰ συμβουλὴ λεγομένη εἶναι δοκεῖ μοι παρεῖναι· νῦν γὰρ δή, ἂν μὲν εὖ

Κεφ. ς'. §. 2. Τούτῳ πρῶτον καλῶς δέχεσθαι] Οὕτω πρώτιστα πάντων νὰ ὑποδεχθῶσιν αὐτοὺς (τοὺς στρατευομένους Ἕλληνας) καλῶς, εὐνοϊκῶς δηλοῦν διακείμενοι πρὸς αὐτούς, Ἕλληνας ὄντας, καὶ συμβουλεύοντες τὰ συμφερώτατα.

§. 3. Ὅτι οὐχ ὡς τοῖς Ἕλλησι πολεμησόντων σφῶν εἶποι] = λέγων ὅτι δὲν ὡμίλησεν οὕτως ὡς ἂν ἔμελλον αὐτοὶ (ὁ Ἑκατώνυμος καὶ οἱ πέμψαντες αὐτὸν Σινωπεῖς) νὰ πολεμήσωσι κατὰ τῶν Ἑλλήνων. Περὶ δὲ τοῦ ὡς πολεμησόντων σφῶν ἴδε Α'. γ'. 6. — Ἐξὸν] εἰ καὶ δύνανται. Β'. έ. 22.

§ 4. Αὕτη γὰρ ἡ ἱερὰ συμβουλὴ λεγομένη δοκεῖ μοι παρεῖναι] Ἤδη εἶναι καιρὸς κατάλληλος, νομίζω, ν' ἀναφωνήσω τὸ

συμβουλεύσας φανῶ, πολλοὶ ἔσονται οἱ ἐπαινοῦντές 5 με, ἂν δὲ κακῶς, πολλοὶ ἔσεσθε οἱ καταρώμενοι. πράγματα μὲν οὖν οἶδ' ὅτι πολὺ πλείω ἕξομεν, ἐὰν κατὰ θάλατταν κομίζησθε· ἡμᾶς γὰρ δεήσει τὰ πλοῖα πορίζειν· ἢν δὲ κατὰ γῆν στέλλησθε, ὑμᾶς δεήσει τοὺς μαχομένους εἶναι. ὅμως δὲ λεκτέα, ἃ γιγνώσκω· ἔμπει- 6 ρος γάρ εἰμι καὶ τῆς χώρας τῶν Παφλαγόνων καὶ τῆς δυνάμεως· ἔχει γὰρ ἀμφότερα, καὶ πεδία κάλλιστα καὶ ὄρη ὑψηλότατα. καὶ πρῶτον μὲν οἶδα εὐθύς, ᾗ τὴν 7 εἰσβολὴν ἀνάγκη ποιεῖσθαι· οὐ γὰρ ἔστιν ἄλλῃ ἢ ᾗ τὰ κέρατα τοῦ ὄρους τῆς ὁδοῦ καθ' ἑκάτερά ἐστιν ὑψηλά, ἃ κρατεῖν κατέχοντες καὶ πάνυ ὀλίγοι δύναιντ' ἄν· τούτων δὲ κατεχομένων οὐδ' ἂν οἱ πάντες ἄνθρωποι δύναιντ' ἄν διελθεῖν. ταῦτα δὲ καὶ δείξαιμι ἄν, εἴ μοί τινα βούλοισθε συμπέμψαι. ἔπειτα δὲ οἶδα καὶ 8 πεδία ὄντα καὶ ἱππείαν, ἣν αὐτοὶ οἱ βάρβαροι νομίζουσι κρείττω εἶναι ἁπάσης τῆς βασιλέως ἱππείας. καὶ νῦν οὗτοι οὐ παρεγένοντο βασιλεῖ, καλοῦντι, ἀλλὰ μεῖζον φρονεῖ ὁ ἄρχων αὐτῶν. εἰ δὲ καὶ δυνηθεῖτε τά τε ὄρη 9 κλέψαι ἢ φθάσαι λαβόντες καὶ ἐν τῷ πεδίῳ κρατῆσαι μαχόμενοι τούς τε ἱππέας τούτων καὶ πεζῶν μυριάδας πλέον ἢ δώδεκα, ἥξετε ἐπὶ τοὺς ποταμούς, πρῶτον μὲν τὸν Θερμώδοντα, εὖρος τριῶν πλέθρων, ὃν χαλεπὸν οἶμαι διαβαίνειν, ἄλλως τε καὶ πολεμίων πολλῶν ἔμπροσθεν ὄντων, πολλῶν δὲ ὄπισθεν ἑπομένων· δεύτερον δ' Ἶριν, τρίπλεθρον ὡσαύτως· τρίτον δ' Ἅλυν, οὐ μεῖον δυοῖν σταδίοιν, ὃν οὐκ ἂν δύναισθε

παροιμιῶδες ἐκεῖνο, ἱερὰ ἡ συμβουλή.

§. 5. Πράγματα] προσκόμματα. — Στέλλησθε] = τὸν στόλον ποιῆσθε = πορεύησθε.

§. 7. Ἦ ποῦ ἢ πόθεν. Οὕτω καὶ τὸ κατωτέρω ἄλλῃ = ἀλλαχοῦ ἢ ἀλλαχόθεν. — Τῆς ὁδοῦ καθ' ἑκάτερα] εἰς ἑκατέρου μέρους τῆς ὁδοῦ τὰ κέρατα τοῦ ὄρους. Κέρατα δὲ οἱ βραχίονες τοῦ ὄρους. — Ἃ κρατεῖν κατέχοντες κτλ.] ἅτινα καὶ πάνυ ὀλίγοι ἂν κατέχωσι, δύνανται νὰ νικῶσι.

§. 8. Ἱππείαν] ἱππικὴν δύναμιν. — Ἀλλὰ μεῖζον φρονεῖ κτλ.] ἀλλ' ὁ ἄρχων αὐτῶν μεγαλοφρονεῖ τόσον, ὥστε νὰ μὴ ὑπακούῃ.

§ 9. Κλέψαι] Δ'. στ'. 11. — Φθάσαι λαβόντες] Β'. έ. 5. — Ἄλλως τε καὶ] καὶ διότι ἄλλους λό-

ἄνευ πλοίων διαβῆναι· πλοῖα δὲ τίς ἔσται ὁ παρέχων; ὡς δ' αὕτως καὶ ὁ Παρθένιος ἄβατος, ἐφ' ὃν ἔλθοιτε
10 ἄν, εἰ τὸν Ἅλυν διαβαίητε. ἐγὼ μὲν οὖν οὐ χαλεπὴν ὑμῖν εἶναι νομίζω τὴν πορείαν, ἀλλὰ παντάπασιν ἀδύνατον. ἂν δὲ πλέητε, ἔστιν ἐνθένδε μὲν εἰς Σινώπην παραπλεῦσαι, ἐκ Σινώπης δὲ εἰς Ἡράκλειαν· ἐξ Ἡρακλείας δὲ οὔτε πεζῇ οὔτε κατὰ θάλατταν ἀπορία· πολλὰ γὰρ καὶ πλοῖά ἐστιν ἐν Ἡρακλείᾳ.

11 Ἐπεὶ δὲ ταῦτ' ἔλεξεν, οἱ μὲν ὑπώπτευον φιλίας ἕνεκα τῆς Κορύλα λέγειν—καὶ γὰρ ἦν πρόξενος αὐτῷ—οἱ δὲ καὶ ὡς δῶρα ληψόμενον διὰ τὴν συμβουλὴν ταύτην· οἱ δὲ ὑπώπτευον καὶ τούτου ἕνεκα λέγειν, ὡς μὴ πεζῇ ἰόντες τὴν Σινωπέων τι χώραν κακὸν ἐργάζοιντο. οἱ δ' οὖν Ἕλληνες ἐψηφίσαντο κατὰ θάλατταν τὴν
12 πορείαν ποιεῖσθαι. μετὰ ταῦτα Ξενοφῶν εἶπεν, Ὦ Σινωπεῖς, οἱ μὲν ἄνδρες ἥρηνται πορείαν, ἣν ὑμεῖς συμβουλεύετε· οὕτω δὲ ἔχει· εἰ μὲν πλοῖα ἔσεσθαι μέλλει ἱκανὰ ὡς ἀριθμῷ ἕνα μὴ καταλείπεσθαι ἐνθάδε, ἡμεῖς ἂν πλέοιμεν· εἰ δὲ μέλλοιμεν οἱ μὲν καταλείψεσθαι, οἱ
13 δὲ πλεύσεσθαι, οὐκ ἂν ἐμβαίημεν εἰς τὰ πλοῖα· γιγνώσκομεν γὰρ ὅτι, ὅπου μὲν ἂν κρατῶμεν, δυναίμεθ' ἂν καὶ σώζεσθαι καὶ τὰ ἐπιτήδεια ἔχειν· εἰ δέ που ἥττους τῶν πολεμίων ληφθησόμεθα, εὔδηλον δή, ὅτι ἐν ἀνδραπόδων χώρᾳ ἐσόμεθα. ἀκούσαντες ταῦτα οἱ πρέ-
14 σβεις, ἐκέλευον πέμπειν πρέσβεις. καὶ πέμπουσι Καλλίμαχον Ἀρκάδα καὶ Ἀρίστωνα Ἀθηναῖον καὶ Σαμόλαν Ἀχαιόν. καὶ οἱ μὲν ᾤχοντο.

15 Ἐν δὲ τούτῳ τῷ χρόνῳ Ξενοφῶντι, ὁρῶντι μὲν

γους καὶ διότι πολλοὶ πολέμιοι ὑπάρχουσιν ἔμπροσθεν = πρὸ πάντων διότι ὑπάρχουσι κτλ. — *Θερμώδοντα*] τὸν νῦν λεγόμενον Τερμέν Τσαΐ. — *Ἶριν*] Καζαλμάκ. — *Παρθένιον*] Μπαρτίν. — *Ἅλυν*] Κυζυλ Ἰρμάκ.

§. 11. *Φιλίας τῆς Κορύλα*] τῆς πρὸς τὸν Κορύλαν φιλίας. — *Ὡς δῶρα ληψόμενον*] οἱ δὲ ἔλεγον ὅτι ἔλεγε ταῦτα καὶ ἐπὶ τῷ σκοπῷ τοῦ νὰ λάβῃ δῶρα.

§. 12. *Οἱ δ' οὖν*] Ἄλλ' ὅπως καὶ ἂν ἔχωσι ταῦτα, οἱ Ἕλληνες κτλ. Α'. β'. 12. — *Ὡς ἀριθμῷ ἕνα*] ὥστε μήτε εἷς ἀκριβῶς.

§. 13. *Ἐν ἀνδραπόδων χώρᾳ*] ὡς ἀνδράποδα θὰ ἤμεθα. Ἴδε καὶ Ε'. ζ'. 28.

§. 15. *Ὁρῶντι*] ἐπειδὴ ἔβλεπε.

ὁπλίτας πολλοὺς τῶν Ἑλλήνων, ὁρῶντι δὲ καὶ πελταστὰς πολλοὺς καὶ τοξότας καὶ σφενδονήτας καὶ ἱππέας δὲ καὶ μάλα ἤδη διὰ τὴν τριβὴν ἱκανούς, ὄντας δ' ἐν τῷ Πόντῳ, ἔνθα οὐκ ἂν ἀπ' ὀλίγων χρημάτων τοσαύτη δύναμις παρεσκευάσθη, καλὸν αὐτῷ ἐδόκει εἶναι καὶ χώραν καὶ δύναμιν τῇ Ἑλλάδι προσκτήσασθαι, πόλιν κατοικίσαντας, καὶ γενέσθαι ἂν αὐτῷ 16
ἐδόκει μεγάλη, καταλογιζομένῳ τό τε αὐτῶν πλῆθος καὶ τοὺς περιοικοῦντας τὸν Πόντον. καὶ ἐπὶ τούτοις ἐθύετο, πρίν τινι εἰπεῖν τῶν στρατιωτῶν, Σιλανὸν παρακαλέσας τὸν Κύρου μάντιν γενόμενον, τὸν Ἀμβρακιώτην. ὁ δὲ Σιλανός, δεδιὼς μὴ γένηται ταῦτα καὶ 17
καταμείνῃ που ἡ στρατιά, ἐκφέρει εἰς τὸ στράτευμα λόγον, ὅτι Ξενοφῶν βούλεται καταμεῖναι τὴν στρατιὰν καὶ πόλιν οἰκίσαι καὶ ἑαυτῷ ὄνομα καὶ δύναμιν περιποιήσασθαι. αὐτὸς δ' ὁ Σιλανὸς ἐβούλετο ὅτι τάχιστα 18
εἰς τὴν Ἑλλάδα ἀφικέσθαι· οὗς γὰρ παρὰ Κύρου ἔλαβε τρισχιλίους δαρεικούς, ὅτε τὰς δέκα ἡμέρας ἠλήθευσε θυόμενος Κύρῳ, διεσεσώκει. τῶν δὲ στρατιωτῶν, 19
ἐπεὶ ἤκουσαν, τοῖς μὲν ἐδόκει βέλτιστον εἶναι καταμεῖναι, τοῖς δὲ πολλοῖς οὔ. Τιμασίων δὲ ὁ Δαρδανεὺς καὶ Θώραξ ὁ Βοιώτιος πρὸς ἐμπόρους τινὰς παρόντας τῶν Ἡρακλεωτῶν καὶ Σινωπέων λέγουσιν ὅτι, εἰ μὴ ἐκποριοῦσι τῇ στρατιᾷ μισθόν, ὥστε ἔχειν τὰ ἐπιτήδεια ἐκπλέοντας, ὅτι κινδυνεύσει μεῖναι τοσαύτη δύναμις ἐν τῷ Πόντῳ· βούλεται γὰρ Ξενοφῶν καὶ ἡμᾶς παρακαλεῖ, ἐπειδὰν ἔλθῃ τὰ πλοῖα, τότε εἰπεῖν ἐξαίφνης τῇ στρατιᾷ, Ἄνδρες, νῦν μὲν ὁρῶμεν ἡμᾶς ἀπόρους 20
ὄντας καὶ ἐν τῷ ἀπόπλῳ ἔχειν τὰ ἐπιτήδεια καὶ ὡς οἴκαδε ἀπελθόντας ὀνῆσαί τι τοὺς οἴκοι· εἰ δὲ βούλεσθε

— *Καὶ ἱππέας δὲ*] προσέτι δὲ καὶ ἱππεῖς. — *Καὶ μάλα... ἱκανούς*] οἵτινες ἦσαν καὶ πολὺ ἱκανοί. — *Παρεσκευάσθη ἄν*] ἠδύνατο νὰ παρασκευασθῇ. — *Κατοικίσαντας*] κτίσαντας (τοὺς Ἕλληνας).

§. 17. *Ἐκφέρει λόγον*] διαδίδει. — *Σιλανὸς*] Α'. ζ'. 18.

§. 19. *Ἐκπλέοντας*] μετὰ τὸν ἀπόπλουν. Εἶπε δὲ κατὰ σύνεσιν ἐκπλέοντας ἀντὶ ἐκπλεούσῃ (τῇ στρατιᾷ).

§. 20. *Ἀπόρους ὄντας καὶ ἐ-*

τῆς κύκλῳ χώρας περὶ τὸν Πόντον οἰκουμένης ἐκλεξάμενοι, ὅποι ἂν βούλησθε, κατασχεῖν, καὶ τὸν μὲν ἐθέλοντα ἀπιέναι οἴκαδε, τὸν δ' ἐθέλοντα μένειν αὐτοῦ·
21 πλοῖα δ' ὑμῖν πάρεστιν, ὥστε, ὅπῃ ἂν βούλησθε, ἐξαίφνης ἂν ἐπιπέσοιτε. ἀκούσαντες ταῦτα οἱ ἔμποροι ἀπήγγελλον ταῖς πόλεσι· συνέπεμψε δ' αὐτοῖς Τιμασίων ὁ Δαρδανεὺς Εὐρύμαχόν τε τὸν Δαρδανέα καὶ Θώρακα τὸν Βοιώτιον τὰ αὐτὰ ταῦτα ἐροῦντας. Σινωπεῖς δὲ καὶ Ἡρακλεῶται, ταῦτα ἀκούσαντες, πέμπουσι
22 πρὸς τὸν Τιμασίωνα καὶ κελεύουσι προστατεῦσαι λαβόντα χρήματα, ὅπως ἐκπλεύσῃ ἡ στρατιά. ὁ δὲ ἄσμενος ἀκούσας, ἐν συλλόγῳ τῶν στρατιωτῶν ὄντων, λέγει τάδε, Οὐ δεῖ προσέχειν μοι τῇ, ὦ ἄνδρες, οὐδὲ τῆς
23 Ἑλλάδος οὐδὲν περὶ πλείονος ποιεῖσθαι. ἀκούω δέ τινας θύεσθαι ἐπὶ τούτῳ, οὐδ' ὑμῖν λέγοντας. ὑπισχνοῦμαι δὲ ὑμῖν, ἂν ἐκπλέητε, ἀπὸ νουμηνίας μισθοφορὰν παρέξειν κυζικηνὸν ἑκάστῳ τοῦ μηνός· καὶ ἄξω ὑμᾶς εἰς τὴν Τρῳάδα, ἔνθεν καί εἰμι φυγάς, καὶ
24 ὑπάρξει ὑμῖν ἡ ἐμὴ πόλις· ἑκόντες γάρ με δέξονται. ἡγήσομαι δὲ αὐτὸς ἐγώ, ἔνθεν πολλὰ χρήματα λήψεσθε· ἔμπειρος δέ εἰμι τῆς Αἰολίδος καὶ τῆς Φρυγίας καὶ τῆς Τρῳάδος καὶ τῆς Φαρναβάζου ἀρχῆς πάσης, τῆς μὲν
25 διὰ τὸ ἐκεῖθεν εἶναι, τῆς δὲ διὰ τὸ συνεστρατεῦσθαι ἐν αὐτῇ σὺν Κλεάρχῳ τε καὶ Δερκυλλίδᾳ. ἀναστὰς

χειν... καὶ ὀνῆσαι] ἔχομεν ἔλλειψιν = δὲν δυνάμεθα οὔτε ἐν τῷ ἀπόπλῳ νὰ ἔχωμεν τρόφιμα οὔτε, ὅταν ἔλθωμεν εἰς τὴν πατρίδα νὰ παράσχωμεν ὠφέλειάν τινα εἰς τοὺς οἰκείους. — Εἰ δὲ βούλεσθε... κατασχεῖν] = εἰ δὲ βούλεσθε, κατάσχετε ἤ, εἰ δὲ βουλεσθε, ἔξεστι κατασχεῖν. Ἀνακόλουθον.

§. 22. Ἐν συλλόγῳ τῶν στρατιωτῶν ὄντων] ἐν συναθροίσει ἐκ στρατιωτῶν ἀπαρτιζομένῃ. — Προσέχειν μονῇ] νὰ προσέχωμεν τὸν νοῦν εἰς τὸ νὰ μείνωμεν ἐνταῦθα.

§. 23. Ὑπάρξει ὑμῖν] θὰ σᾶς βοηθήσῃ. Α'. ά. 4.

§. 24. Ἔνθεν] εἰς τόπους, ἀφ' ὧν. — Τὰ μὲν διὰ τὸ ἐκεῖθεν εἶναι] ἀφ' ἑνὸς μὲν διότι κατάγομαι ἐκεῖθεν. — Κλεάρχῳ] ὅτε ἦτο ἁρμοστὴς Βυζαντίου. (Ἴδε Β'. στ'. 6.) ἢ καὶ ὅτε ἐξόριστος ὢν παρεσκεύαζε στρατόν. — Δερκυλλίδᾳ] ὅτε εἶχε πορευθῇ εἰς Ἄβυδον.

§. 25. Ἐμάχετο] ἤριζε. — Ἔσεσθαι αὐτοῖς Χερρόνησον] θὰ ἔχωσι, θὰ εἶναι ἰδική των ἡ Χερρόνησος. — Μαστεύειν] Γ'. ά. 43.

αὖθις Θώραξ ὁ Βοιώτιος, ὃς ἀεὶ περὶ στρατηγίας Ξενοφῶντι ἐμάχετο, ἔφη, εἰ ἐξέλθοιεν ἐκ τοῦ Πόντου, ἔσεσθαι αὐτοῖς Χερρόνησον χώραν καλὴν καὶ εὐδαίμονα, ὥστε τῷ βουλομένῳ ἐνοικεῖν, τῷ δὲ μὴ βουλομένῳ ἀπιέναι οἴκαδε. γελοῖον δὲ εἶναι, ἐν τῇ Ἑλλάδι οὔσης χώρας πολλῆς καὶ ἀφθόνου, ἐν τῇ βαρβάρων μαστεύειν. ἔστε δ' ἄν, ἔφη, ἐκεῖ γένησθε, κἀγώ, καθάπερ Τιμα- 26
σίων, ὑπισχνοῦμαι ὑμῖν τὴν μισθοφοράν. ταῦτα δὲ ἔλεγεν, εἰδώς, ἃ Τιμασίωνι οἱ Ἡρακλεῶται καὶ οἱ Σινωπεῖς ὑπισχνοῦντο, ὥστε ἐκπλεῖν. ὁ δὲ Ξενοφῶν ἐν τούτῳ ἐδίγα. ἀναστὰς δὲ Φιλήσιος καὶ Λύκων οἱ 27
Ἀχαιοὶ ἔλεγον, ὡς δεινὸν εἴη ἰδίᾳ μὲν Ξενοφῶντα πείθειν τε καταμένειν καὶ θύεσθαι ὑπὲρ τῆς μονῆς μὴ κοινουμένου τῇ στρατιᾷ, εἰς δὲ τὸ κοινὸν μηδὲν ἀγορεύειν περὶ τούτων. ὥστε ἠναγκάσθη ὁ Ξενοφῶν ἀναστῆναι καὶ εἰπεῖν τάδε, Ἐγώ, ὦ ἄνδρες, θύομαι 28
μέν, ὡς ὁρᾶτε, ὁπόσα δύναμαι, καὶ ὑπὲρ ὑμῶν καὶ ὑπὲρ ἐμαυτοῦ, ὅπως ταῦτα τυγχάνω καὶ λέγων καὶ νοῶν καὶ πράττων, ὁποῖα μέλλει ὑμῖν τε κάλλιστα καὶ ἄριστα ἔσεσθαι καὶ ἐμοί. καὶ νῦν ἐθυόμην περὶ αὐτοῦ τούτου, εἰ ἄμεινον εἴη ἄρχεσθαι λέγειν εἰς ὑμᾶς καὶ πράττειν περὶ τούτων ἢ παντάπασι μηδὲ ἅπτεσθαι τοῦ πράγματος. Σιλανὸς δέ μοι ὁ μάντις ἀπεκρίνατο τὸ μὲν μέ- 29
γιστον τὰ ἱερὰ καλὰ εἶναι—ᾔδει γὰρ καὶ ἐμὲ οὐκ ἄπειρον ὄντα διὰ τὸ ἀεὶ παρεῖναι τοῖς ἱεροῖς—ἔλεξε δὲ ὅτι ἐν τοῖς ἱεροῖς φαίνοιτό τις δόλος καὶ ἐπιβουλὴ ἐμοί, ὡς ἄρα γιγνώσκων, ὅτι αὐτὸς ἐπεβούλευε διαβάλλειν με πρὸς ὑμᾶς· ἐξήνεγκε γὰρ τὸν λόγον, ὡς ἐγὼ πράττειν ταῦτα διανοοίμην ἤδη, οὐ πείσας ὑμᾶς. ἐγὼ δέ, εἰ 30
μὲν ἑώρων ἀποροῦντας ὑμᾶς, τοῦτ' ἂν ἐσκόπουν, ἀφ'

§. 26. Ἔστε... ἐκεῖ γένησθε] ἕως οὗ φθάσητε ἐκεῖ.

§. 28. Τυγχάνω καὶ λέγων κτλ.] ἵνα καὶ λέγω. — Περὶ αὐτοῦ τούτου, εἰ ἄμεινον] περὶ αὐτοῦ τούτου, ἂν δηλαδὴ εἶναι προτιμότερον.

§. 29. Ἐπιβουλὴ ἐμοί] ἐπιβουλὴ κατ' ἐμοῦ. — Ὡς ἄρα γιγνώσκων] διότι βέβαια ἐγίνωσκε. Δ'. στ'. 15.

§. 30. Τοῦτ' ἂν ἐσκόπουν, ἀφ' οὗ] θὰ ἐσκεπτόμην περὶ τούτου, πῶς δηλαδὴ θὰ ἦτο δυνατὸν κτλ.

οὗ ἂν γένοιτο ὥστε, λαβόντας ὑμᾶς πόλιν, τὸν μὲν βουλόμενον ἀποπλεῖν ἤδη, τὸν δὲ μὴ βουλόμενον, ἐπεὶ κτήσαιτο ἱκανά, ὥστε καὶ τοὺς ἑαυτοῦ οἰκείους ὠφελῆ-
31 σαί τι. ἐπεὶ δὲ ὁρῶ ὑμῖν καὶ τὰ πλοῖα πέμποντας Ἡρακλεώτας καὶ Συνωπέας ὥστε ἐκπλεῖν, καὶ μισθὸν ὑπισχνουμένους ὑμῖν ἄνδρας ἀπὸ νουμηνίας, καλόν μοι δοκεῖ εἶναι, σωζομένους ἔνθα βουλόμεθα, μισθὸν τῆς σωτηρίας λαμβάνειν, καὶ αὐτός τε παύομαι ἐκείνης τῆς διανοίας καί, ὁπόσοι πρὸς ἐμὲ προσῆσαν λέγοντες,
32 ὡς χρὴ ταῦτα πράττειν, παύεσθαί φημι χρῆναι. οὕτω γὰρ γιγνώσκω· ὁμοῦ μὲν ὄντες πολλοί, ὥσπερ νυνί, δοκεῖτε ἄν μοι καὶ ἔντιμοι εἶναι καὶ ἔχειν τὰ ἐπιτήδεια— ἐν γὰρ τῷ κρατεῖν ἐστι καὶ τὸ λαμβάνειν τὰ τῶν ἡττόνων—διασπασθέντες δ' ἂν καὶ κατὰ μικρὰ γενομένης τῆς δυνάμεως, οὔτ' ἂν τροφὴν δύναισθε λαμβάνειν
33 οὔτε χαίροντες ἂν ἀπαλλάξαιτε. δοκεῖ οὖν μοι, ἅπερ ὑμῖν, ἐκπορεύεσθαι εἰς τὴν Ἑλλάδα, καὶ, ἐάν τις μείνῃ ἢ ἀπολιπὼν ληφθῇ, πρὶν ἐν ἀσφαλεῖ εἶναι πᾶν τὸ στράτευμα, κρίνεσθαι αὐτὸν ὡς ἀδικοῦντα. καὶ ὅτῳ δοκεῖ, ἔφη, ταῦτα, ἀράτω τὴν χεῖρα. ἀνέτειναν ἅπαν-
34 τες. ὁ δὲ Σιλανὸς ἐβόα καὶ ἐπεχείρει λέγειν, ὡς δίκαιον εἴη ἀπιέναι τὸν βουλόμενον. οἱ δὲ στρατιῶται οὐκ ἠνείχοντο, ἀλλ' ἠπείλουν αὐτῷ ὅτι, εἰ λήψονται
35 ἀποδιδράσκοντα, τὴν δίκην ἐπιθήσοιεν. ἐντεῦθεν, ἐπεὶ ἔγνωσαν οἱ Ἡρακλεῶται, ὅτι ἐκπλεῖν δεδογμένον εἴη καὶ Ξενοφῶν αὐτὸς ἐπεψηφικὼς εἴη, τὰ μὲν πλοῖα πέμπουσι, τὰ δὲ χρήματα, ἃ ὑπέσχοντο Τιμασίωνι καὶ Θώ-
36 ρακι, ἐψευσμένοι ἦσαν τῆς μισθοφορᾶς. ἐνταῦθα δὲ

— ἐπεὶ κτήσαιτο ἱκανὰ] = ἀποπλεῖν τότε, ἐπεὶ κτήσαιτο.

§. 31. *Παύσασθαι*] λέγοντες ὡς χρὴ πόλιν κατοικίσαι.

§. 32. *Οὕτω γιγνώσκω*] ταύτην τὴν γνώμην ἔχω. Β'. γ'. 19. — *Οὔτε χαίροντες ἀπαλλάξαιτε*] οὔτε αἰσίως ἢ ἀτιμωρητί θ' ἀπαλλαγῆτε τῶν κινδύνων.

§. 34. *Τὴν δίκην ἐπιθήσοιεν*] ἤθελον τῷ ἐπιβάλλει τὴν προσήκουσαν τιμωρίαν.

§. 35. *Ἐπεψηφικὼς*] θεὶς τὸ ζήτημα εἰς ψηφοφορίαν. Ἀσ. 340. 35. — *Τὰ δὲ χρήματα... ἐψευσμένοι ἦσαν τῆς μισθοφορᾶς*] ὡς πρὸς τὰ χρήματα δὲ τῆς μισθοφορίας εἶχον ψευσθῆ.

§. 36. *Οἷς ἀνεκεκοίνωντο*] μεθ' ὧν εἶχον συνενοηθῆ.

ἐκπεπληγμένοι ἦσαν καὶ ἐδεδοίκεσαν τὴν στρατιὰν οἱ τὴν μισθοφορὰν ὑπεσχημένοι. παραλαβόντες οὖν οὗτοι καὶ τοὺς ἄλλους στρατηγούς, οἷς ἀνεκεκοίνωντο, ἃ πρόσθεν ἔπραττον—πάντες δ' ἦσαν πλὴν Νέωνος τοῦ Ἀσιναίου, ὃς Χειρισόφῳ ὑπεστρατήγει, Χειρίσοφος δὲ οὔπω παρῆν — ἔρχονται πρὸς Ξενοφῶντα καὶ λέγουσιν, ὅτι μεταμέλοι αὐτοῖς καὶ δοκοίη κράτιστον εἶναι πλεῖν εἰς Φᾶσιν, ἐπεὶ πλοῖα ἔστι, καὶ κατασχεῖν τὴν Φασιανῶν χώραν· Λιήτου δὲ ὑϊδοῦς ἐτύγχανε βασι- 37
λεύων αὐτῶν. Ξενοφῶν δὲ ἀπεκρίνατο, ὅτι οὐδὲν ἂν τούτων εἴποι εἰς τὴν στρατιάν· ὑμεῖς δέ, συλλέξαντες, ἔφη, εἰ βούλεσθε, λέγετε. ἐνταῦθα ἀποδείκνυται Τιμασίων ὁ Δαρδανεὺς γνώμην οὐκ ἐκκλησιάζειν, ἀλλὰ τοὺς αὐτοῦ ἕκαστον λοχαγοὺς πρῶτον πειρᾶσθαι πείθειν. καὶ ἀπελθόντες ταῦτ' ἐποίουν.

ζ'. Ταῦτα οὖν οἱ στρατιῶται ἀνεπύθοντο ταραττό- 1
μενα. καὶ ὁ Νέων λέγει, ὡς Ξενοφῶν ἀναπεπεικὼς τοὺς ἄλλους στρατηγοὺς διανοεῖται ἄγειν τοὺς στρατιώτας ἐξαπατήσας πάλιν εἰς Φᾶσιν. ἀκούσαντες δ' οἱ στρα- 2
τιῶται χαλεπῶς ἔφερον, καὶ σύλλογοι ἐγίγνοντο καὶ κύκλοι συνίσταντο, καὶ μάλα φοβεροὶ ἦσαν μὴ ποιήσειαν, οἷα καὶ τοὺς τῶν Κόλχων κήρυκας ἐποίησαν καὶ τοὺς ἀγορανόμους· ὅσοι γὰρ μὴ εἰς τὴν θάλατταν κατέφυγον, κατελεύσθησαν. ἐπεὶ δὲ ἠσθάνετο Ξενο- 3
φῶν, ἔδοξεν αὐτῷ ὡς τάχιστα συναγαγεῖν αὐτῶν ἀγορὰν καὶ μὴ ἐᾶσαι συλλεγῆναι αὐτομάτους· καὶ ἐκέλευσε τὸν κήρυκα συλλέγειν ἀγοράν. οἱ δ' ἐπεὶ τοῦ 4

§. 37. *Λιήτου ὑϊδοῦς*] ἔκγονος Λιήτου. Ὁ Στράβων ἐν 1. 2. 71 λέγει ὅτι Λιήτης (ὁ πατὴρ ἐκεῖνος τῆς Μηδείας) πεπίστευται βασιλεῦσαι τῆς Κολχίδος καὶ ἔστι τοῖς ἐκεῖ τοῦτ' ἐπιχώριον τοὔνομα.

Κεφ. ζ'. §. 1. Ἀνεπύθοντο] ἔμαθον παρ' ἀλλήλων.

§. 2. *Χαλεπῶς ἔφερον*] ἐχαλέπαινον = ἠγανάκτουν Α'. δ'. 12. — *Σύλλογοι... κύκλοι*] συναθροίσεις ἢ συνεδριάσεις. Πολλάκις ὁ στρατὸς καὶ ὁ στόλος χάριν συνεδριάσεως ἐσχημάτιζον κύκλον. — *Φοβεροὶ ἦσαν*] = φόβος ἦν προσωπικὴ ἀντὶ ἀπροσώπου συντάξεως. — *Οἷα καὶ τοὺς Κόλχων... ἐποίησαν*] Περὶ τούτων οὐδὲν εἶπεν ἐν τοῖς ἔμπροσθεν. Ὁποῖα δὲ ἦσαν ταῦτα, ἀναγκάζεται νὰ εἴπῃ κατωτέρω, § 13 κ. ἑ.

κήρυκος ἤκουσαν, συνέδραμον καὶ μάλα ἑτοίμως. ἐνταῦθα Ξενοφῶν τῶν μὲν στρατηγῶν οὐ κατηγόρει, ὅτι ἦλθον πρὸς αὐτόν, λέγει δὲ ὧδε.

5 Ἀκούω τινὰ διαβάλλειν, ὦ ἄνδρες, ἐμέ, ὡς ἐγὼ ἄρα ἐξαπατήσας ὑμᾶς μέλλω ἄγειν εἰς Φᾶσιν. ἀκούσατε οὖν μου πρὸς θεῶν, καὶ ἐὰν μὲν ἐγὼ φαίνωμαι ἀδικεῖν, οὐ χρή με ἐνθένδε ἀπελθεῖν, πρὶν ἂν δῶ δίκην· ἂν δ' ὑμῖν φαίνωνται ἀδικεῖν οἱ ἐμὲ διαβάλλον-
6 τες, οὕτως αὐτοῖς χρῆσθε, ὥσπερ ἄξιον. ὑμεῖς δ', ἔφη, ἴστε δήπου, ὅθεν ἥλιος ἀνίσχει καὶ ὅπου δύεται, καὶ ὅτι, ἐὰν μέν τις εἰς τὴν Ἑλλάδα μέλλῃ ἰέναι, πρὸς ἑσπέραν δεῖ πορεύεσθαι, ἢν δέ τις βούληται εἰς τοὺς βαρβάρους, τοὔμπαλιν πρὸ ἕω. ἔστιν οὖν ὅστις τοῦτο ἂν δύναιτο ὑμᾶς ἐξαπατῆσαι, ὡς ἥλιος ἔνθεν μὲν ἀνίσχει δύεται δὲ ἐνταῦθα, ἔνθα δὲ δύεται ἀνίσχει δ' ἐν-
7 τεῦθεν; ἀλλὰ μὴν καὶ τοῦτό γε ἐπίστασθε, ὅτι βορέας μὲν ἔξω τοῦ Πόντου εἰς τὴν Ἑλλάδα φέρει, νότος δὲ εἴσω εἰς Φᾶσιν, καὶ λέγεται, ὅταν βορρᾶς πνέῃ, ὡς καλοὶ πλοῖ εἰσιν εἰς τὴν Ἑλλάδα. τοῦτ' οὖν ἔστιν ὅπως τις ἂν ὑμᾶς ἐξαπατήσαι, ὥστε ἐμβαίνειν, ὁπόταν νότος
8 πνέῃ; ἀλλὰ γάρ, ὁπόταν γαλήνη ᾖ, ἐμβιβῶ. οὐκοῦν ἐγὼ μὲν ἐν ἑνὶ πλοίῳ πλεύσομαι, ὑμεῖς δὲ τοὐλάχιστον ἐν ἑκατόν; πῶς ἂν οὖν ἐγὼ ἢ βιασαίμην ὑμᾶς σὺν
9 ἐμοὶ πλεῖν μὴ βουλομένους ἢ ἐξαπατήσας ἄγοιμι; ποιῷ δ' ὑμᾶς ἐξαπατηθέντας καὶ γοητευθέντας ὑπ' ἐμοῦ ἥκειν εἰς Φᾶσιν· καὶ δὴ ἀποβαίνομεν εἰς τὴν χώραν· γνώσεσθε δήπου, ὅτι οὐκ ἐν τῇ Ἑλλάδι ἐστέ· καὶ ἐγὼ μὲν ἔσομαι ὁ ἐξηπατηκὼς εἷς, ὑμεῖς δὲ οἱ ἐξη-

§. 5. Ὡς ἐγὼ ἄρα] ὅτι δῆθεν ἐγώ. — Δῷ δίκην] Γ. Σ. Δ'.

§. 6. Βούληται εἰς τοὺς βαρβάρους] ἰέναι. — Τοὔμπαλιν] τὸ ἐναντίον. — Δύεται δ' ἐνταῦθα] δύεται δὴ ἐνταῦθα. Ἴδε καὶ Ε'. ἑ. 22.

§. 8. Ἀλλὰ γάρ] Γ'. β'. 25. — Ἐμβιβῶ] ἃς ὑποθέσωμεν ὅτι θὰ σᾶς ἐμβάσω. — Οὐκοῦν πλεύσομαι;] δὲν εἶναι ἀληθὲς ὅτι ἐγὼ μὲν θὰ πλέω; Ἴδε καὶ Β'. ἑ. 24.

§. 9. Ποιῶ] ὑποθέτω. — Καὶ δὴ καὶ ἀποβαίνομεν] ὑποθέτω ἤδη ὅτι καὶ ἀποβαίνομεν. Ἀσ. 353. §. 7. β'. — Πῶς οὖν] = πῶς οὖν ἄλλως; = διὰ τίνα ἄλλην αἰτίαν ἤθελε τιμωρηθῇ ἢ διότι ἐσκέπτετο;

πατημένοι ἐγγὺς μυρίων ἔχοντες ὅπλα. πῶς ἂν οὖν εἷς ἀνὴρ μᾶλλον δοίη δίκην ἢ οὕτω περὶ αὐτοῦ τε καὶ ὑμῶν βουλευόμενος; ἀλλ' οὗτοί εἰσιν οἱ λόγοι ἀνδρῶν 10
καὶ ἡλιθίων καμοὶ φθονούντων, ὅτι ἐγὼ ὑφ' ὑμῶν τιμῶμαι. καίτοι οὐ δικαίως γ' ἄν μοι φθονοῖεν· τίνα γὰρ αὐτῶν ἐγὼ κωλύω ἢ λέγειν, εἴ τίς τι ἀγαθὸν δύναται ἐν ὑμῖν, ἢ μάχεσθαι, εἴ τις ἐθέλει ὑπὲρ ὑμῶν τε καὶ ἑαυτοῦ, ἢ ἐρηγορέναι περὶ τῆς ὑμετέρας ἀσφαλείας ἐπιμελόμενον; τί γάρ, ἄρχοντας αἱρουμένων ὑμῶν, ἐγώ τινι ἐμποδὼν εἰμι; παρίημι, ἀρχέτω· μόνον ἀγαθόν τι ποιῶν ὑμᾶς φαινέσθω. ἀλλὰ γὰρ ἐμοὶ μὲν ἀρκεῖ 11
περὶ τούτων τὰ εἰρημένα· εἰ δέ τις ὑμῶν ἢ αὐτὸς ἐξαπατηθῆναι ἂν οἴεται ταῦτα ἢ ἄλλον ἐξαπατῆσαι ταῦτα, λέγων διδασκέτω. ὅταν δὲ τούτων ἅλις ἔχητε, μὴ ἀ- 12
πέλθητε, πρὶν ἂν ἀκούσητε, οἷον ὁρῶ ἐν τῇ στρατιᾷ ἀρχόμενον πρᾶγμα· ὃ, εἰ ἔπεισι καὶ ἔσται, οἷον ὑποδείκνυσιν, ὥρα ἡμῖν βουλεύεσθαι ὑπὲρ ἡμῶν αὐτῶν, μὴ κάκιστοί τε καὶ αἴσχιστοι ἄνδρες ἀποφαινώμεθα καὶ πρὸς θεῶν καὶ πρὸς ἀνθρώπων καὶ φίλων καὶ πολεμίων καὶ καταφρονηθῶμεν. ἀκούσαντες δὲ ταῦτα οἱ 13
στρατιῶται ἐθαύμασάν τε, ὅ τι εἴη, καὶ λέγειν ἐκέλευον. ἐκ τούτου ἄρχεται πάλιν, Ἐπίστασθέ που, ὅτι χωρία ἦν ἐν τοῖς ὄρεσι βαρβαρικά, φίλια τοῖς Κερασουντίοις, ὅθεν κατιόντες τινὲς καὶ ἱερεῖα ἐπώλουν ἡμῖν καὶ ἄλλα ὧν εἶχον, δοκοῦσι δέ μοι καὶ ὑμῶν τινες εἰς τὸ ἐγγυτάτω χωρίον τούτων ἐλθόντες ἀγοράσαντές τι πάλιν ἀπῆλθον. τοῦτο καταμαθὼν Κλεάρετος ὁ λοχαγὸς ὅτι 14
καὶ μικρὸν εἴη καὶ ἀφύλακτον διὰ τὸ φίλιον νομίζειν εἶναι, ἔρχεται ἐπ' αὐτοὺς τῆς νυκτὸς ὡς πορθήσων,

§. 10. Ἐμποδὼν εἰμι] = εἰ, ὅταν ἐκλέγηται ἄρχοντας, ἐγὼ ἐμποδὼν εἰμι. Ἀσ. 354. §. 7. ἑ.

§. 11. Ἢ αὐτὸς ἐξαπατηθῆναι ἂν ταῦτα κτλ.] ὅτι ἢ αὐτὸς ἐξηπατήθη ὑπ' ἐμοῦ ὡς πρὸς ταῦτα ἢ ὅτι ἄλλον τινὰ ἐξηπάτησα.

§. 12. Ἅλις ἔχητε] τὰ ἀρκοῦντα περὶ τούτου πράξητε. — Εἰ ἔπεισι] ἂν ἐπέλθῃ (εἰς τὸν στρατὸν), ἂν συμβῇ.

§. 13. Ὅ τι εἴη] τί τάχα ἦτο τὸ πρᾶγμα τοῦτο.

§. 14. Διὰ τὸ νομίζειν] διότι ἐνόμιζε (τὸ χωρίον) = διότι ἐνόμιζον οἱ ἐν αὐτῷ ὅτι ἦσαν φίλοι ἡμῶν. Ἐνόμιζον δέ, διότι ἦσαν σύμμαχοι τῶν Κερασουντίων.

οὐδενὶ ἡμῶν εἰπών. διενενόητο δέ, εἰ λάβοι τόδε τὸ χωρίον, εἰς μὲν τὸ στράτευμα μηκέτι ἐλθεῖν, εἰσβὰς δὲ εἰς πλοῖον, ἐν ᾧ ἐτύγχανον οἱ σύσκηνοι αὐτοῦ παραπλέοντες, καὶ ἐνθέμενος, εἴ τι λάβοι, ἀποπλέων οἴχεσθαι ἔξω τοῦ Πόντου. καὶ ταῦτα συνωμολόγησαν αὐτῷ οἱ ἐκ τοῦ πλοίου σύσκηνοι, ὡς ἐγὼ νῦν αἰσθάνομαι. παρακαλέσας οὖν, ὁπόσους ἔπειθεν, ἦγεν ἐπὶ τὸ χωρίον. πορευόμενον δ' αὐτὸν φθάνει ἡμέρα γενομένη, καὶ συστάντες οἱ ἄνθρωποι ἀπὸ ἰσχυρῶν τόπων βάλλοντες καὶ παίοντες τόν τε Κλεάρετον ἀποκτείνουσι καὶ τῶν ἄλλων συχνούς, οἱ δέ τινες καὶ εἰς Κερασοῦντα αὐτῶν ἀποχωροῦσι. ταῦτα δ' ἦν ἐν τῇ ἡμέρᾳ, ᾗ ἡμεῖς δεῦρ' ἐξωρμῶμεν πεζῇ· τῶν δὲ πλεόντων ἔτι τινὲς ἦσαν ἐν Κερασοῦντι, οὕπω ἀνηγμένοι. μετὰ τοῦτο, ὡς οἱ Κερασούντιοι λέγουσιν, ἀφικνοῦνται τῶν ἐκ τοῦ χωρίου τρεῖς ἄνδρες τῶν γεραιτέρων, πρὸς τὸ κοινὸν τὸ ἡμέτερον χρήζοντες ἐλθεῖν. ἐπεὶ δ' ἡμᾶς οὐ κατέλαβον, πρὸς τοὺς Κερασουντίους ἔλεγον, ὅτι θαυμάζοιεν, τί ἡμῖν δόξειεν ἐλθεῖν ἐπ' αὐτούς. ἐπεὶ μέντοι σφεῖς λέγειν ἔφασαν, ὅτι οὐκ ἀπὸ κοινοῦ γένοιτο τὸ πρᾶγμα, ἥδεσθαί τε αὐτοὺς καὶ μέλλειν ἐνθάδε πλεῖν, ὡς ἡμῖν λέξαι τὰ γενόμενα καὶ τοὺς νεκροὺς κελεύειν αὐτοὺς θάπτειν λαβόντας τοὺς τούτου δεομένους. τῶν δ' ἀποφυγόντων τινὰς Ἑλλήνων τυχεῖν ἔτι ὄντας ἐν Κερασοῦντι· αἰσθόμενοι δὲ τοὺς βαρβάρους, ὅποι ἴοιεν, αὐτοί τε ἐτόλμησαν βάλλειν τοῖς λίθοις καὶ τοῖς ἄλλοις παρεκελεύοντο. καὶ οἱ ἄνδρες ἀποθνήσκουσι, τρεῖς ὄντες, οἱ πρέσβεις, καταλευσθέντες. ἐπεὶ δὲ τοῦτο ἐγένετο, ἔρχονται πρὸς ἡμᾶς οἱ Κερασούντιοι καὶ λέγουσι τὸ πρᾶγμα· καὶ ἡμεῖς, οἱ στρατηγοί, ἀκούσαντες, ἠχθόμεθά τε τοῖς γεγενημένοις καὶ ἐβουλευόμεθα σὺν τοῖς Κερασουντίοις ὅπως ἂν ταφείησαν οἱ τῶν Ἑλλήνων νεκροί. συγκαθήμενοι δ' ἔξωθεν τῶν ὅπλων, ἐξαίφνης ἀκούομεν θορύβου πολλοῦ, Παῖε παῖε, βάλλε βάλλε. Καὶ τάχα δὴ ὁρῶμεν πολλοὺς προσθέοντας λίθους ἔχοντας ἐν ταῖς χερσί, τοὺς δὲ καὶ ἀναιρουμένους. καὶ οἱ μὲν Κερασούντιοι, ὡς ἂν καὶ ἑωρακότες τὸ παρ' ἑαυτοῖς πρᾶγμα, δείσαντες ἀποχωροῦσι πρὸς τὰ πλοῖα. ἦσαν δὲ νὴ Δία καὶ ἡμῶν οἳ ἔδεισαν. ἐγώ γε μὴν ἦλθον πρὸς αὐτοὺς καὶ ἠρώτων, ὅ τι ἐστὶ τὸ πρᾶγμα. τῶν δὲ ἦσαν μὲν οἳ οὐδὲν ἤδεσαν, ὅμως δὲ λίθους εἶχον ἐν ταῖς χερσίν. ἐπεὶ δὲ εἰδότι τινὶ ἐπέτυχον, λέγει μοι, ὅτι οἱ ἀγορανόμοι δεινότατα ποιοῦσι τὸ στράτευμα. ἐν τούτῳ τις ὁρᾷ τὸν ἀγορανόμον Ζήλαρχον πρὸς τὴν θάλατταν ἀποχωροῦντα, καὶ ἀνέκραγεν· οἱ δέ, ὡς ἤκουσαν, ὥσπερ ἢ συὸς ἀγρίου ἢ ἐλάφου φανέντος, ἵενται ἐπ' αὐτόν. οἱ δ' αὖ Κερασούντιοι, ὡς εἶδον ὁρμῶντας καθ' αὐτούς, σαφῶς νομίζοντες ἐπὶ σφᾶς ἴεσθαι, φεύγουσι δρόμῳ καὶ ἐμπίπτουσιν εἰς τὴν θάλατταν. συνεισέπεσον δὲ καὶ ἡμῶν αὐτῶν τινες, καὶ ἐπνίγετο ὅστις νεῖν μὴ ἐτύγχανεν ἐπιστάμενος. καὶ τούτους τί δοκεῖτε; ἠδίκουν μὲν οὐδέν, ἔδεισαν δὲ μὴ λίττα τις, ὥσπερ κυσίν, ἡμῖν ἐμπεπτωκοί. εἰ οὖν ταῦτα τοιαῦτα

§. 15. *Οἱ ἐκ τοῦ πλοίου σύσκηνοι*] = οἱ ἐν τῷ πλοίῳ σύσκηνοι εἶχον συμφωνήσει (ἀπὸ τοῦ πλοίου) νὰ συνεργασθῶσιν. *Α'. β'.* 18. — *Αἰσθάνομαι*] μανθάνω.

§. 16. *Φθάνει γενομένη*] ἔγεινε πρὸ τῆς ἀφίξεώς του. *Γ'. Σ'. Δ'.* — *Οἱ δέ τινες*] ἄλλοι δέ τινες. *Β'. γ'.* 15.

§. 17. *Τῶν ἐκ τοῦ χωρίου τρεῖς τῶν γεραιτέρων*] ἔρχονται ἐκ τοῦ χωρίου τρεῖς τῶν πεμπομένων ὑπὸ τοῦ χωρίου γεραιτέρων. — *Χρήζοντες*] *Β'. ἑ.* 2.

§. 18. *Τί ἡμῖν δόξειεν*] διατί ἀπεφασίσαμεν. — *Ἐπεὶ μέντοι σφεῖς λέγειν ἔφασαν κτλ.*] ἀφοῦ ὅμως οἱ Κερασούντιοι, ὡς αὐτοὶ λέγουσιν, εἶπον εἰς τοὺς πρέσβεις τῶν βαρβάρων ὅτι ὄχι κοινῇ τῶν Ἑλλήνων γνώμῃ ἔγεινε τὸ πρᾶγμα, ἠχαριστήθησαν κτλ. *Περὶ τοῦ σφεῖς* = οἱ Κερασούντιοι *ἴδε Α'. ά.* 7 *οἱ δοθῆναι· περὶ δὲ τοῦ λέγειν* = εἶπον *ἴδε Ἀσ.* 444. 77.

§. 21. *Τάχα δή*] τότε πλέον, ὡς λέγει ἡ κοινή. *Α'. ή.* 8. — *Τοὺς δὲ καὶ ἀναιρουμένους*] τινὲς δὲ καὶ ἐσήκοναν λίθους ἢ ὀλίγοι δέ τινες ἐσήκοναν λίθους. *Α'. ί.* 3.

§. 22. *Ὡς ἂν ἑωρακότες... ἀποχωροῦσι*] ἀποχωροῦσιν ὅπως ἤθελον ἀποχωρήσει ἄνθρωποι οἵτινες εἶχον ἰδεῖ τὰ παρ' ἑαυτοῖς (εἰς τὸν τόπον των) γενόμενα. *Γ'. γ'.* 2.

§. 25. *Ἀγορανόμοι*] οἱ τὴν προμήθειαν τῶν τροφίμων ἐπιτετραμμένοι, οἱ ἐπιστατοῦντες ἐν τῇ ἀγορᾷ.

§. 26. *Καὶ τούτους τί δοκεῖτε;*] καὶ τί νομίζετε ὅτι οὗτοι (οἱ Κερασούντιοι) εἶχον πράξει; — *Θεάσασθε*] σκέψασθε, ὁποία τις

ἔσται, θεάσασθε, οἷα ἡ κατάστασις ἡμῖν ἔσται τῆς
27 στρατιᾶς. ὑμεῖς μὲν οἱ πάντες οὐκ ἔσεσθε κύριοι οὔτε
ἀνελέσθαι πόλεμον, ᾧ ἂν βούλησθε, οὔτε καταλῦσαι,
ἰδίᾳ δὲ ὁ βουλόμενος ἄξει στράτευμα ἐφ' ὅ τι ἂν
θέλῃ. κἂν τινες πρὸς ὑμᾶς ἴωσι πρέσβεις, ἢ εἰρήνης
δεόμενοι ἢ ἄλλου τινός, κατακανόντες τούτους οἱ βου-
λόμενοι ποιήσουσιν ὑμᾶς τῶν λόγων μὴ ἀκοῦσαι τῶν
28 πρὸς ὑμᾶς ἰόντων. ἔπειτα δὲ οὓς μὲν ἂν ὑμεῖς ἅπαν-
τες ἕλησθε ἄρχοντας, ἐν οὐδεμιᾷ χώρᾳ ἔσονται· ὅστις
δ' ἂν ἑαυτὸν ἕληται στρατηγὸν καὶ ἐθέλῃ λέγειν Βάλλε
βάλλε, οὗτος ἔσται ἱκανὸς καὶ ἄρχοντα κατακανεῖν καὶ
ἰδιώτην, ὃν ἂν ὑμῶν ἐθέλῃ, ἄκριτον, ἢν ὧσιν οἱ πει-
29 σόμενοι αὐτῷ, ὥσπερ καὶ νῦν ἐγένετο. οἷα δὲ ὑμῖν
καὶ διαπεπράχασιν οἱ αὐθαίρετοι οὗτοι στρατηγοὶ
σκέψασθε· Ζήλαρχος μὲν ὁ ἀγορανόμος, εἰ μὲν ἀδι-
κεῖ ὑμᾶς, οἴχεται ἀποπλέων, οὐ δοὺς ὑμῖν δίκην· εἰ
δὲ μὴ ἀδικεῖ, φεύγει ἐκ τοῦ στρατεύματος δείσας, μὴ
30 ἀδίκως ἄκριτος ἀποθάνῃ. οἱ δὲ καταλεύσαντες τοὺς
πρέσβεις διεπράξαντο ἡμῖν μόνοις μὲν τῶν Ἑλλήνων
εἰς Κερασοῦντα μὴ ἀσφαλὲς εἶναι ἂν μὴ σὺν ἰσχύϊ
ἀφικνεῖσθαι· τοὺς δὲ νεκρούς, οὓς πρόσθεν αὐτοὶ οἱ
κατακανόντες ἐκέλευον θάπτειν, τούτους διεπράξαντο
μηδὲ σὺν κηρυκείῳ ἔτι ἀσφαλὲς εἶναι ἀνελέσθαι. τίς
γὰρ ἐθελήσει κῆρυξ ἰέναι, κήρυκας ἀπεκτονώς; ἀλλ'

μέλλει νὰ εἶναι ὡς πρὸς ἡμᾶς ἡ κατάστασις τοῦ στρατοῦ.

§. 27. Ὃ ἂν βούλησθε] καθ' οὑτινος θέλητε. — Ἐφ' ὅ τι ἂν θέλῃ] καθ' οὑτινος χωρίου θέλῃ ἢ πρὸς ὅντινα θέλῃ σκοπόν. — Ποιήσουσιν ἡμᾶς μὴ ἀκοῦσαι] θὰ γίνωνται αἴτιοι νὰ μὴ ἀκούσωμεν τοὺς πρὸς ἡμᾶς ἐρχομένους. Α'. ζ'. 4.

§. 28. Ἐν οὐδεμιᾷ χώρᾳ ἔσονται] οὐδόλως θὰ ἰσχύσωσιν. Κυρίως οὐδόλως θὰ ὑφίστανται. Ἴδε καὶ Ε'. στ'. 13. — Ἦν ὧσιν οἱ πεισόμενοι αὐτῷ] ἂν ἔχῃ ἄνδρας δυναμένους νὰ πεισθῶσιν εἰς αὐτόν, ἂν εὕρῃ ἄνδρας ἀσπαζομένους τὴν γνώμην αὐτοῦ.

§. 29. Αὐθαίρετοι] αὐτοχειροτόνητοι. — Οἴχεται ἀποπλέων] ἀπέπλευσε.

§. 30. Μὴ ἀσφαλὲς εἶναι ἀφικνεῖσθαι] νὰ μὴ ἔχωμεν ἀσφαλῆ τὴν εἰς Κερασοῦντα ἄφιξιν. — Κηρυκείῳ] εἶδος σκήπτρου, τὸ ὁποῖον πρὸς διάκρισιν ἔφερον οἱ κήρυκες. Τὸ δὲ ὅλον, μηδὲ διὰ κηρύκων νὰ μὴ εἶναι πλέον ἀσφαλὴς ἡ μετακόμισις καὶ ταφὴ τῶν νεκρῶν.

ἡμεῖς Κερασουντίων θάψαι αὐτοὺς ἐδεήθημεν. εἰ 31
μὲν οὖν ταῦτα καλῶς ἔχει, δοξάτω ὑμῖν, ἵνα, ὡς τοιού-
των ἐσομένων, καὶ φυλακὴν ἰδίᾳ ποιήσῃ τις καὶ τὰ
ἐρυμνὰ ὑπερδέξια πειρᾶται ἔχων σκηνοῦν. εἰ μέντοι 32
ὑμῖν δοκεῖ θηρίων, ἀλλὰ μὴ ἀνθρώπων εἶναι τὰ τοιαῦ-
τα ἔργα, σκοπεῖτε παῦλάν τινα αὐτῶν· εἰ δὲ μή, πρὸς
Διὸς πῶς ἢ θεοῖς θύσομεν ἡδέως, ποιοῦντες ἔργα
ἀσεβῆ, ἢ πολεμίοις πῶς μαχούμεθα, ἢν ἀλλήλους κα-
τακαίνωμεν; πόλις δὲ φιλία τίς ἡμᾶς δέξεται, ἥτις ἂν 33
ὁρᾷ τοσαύτην ἀνομίαν ἐν ἡμῖν; ἀγορὰν δὲ τίς ἄξει
θαρρῶν, ἢν περὶ τὰ μέγιστα τοιαῦτα ἐξαμαρτάνοντες
φαινώμεθα; οὐ δὲ δὴ πάντων οἰόμεθα τεύξεσθαι
ἐπαίνου, τίς ἂν ἡμᾶς τοιούτους ὄντας ἐπαινέσειεν;
ἡμεῖς μὲν γὰρ οἶδ' ὅτι πονηροὺς ἂν φαίημεν εἶναι
τοὺς τὰ τοιαῦτα ποιοῦντας.

Ἐκ τούτου ἀνιστάμενοι πάντες ἔλεγον τοὺς μὲν 34
τούτων ἄρξαντας δοῦναι δίκην, τοῦ δὲ λοιποῦ μηκέτι
ἐξεῖναι ἀνομίας ἄρξαι· ἐὰν δέ τις ἄρξῃ, ἄγεσθαι αὐ-
τοὺς ἐπὶ θανάτῳ· τοὺς δὲ στρατηγοὺς εἰς δίκας πάν-
τας καταστῆσαι· εἶναι δὲ δίκας καὶ εἴ τι ἄλλο τις ἠδί-
κητο, ἐξ οὗ Κῦρος ἀπέθανε· δικαστὰς δὲ τοὺς λοχαγοὺς
ἐποιήσαντο. παραινοῦντος δὲ Ξενοφῶντος καὶ τῶν 35
μάντεων συμβουλευόντων, ἔδοξε καθῆραι τὸ στρά-
τευμα. καὶ ἐγένετο καθαρμός.

§. 31. Ἵνα, ὡς τοιούτων ἐσομένων κτλ.] ἵνα καὶ φυλάττῃ ἕκαστος ἑαυτὸν ἰδίᾳ καὶ κατέχων τὰ ὀχυρὰ μέρη, ἂν εἶναι κατάλληλα, πειρᾶται νὰ στρατοπεδεύῃ εἰς αὐτά, φοβούμενος μὴ θὰ εἶναι ταῦτα τοιαῦτα.

§. 32. Σκοπεῖτε παῦλάν τινα αὐτῶν] σκέφθητε νὰ καταπαύσητε ὅπως οὖν αὐτά. — Κατακαίνωμεν] Α'. Θ'. 6.

§. 33. Ἥτις ἂν ὁρᾷ] = ἂν ὁρᾷ. Ἀσ. 768. §. 13. — Οὗ δὲ δὴ πάντων κτλ.] τίς δὲ ἤδη θὰ ἐπαινέσῃ ἡμᾶς τοιοῦτον ἔπαινον, οἷον ἐνομίζομεν ὅτι ἠθέλομεν τύχει παρὰ πάντων;

§. 34. Δοῦναι δίκην] Γ. Σ. ς'. — Εἰς δίκας καταστῆσαι] νὰ τοὺς ἐνάξωσιν εἰς δίκην.

§. 35. Καθαρμός] ἁγιασμός, θὰ ἐλέγομεν ἡμεῖς. Δι' εὐχῆς ἡγίαζον ὕδωρ, δι' οὗ ἔπλυνον τὰς χεῖρας καὶ τὰ ἑαυτῶν ἐρράντιζον.

1 ή. Ἔδοξε δὲ καὶ τοὺς στρατηγοὺς δίκην ὑποσχεῖν
τοῦ παρεληλυθότος χρόνου. καὶ διδόντων, Φιλήσιος
μὲν ὤφλε καὶ Ξανθικλῆς τῆς φυλακῆς τῶν γαυλικῶν
χρημάτων τὸ μείωμα εἴκοσι μνᾶς, Σοφαίνετος δέ, ὅτι,
ἄρχων αἱρεθείς, κατημέλει, δέκα μνᾶς. Ξενοφῶντος
δὲ κατηγόρησάν τινες φάσκοντες παίεσθαι ὑπ' αὐτοῦ
2 καὶ ὡς ὑβρίζοντος τὴν κατηγορίαν ἐποιοῦντο. καὶ ὁ
Ξενοφῶν ἀναστὰς ἐκέλευσεν εἰπεῖν τὸν πρῶτον λέ-
ξαντα, ποῦ καὶ ἐπλήγη. ὁ δὲ ἀποκρίνεται, Ὅπου καὶ
3 ῥίγει ἀπωλλύμεθα καὶ χιὼν πλείστη ἦν. ὁ δὲ εἶπεν,
Ἀλλὰ μὴν χειμῶνός γε ὄντος, οἷον λέγεις, σίτου δὲ
ἐπιλελοιπότος, οἴνου δὲ μηδ' ὀσφραίνεσθαι παρόν,
ὑπὸ δὲ πόνων πολλῶν ἀπαγορευόντων, πολεμίων δὲ
ἑπομένων, εἰ ἐν τοιούτῳ καιρῷ ὕβριζον, ὁμολογῶ καὶ
τῶν ὄνων ὑβριστότερος εἶναι, οἷς φασιν ὑπὸ τῆς ὑ-
4 βρεως κόπον οὐκ ἐγγίγνεσθαι. ὅμως δὲ καὶ λέξον, ἔφη,
ἐκ τίνος ἐπλήγης, πότερον ἤτουν σέ τι καί, ἐπεί μοι οὐκ
ἐδίδους, ἔπαιον; ἀλλ' ἀπῄτουν; ἀλλὰ περὶ παιδικῶν

Κεφ. ή. § 1. *Δίκην ὑποσχεῖν*] νὰ θεωρηθῶσιν ἢ κηρυχθῶσιν ὑπόδικοι. *Ἐνίοτε ὅμως ὑπέχω δίκην* = καταδικάζομαι. Ἴδε Ε'. ή. 18. — *Ὤφλε εἴκοσι μνᾶς*] κατεδικάσθη εἰς εἴκοσι μνᾶς. — *Τῆς φυλακῆς τῶν γαυλικῶν χρημάτων τὸ μείωμα*] τὸ ἔλλειμμα τῶν ἐν τοῖς πλοίοις εὑρεθέντων χρημάτων, ὧν τὴν φυλακὴν ἦτο ἐπιτετραμμένος. Ἴδε Ε'. ά. 16. *Γαῦλος* = πλοῖον φορτηγόν, κοῖλον. — *Κατημέλει*] δὲν ἐτέβαλλε τὴν προσήκουσαν ἐπιμέλειαν· διὸ καὶ ὑπεξαιρέθησαν οὐκ ὀλίγα τῶν γαυλικῶν χρημάτων. — *Ὡς ὑβρίζοντος*] ὡς ἀλαζόνος καὶ μηδόλως κηδομένου τῆς τιμῆς καὶ ὑπολήψεως τῶν ἄλλων, Θρασέως. Ἴδε Ε'. ή. 19. — *Ποῦ καὶ ἐπλήγη*] ποῦ τοὐλάχιστον ἐδάρη. *Ἀσ.* 666. 27.

§. 3. *Οἴνου δὲ μηδ' ὀσφραίνεσθαι παρὸν*] καὶ μυρουδιὰ οἴνου ν' ἀκούσῃ τις δὲν ἦτο εὔκολον. *Παρόν* μετοχὴ τοῦ ἀπροσώπου *πάρεστιν* = εἶναι εὔκολον· διὸ καὶ κατ' αἰτιατικὴν, ἀπολύτως, ἐτέθη. — *Ἀπαγορευόντων*] *Α'. ε.* 3. — *Ὕβριζον*] Θρασέως ἐφερόμην. Πεισμόνως ἐπέμενον νὰ περιφρονῶ τινα. — *Καὶ τῶν ὄνων ὑβριστότερος*] περισσότερον καὶ τῶν ὄνων πείσμων ἤμην. Εἶναι δὲ γνωστὸν ὅτι οἱ ὄνοι ὅ τι καὶ ἂν πάθωσιν, οὐ παύονται ἐμμένοντες ἐν τῇ αὐθαιρεσίᾳ των, ὅταν τοῖς ἐπέλθῃ νὰ διακόψωσι τὴν πορείαν των ἢ νὰ ἐκπληρώσωσι σαρκικὰς ἐπιθυμίας.

§. 4. *Ἤτουν... ἀπῄτουν*] τὸ πρῶτον περὶ πραγμάτων μὴ ἀνηκόντων εἰς ἡμᾶς, τὸ δεύτερον περὶ πραγμάτων, τὰ ὁποῖα μᾶς ὀφείλονται ὅπως δήποτε.

μαχόμενος; ἀλλὰ μεθύων ἐπαρώνησα; ἐπεὶ δὲ τούτων οὐ- 5
δὲν ἔφησεν, ἐπήρετο αὐτόν, εἰ ὁπλιτεύοι. — Οὐκ ἔφη. —
πάλιν, εἰ πελτάζοι. — οὐδὲ τοῦτ' ἔφη, ἀλλ' ἡμίονον ἐλαύ-
νειν ταχθεὶς ὑπὸ τῶν συσκήνων, ἐλεύθερος ὤν. ἐνταῦ- 6
θα δὴ ἀναγιγνώσκει αὐτὸν καὶ ἤρετο, Ἦ σὺ εἶ ὁ τὸν
κάμνοντα ἀγαγών; — Ναὶ μὰ Δί, ἔφη· σὺ γὰρ ἠνάγκαζες
τὰ δὲ τῶν ἐμῶν συσκήνων σκεύη διέρριψας. — Ἀλλ' ἦ 7
μὲν διάρριψις, ἔφη ὁ Ξενοφῶν, τοιαύτη τις ἐγένετο·
διέδωκα ἄλλα ἄλλοις ἄγειν καὶ ἐκέλευσα πρὸς ἐμὲ ἀπα-
γαγεῖν. καί, ἀπολαβὼν ἅπαντα σᾶ, ἀπέδωκά σοι, ἐπεὶ καὶ
σὺ ἐμοὶ ἀπέδειξας τὸν ἄνδρα. οἷον δὲ τὸ πρᾶγμα ἐγέ-
νετο, ἀκούσατε, ἔφη· καὶ γὰρ ἄξιον· ἀνὴρ κατελείπετο 8
διὰ τὸ μηκέτι δύνασθαι πορεύεσθαι. καὶ ἐγὼ τὸν μὲν
ἄνδρα τοσοῦτον ἐγίγνωσκον, ὅτι εἷς ἡμῶν εἴη· ἠνάγ-
κασα δὲ σὲ τοῦτον ἄγειν, ὡς μὴ ἀπόλοιτο· καὶ γάρ,
ὡς ἐγὼ οἶμαι, πολέμιοι ἡμῖν ἐφείποντο. — συνέφη τοῦτο
ὁ ἄνθρωπος. — Οὐκοῦν, ἔφη ὁ Ξενοφῶν, ἐπεὶ προὔ- 9
πεμψά σε, καταλαμβάνω αὖθις σὺν τοῖς ὀπισθοφύλαξι
προσιὼν βόθρον ὀρύττοντα ὡς κατορύξοντα τὸν ἄν-
θρωπον, καὶ ἐπιστὰς ἐπήνουν σε· ἐπεὶ δέ, παρεστηκό- 10
των ἡμῶν, συνέκαμψε τὸ σκέλος ἀνήρ, ἀνέκραγον
οἱ παρόντες ὅτι ζῇ ἀνήρ, σὺ δ' εἶπας, Ὁπόσα γε βού-
λεται, ὡς ἔγωγε αὐτὸν οὐκ ἄξω; ἐνταῦθα ἔπαισά σε·
ἀληθῆ λέγεις· ἔδοξας γάρ μοι εἰδότι ἐοικέναι ὅτι ἔζη. —
Τί οὖν; ἔφη, ἧττόν τι ἀπέθανεν, ἐπεὶ ἐγώ σοι ἀπέδειξα 11
αὐτόν; — Καὶ γὰρ ἡμεῖς, ἔφη ὁ Ξενοφῶν, πάντες ἀπο-

§. 5. *Ὁπλιτεύοι — πελτάζοι*] εἶναι ὁπλίτης... εἶναι πελταστής.

§. 6. *Ἦ σὺ εἶ;*] ἀληθῶς σὺ εἶσαι; τὸ ἦ ἐπὶ ἀπροσδοκήτων, ἀλλ' ἤδη ὁμολογουμένων πραγμάτων, ὑποδεικνύει τὴν εὐχαρίστησιν τοῦ ἐρωτῶντος. *Ἀσ.* 779. 11.

§. 7. *Διέδωκα*] διεμοίρασα. — *Καὶ γαρ ἄξιον*] ἀκούειν.

§. 8. *Οὐκοῦν... καταλαμβάνω*] δὲν εἶναι ἀληθὲς ὅτι σὲ κατέλαβον.

§. 10. *Ἀνέκραγον οἱ παρόντες*] ἐννοεῖται πάλιν τὸ οὐκοῦν. — *Ὁπόσα γε βούλεται*] ἂς κάμῃ ὅ τι θέλει, ἐγὼ δὲν ἔχω σκοπὸν νὰ τὸν κουβαλῶ, θὰ ἔλεγεν ἡ κοινή.

§. 11. *Ἧττόν τι ἀπέθανεν;*] = οὐδὲν ἧττον, ἀφοῦ σοὶ ἐπαρουσίασα τὸν ἄνδρα, ἀπέθανεν. Φαίνεται ὅτι ὁ Ξενοφῶν, ὅτε εἶδε τὸν ἄνδρα ζῶντα κατορυττόμενον, διέταξε τὸν στρατιώτην νὰ τὸν λάβῃ ὑπὸ τὴν ἰδίαν αὐτοῦ

θανούμεθα. τούτου οὖν ἕνεκα ζῶντας ἡμᾶς δεῖ κατο-
12 ρυχθῆναι; τοῦτον μὲν ἀνέκραγον ὡς ὀλίγας παίσειεν· ἄλλους δ' ἐκέλευε λέγειν, διὰ τί ἕκαστος ἐπλήγη. ἐπεὶ
13 δὲ οὐκ ἀνίσταντο, αὐτὸς ἔλεγεν, Ἐγώ, ὦ ἄνδρες, ὁ-μολογῶ παῖσαι δὴ ἄνδρας ἕνεκεν ἀταξίας, ὅσοις σώ-ζεσθαι μὲν ἦρκει δι' ἡμᾶς, ἐν τάξει τε ἰόντων καὶ μαχομένων ὅπου δέοι, αὐτοὶ δὲ λιπόντες τὰς τάξεις προθέοντες ἁρπάζειν ἤθελον καὶ ἡμῶν πλεονεκτεῖν. εἰ δὲ τοῦτο πάντες ἐποιοῦμεν, ἅπαντες ἂν ἀπωλόμεθα.
14 ἤδη δὲ καὶ μαλακιζόμενόν τινα καὶ οὐκ ἐθέλοντα ἀνί-στασθαι, ἀλλὰ προϊέμενον αὑτὸν τοῖς πολεμίοις καὶ ἔπαισα καὶ ἐβιασάμην πορεύεσθαι· ἐν γὰρ τῷ ἰσχυρῷ χειμῶνι καὶ αὐτός ποτε, ἀναμένων τινὰς συσκευαζο-μένους καθεζόμενος συχνὸν χρόνον, κατέμαθον ἀνα-
15 στὰς μόλις καὶ τὰ σκέλη ἐκτείνας. ἐν ἐμαυτῷ οὖν πεῖ-ραν λαβών, ἐκ τούτου καὶ ἄλλον, ὁπότε ἴδοιμι καθήμε-νον καὶ βλακεύοντα, ἠλαυνον· τὸ γὰρ κινεῖσθαι καὶ ἀνδρίζεσθαι παρεῖχε θερμασίαν τινὰ καὶ ὑγρότητα, τὸ δὲ καθῆσθαι καὶ ἡσυχίαν ἔχειν ἑώρων ὑπουργὸν ὂν τῷ τε ἀποπήγνυσθαι τὸ αἷμα καὶ τῷ ἀποσήπεσθαι τοὺς τῶν ποδῶν δακτύλους, ἅπερ πολλοὺς καὶ ὑμεῖς
16 ἴστε παθόντας. ἄλλον δέ γε ἴσως ἀπολειπόμενόν που διὰ ῥᾳστώνην καὶ κωλύοντα καὶ ὑμᾶς τοὺς πρόσθεν καὶ ἡμᾶς τοὺς ὄπισθεν πορεύεσθαι ἔπαισα πύξ, ὅπως
17 μὴ λόγχῃ ὑπὸ τῶν πολεμίων παίοιτο. καὶ γὰρ οὖν νῦν ἔξεστιν αὐτοῖς, σωθεῖσιν, εἴ τι ὑπ' ἐμοῦ ἔπαθον

ἐπιμέλειαν· μετὰ τοῦτο δὲ ὁ ἀνὴρ ἀπέθανε. — Καὶ γὰρ ἡμεῖς] καὶ ἡμεῖς βέβαια ἦ ὄντως. Α'. Θ'. 17.

§. 13. Ἐν τάξει τε ἰόντων καὶ μαχομένων] ἡμῶν, ἀντὶ ἐν τάξει ἰόντος καὶ μαχομένους.

§. 14. Μαλακιζόμενον] ἀνοήτως φερόμενον, μὴ ἐννοοῦντα ὅτι ἡ παροῦσα κόπωσις εἶναι διαβατική, ὡς δῆλον ἐκ τῶν ἑπομέ-νων, §. 15, ἔνθα τὸν νῦν μαλα-κιζόμενον λέγει βλακεύοντα, περὶ οὗ ἴδε Β'. γ'. 11. — Ἀνδρίζε-σθαι] γενναίως φέρεσθαι. — Θερ-μασίαν τινὰ καὶ ὑγρότητα] πολ-λὴν θερμασίαν τοῦ αἵματος καὶ ὑγρότητα (ἐνκαμψίαν) τῶν μελῶν τοῦ σώματος.

§. 17. Δίκην λαβεῖν] παρ' ἐμοῦ = ἵνα ζητήσωσι τὴν καταδίκην μου ἣ ἱκανοποίησιν παρ' ἐμοῦ. — Τί μέγα ἂν οὕτως κτλ.] ὅ τι μέγα κακὸν καὶ ἂν ἔπασχον, δὲν θὰ εἶχον τὴν ἀξίωσιν νὰ

παρὰ τὸ δίκαιον, δίκην λαβεῖν. εἰ δ' ἐπὶ τοῖς πολε-μίοις ἐγένοντο, τί μέγα ἂν οὕτως ἔπαθον, ὅτου δίκην
ἂν ἠξίουν λαμβάνειν; ἁπλοῦς μοι, ἔφη, ὁ λόγος· 18
εἰ μὲν ἐπ' ἀγαθῷ ἐκόλασά τινα, ἀξιῶ ὑπέχειν δί-κην, οἷαν καὶ γονεῖς υἱοῖς καὶ διδάσκαλοι παισί· καὶ γὰρ οἱ ἰατροὶ κάουσι καὶ τέμνουσιν ἐπ' ἀγαθῷ· εἰ δὲ 19
ὕβρει νομίζετέ με ταῦτα πράττειν, ἐνθυμήθητε, ὅτι νῦν ἐγὼ θαρρῶ σὺν τοῖς θεοῖς μᾶλλον ἢ τότε καὶ θρασύτερός εἰμι νῦν ἢ τότε καὶ οἶνον πλείω πίνω, ἀλλ' ὅμως οὐδένα παίω· ἐν εὐδίᾳ γὰρ ὁρῶ ὑμᾶς· ὅταν δὲ 20
χειμὼν ᾖ καὶ θάλαττα μεγάλη ἐπιφέρηται, οὐχ ὁρᾶτε ὅτι καὶ νεύματος μόνου ἕνεκα χαλεπαίνει μὲν πρῳ-ρεὺς τοῖς ἐν πρῴρᾳ, χαλεπαίνει δὲ κυβερνήτης τοῖς ἐν πρύμνῃ; ἱκανὰ γὰρ ἐν τῷ τοιούτῳ καὶ μικρὰ ἁμαρτη-θέντα πάντα συνεπιτρῖψαι. ὅτι δὲ δικαίως ἔπαιον 21
αὐτούς, καὶ ὑμεῖς κατεδικάσατε· ἔχοντες ξίφη, οὐ ψήφους, παρέστητε, καὶ ἐξῆν ὑμῖν ἐπικουρεῖν αὐτοῖς, εἰ ἐβούλεσθε· ἀλλὰ μὰ Δία οὔτε τούτοις ἐπεκουρεῖτε οὔτε σὺν ἐμοὶ τὸν ἀτακτοῦντα ἐπαίετε. τοιγαροῦν 22
ἐξουσίαν ἐποιήσατε τοῖς κακοῖς αὐτῶν ὑβρίζειν ἐῶν-τες αὐτούς. οἶμαι γάρ, εἰ ἐθέλετε σκοπεῖν, τοὺς αὐ-τοὺς εὑρήσετε καὶ τότε κακίστους καὶ νῦν ὑβριστο-τάτους. Βοϊσκος γοῦν ὁ πύκτης ὁ Θετταλὸς τότε μὲν 23
διεμάχετο, ὡς κάμνων, ἀσπίδα μὴ φέρειν, νῦν δ' ὡς ἀκούω, Κοτυωριτῶν πολλοὺς ἤδη ἀποδέδυκεν. ἢν 24
οὖν σωφρονῆτε, τοῦτον τἀναντία ποιήσετε ἢ τοὺς κύνας ποιοῦσι· τοὺς μὲν γὰρ κύνας τοὺς χαλεποὺς τὰς μὲν ἡμέρας διδέασι, τὰς δὲ νύκτας ἀφιᾶσι· τοῦτον δέ, ἢν σωφρονῆτε, τὴν νύκτα μὲν δήσετε, τὴν δὲ ἡμέ-

ζητήσωσιν ἱκανοποίησιν.

§. 18. Ὑπέχειν δίκην] = ἔχω τὴν ἀξίωσιν νὰ ὑποστῶ ὁποίαν καὶ οἱ γονεῖς διὰ τὴν τιμωρίαν τῶν ἀτακτούντων παίδων ποινήν.

§. 19. Ὕβρει] ἀλαζονείᾳ, θρα-σύτητι. Ἴδε Ε'. ή. 8.

§. 20. Τοῖς ἐν πρῴρᾳ] τοῖς ἐν τῇ πρῴρᾳ τεταγμένοις ναύταις. — Συνεπιτρῖψαι] νὰ συντρίψωσι, νὰ καταστρέψωσι, νὰ ἐπιφέρωσι τὴν καταστροφὴν πάντων.

§. 21. Κατεδικάσατε] ἀρκούντως ἐδικάσατε ἢ ἀπεφάνθητε.

§. 23. Διεμάχετο μὴ φέρειν] πάσῃ δυνάμει ἐπέμενε νὰ μὴ φέρῃ

ραν ἀφήσετε. ἀλλὰ γάρ, ἔφη, θαυμάζω ὅτι, εἰ μέν τινι ὑμῶν ἀπηχθόμην, μέμνησθε καὶ οὐ διωπᾶτε, εἰ δέ τῳ ἢ χειμῶνα ἐπεκούρησα ἢ πολέμιον ἀπήρυξα ἢ ἀσθενοῦντι ἢ ἀποροῦντι συνεξευπόρισά τι, τούτων οὐδείς μέμνηται· οὐδ' εἴ τινα καλῶς τι ποιοῦντα ἐπῄνεσα οὐδ' εἴ τιν' ἄνδρα ὄντα ἀγαθὸν ἐτίμησα ὡς ἐδυνάμην, οὐδὲ τούτων μέμνησθε. ἀλλὰ μὴν καλόν γε καὶ δίκαιον καὶ ὅσιον καὶ ἥδιον τῶν ἀγαθῶν μᾶλλον ἢ τῶν κακῶν μεμνῆσθαι.

Ἐκ τούτου μὲν δὴ ἀνίσταντο καὶ ἀνεμίμνησκον. καὶ περιεγένετο ὥστε καλῶς ἔχειν.

§. 25. Ἀποροῦντι συνεξεπόρισα] εἰργάσθην μετ' αὐτοῦ ἢ καὶ τῶν ἄλλων ὥστε ἀπὸ ἀπόρου νὰ γείνῃ εὔπορος, νὰ ἔχῃ ἀφειλῶς τὰ ἐλλείποντα.

§. 26. Περιεγένετο] προέκυψε Ἴδε Α'. ή. 13. — Καλῶς ἔχειν] νὰ λάβῃ καλὴν ἔκβασιν τὸ πρᾶγμα. Α'. ή. 13.

ΒΙΒΛΙΟΝ ΕΚΤΟΝ.

Ἐκ τούτου δὲ ἐν τῇ διατριβῇ οἱ μὲν ἀπὸ τῆς ἀγο- 1
ρᾶς ἔξων, οἱ δὲ καὶ ληζόμενοι ἐκ τῆς Παφλαγονίας. ἐκλώπευον δὲ καὶ οἱ Παφλαγόνες εὖ μάλα τοὺς ἀποσκεδαννυμένους, καὶ τῆς νυκτὸς τοὺς πρόσω σκηνοῦντας ἐπειρῶντο κακουργεῖν· καὶ πολεμικώτατα πρὸς ἀλλήλους εἶχον ἐκ τούτων. ὁ δὲ Κορύλας, ὃς 2
ἐτύγχανε τότε Παφλαγονίας ἄρχων, πέμπει παρὰ τοὺς Ἕλληνας πρέσβεις ἔχοντας ἵππους καὶ στολὰς καλάς, λέγοντας ὅτι Κορύλας ἕτοιμος εἴη τοὺς Ἕλληνας μήτε ἀδικεῖν μήτε ἀδικεῖσθαι. οἱ δὲ στρατηγοὶ ἀπεκρίναν- 3
το ὅτι περὶ μὲν τούτων σὺν τῇ στρατιᾷ βουλεύσοιντο, ἐπὶ ξενίᾳ δὲ ἐδέχοντο αὐτούς. παρεκάλεσαν δὲ καὶ τῶν ἄλλων ἀνδρῶν, οὓς ἐδόκουν δικαιοτάτους εἶναι. θύσαντες δὲ βοῦς τῶν αἰχμαλώτων καὶ ἄλλα 4
ἱερεῖα, εὐωχίαν μὲν ἀρκοῦσαν παρεῖχον, κατακείμενοι δὲ ἐν σκίμποσιν ἐδείπνουν, καὶ ἔπινον ἐκ κερατίνων ποτηρίων, οἷς ἐνετύγχανον ἐν τῇ χώρᾳ. ἐπεὶ δὲ σπον- 5
δαί τ' ἐγένοντο καὶ ἐπαιάνισαν, ἀνέστησαν πρῶτον μὲν Θρᾷκες καὶ πρὸς αὐλὸν ὠρχήσαντο σὺν τοῖς ὅπλοις

§. 1. Ἐν τῇ διατριβῇ] ἐνόσῳ διέτριβον (ἐν Κοτυώροις). — Ἀπὸ τῆς ἀγορᾶς] ἀγοράζοντες τὰ τρόφιμα. — Ἐκλώπευον] λῃστρικῶς ἐκάκοναν.

§. 3. Ἐπὶ ξενίᾳ] φιλοφρόνως. Κυρίως λέγεται ἐπὶ ξενίᾳ (τραπέζῃ) καλῶ τινα = φιλοφρονούμενος σύνδειπνον ποιοῦμαι.

Ζ'. στ'. 3 καὶ Β'. έ. 27. — Παρεκάλεσαν] προσεκάλεσαν (ἐπὶ ξενίᾳ).

§. 4. Σκίμποσιν] σκαμνίον ἢ κράββατος, ὅστις διπλούμενος ἐφέρετο εὐκόλως.

§. 5 Ἐπαιάνισαν] Α'. ή. 17. — Πρὸς αὐλὸν] κατὰ τὸν ρυθμὸν τοῦ αὐλοῦ. — Ὡς πᾶσιν ἐ-

καὶ ἤλλοντο ὑψηλά τε καὶ κούφως καὶ ταῖς μαχαίραις ἐχρῶντο· τέλος δὲ ὁ ἕτερος τὸν ἕτερον παίει, ὡς πᾶσιν 6 ἐδόκει πεπληγέναι τὸν ἄνδρα· ὁ δ' ἔπεσε τεχνικῶς πως. καὶ ἀνέκραγον οἱ Παφλαγόνες. καὶ ὁ μέν, σκυλεύσας τὰ ὅπλα τοῦ ἑτέρου, ἐξῄει ᾄδων τὸν Σιτάλκαν· ἄλλοι δὲ τῶν Θρᾳκῶν τὸν ἕτερον ἐξέφερον ὡς τεθνη- 7 κότα· ἦν δὲ οὐδὲν πεπονθώς. μετὰ τοῦτο Αἰνιᾶνες καὶ Μάγνητες ἀνέστησαν, οἳ ὠρχοῦντο τὴν καρπαίαν 8 καλουμένην ἐν τοῖς ὅπλοις. ὁ δὲ τρόπος τῆς ὀρχήσεως ἦν· ὁ μέν, παραθέμενος τὰ ὅπλα, σπείρει καὶ ζευγηλατεῖ πυκνὰ μεταστρεφόμενος ὡς φοβούμενος, λῃστὴς δὲ προσέρχεται· ὁ δ' ἐπειδὰν προΐδηται, ἅπαντᾷ ἁρπάσας τὰ ὅπλα καὶ μάχεται πρὸ τοῦ ζεύγους· καὶ οὗτοι ταῦτ' ἐποίουν ἐν ῥυθμῷ πρὸς τὸν αὐλόν· καὶ τέλος ὁ λῃστής, δήσας τὸν ἄνδρα, καὶ τὸ ζεῦγος ἀπάγει· ἐνίοτε δὲ καὶ ὁ ζευγηλάτης τὸν λῃστὴν· εἶτα, παρὰ τοὺς 9 βοῦς ζεύξας, ὀπίσω τὼ χεῖρε δεδεμένοιν ἐλαύνει. μετὰ τοῦτο Μυσὸς εἰσῆλθεν ἐν ἑκατέρᾳ τῇ χειρὶ ἔχων πέλτην, καὶ τοτὲ μὲν ὡς δύο ἀντιτατταμένων μιμούμενος ὠρχεῖτο, τοτὲ δὲ ὡς πρὸς ἕνα ἐχρῆτο ταῖς πέλταις, τοτὲ δ' ἐδινεῖτο καὶ ἐξεκυβίστα ἔχων τὰς πέλτας, ὥστε ὄ- 10 ψιν καλὴν φαίνεσθαι. τέλος δὲ τὸ περσικὸν ὠρχεῖτο

δόκει] οὕτως, ὥστε πάντες ἐνόμισαν.

§. 6. Σιτάλκαν] ἄσμα πρὸς τιμὴν τοῦ ἥρωος Σιτάλκα, βασιλέως τῶν Θρᾳκῶν, πεποιημένον. Δὲν μᾶς ψάλλεις τὸν Διάκον; λέγει ἡ κοινή.

§. 7. Αἰνιᾶνες καὶ Μάγνητες] οἱ μὲν τοῦ νοτιοδυτικοῦ, οἱ δὲ τοῦ νοτιοανατολικοῦ τῆς Θεσσαλίας κάτοικοι — Τὴν καρπαίαν] ἀγροτικὸν χορόν, ὃν ἐπεξηγεῖ ἐν τοῖς ἀμέσως ἐπιφερομένοις.

§. 8. Ἐπειδὰν προΐδηται] εὐθὺς ἅμα τὸν ἴδῃ μακρόθεν ἐρχόμενον. Προορῶμαι = προσέχω νὰ ἴδω πρὶν γείνῃ. — Ἐν ῥυθμῷ πρὸς τὸν αὐλόν] ἐν ῥυθμῷ κατὰ τὸν ἦχον τοῦ αὐλοῦ.

§. 9. Ὡς δύο ἀντιτατταμένων μιμούμενος] μιμούμενος κινήσεις δύο, ὡς ἂν ἦσαν κατ' αὐτοῦ δύο ἀντιτεταγμένοι. — Ὡς πρὸς ἕνα] ὡς θὰ τὰς μετεχειρίζετο καθ' ἑνός. Ἐννοεῖ δὲ ὅτι τὴν ἑτέραν μετεχειρίζετο ὡς πέλτην πολεμίου ἀντιτεταγμένου. — Ἐδινεῖτο] ἐστρεφογύριζε. — Ἐξεκυβίστα] ὠρχεῖτο μεταχειριζόμενος τὰς χεῖρας ὡς πόδας, τὴν κεφαλὴν κάτω καὶ τοὺς πόδας ἄνω ἔχων.

§. 10. Ὤκλαζε] ἐκάθητο ἀνακούρκουδα, ὡς κύων, ἔκαμπτε τὰ γόνατα.

κρούων τὰς πέλτας, καὶ ὤκλαζε καὶ ἐξανίστατο· καὶ ταῦτα πάντα ἐν ῥυθμῷ ἐποίει πρὸς τὸν αὐλόν. ἐπὶ 11 δὲ τούτῳ, ἐπιόντες οἱ Μαντινεῖς καὶ ἄλλοι τινὲς τῶν Ἀρκάδων ἀναστάντες, ἐξοπλισάμενοι ὡς ἐδύναντο κάλλιστα, ᾖσάν τε ἐν ῥυθμῷ, πρὸς τὸν ἐνόπλιον ῥυθμὸν αὐλούμενοι, καὶ ἐπαιάνισαν καὶ ὠρχήσαντο, ὥσπερ ἐν ταῖς πρὸς τοὺς θεοὺς προσόδοις. ὁρῶντες δὲ οἱ Παφλαγόνες δεινὰ ἐποιοῦντο πάσας τὰς ὀρχήσεις ἐν ὅπλοις εἶναι. ἐπὶ τούτοις ὁρῶν ὁ Μυσὸς ἐκπεπληγμέ- 12 νους αὐτούς, πείσας τῶν Ἀρκάδων τινὰ πεπαμένον ὀρχηστρίδα, εἰσάγει σκευάσας ὡς ἐδύνατο κάλλιστα καὶ ἀσπίδα δοὺς κούφην αὐτῇ. ἡ δὲ ὠρχήσατο πυρρίχην ἐλαφρῶς. ἐνταῦθα κρότος ἦν πολύς· καὶ οἱ 13 Παφλαγόνες ἤροντο, εἰ καὶ γυναῖκες συνεμάχοντο αὐτοῖς· οἱ δ' ἔλεγον, ὅτι αὗται καὶ αἱ τρεψάμεναι εἶεν βασιλέα ἐκ τοῦ στρατοπέδου. τῇ μὲν οὖν νυκτὶ ταύτῃ τοῦτο τὸ τέλος ἐγένετο.

Τῇ δὲ ὑστεραίᾳ προσῆγον αὐτοὺς εἰς τὸ στράτευ- 14 μα· καὶ ἔδοξε τοῖς στρατιώταις μήτε ἀδικεῖν Παφλαγόνας μήτε ἀδικεῖσθαι. μετὰ τοῦτο οἱ μὲν πρέσβεις ᾤχοντο· οἱ δὲ Ἕλληνες, ἐπειδὴ πλοῖα ἱκανὰ ἐδόκει παρεῖναι, ἀναβάντες ἔπλεον ἡμέραν καὶ νύκτα πνεύματι καλῷ, ἐν ἀριστερᾷ ἔχοντες τὴν Παφλαγονίαν. τῇ 15 δ' ἄλλῃ ἀφικνοῦνται εἰς Σινώπην καὶ ὡρμίσαντο εἰς Ἁρμήνην τῆς Σινώπης. Σινωπεῖς δὲ οἰκοῦσι μὲν ἐν τῇ Παφλαγονικῇ, Μιλησίων δὲ ἄποικοί εἰσιν. οὗτοι δὲ ξένια πέμπουσι τοῖς Ἕλλησιν ἀλφίτων μὲν μεδίμνους τρισχιλίους, οἴνου δὲ κεράμια χίλια καὶ πεν-

§. 11. Ἐνόπλιον ῥυθμὸν] ἐμμέλεια ἐλέγετο τοῦτο τὸ εἶδος τῆς ὀρχήσεως. — Ὥσπερ ἐν ταῖς προσόδοις] ὡς ὅτε προσήρχοντο εἰς τὸν ναὸν ἐν ταῖς πομπαῖς (λιτανείαις ἢ παρατάξεσιν). — Δεινὰ ἐποιοῦντο] ἐθαύμαζον διότι πᾶσαι αἱ ὀρχήσεις δι' ὅπλων ἐγίνοντο.

§. 12. Πεπαμένον] κεκτημένον.

§. 13. Εἰσάγει] αὐτήν. — Πυρρίχην] ἐνόπλιον χορόν. — Ἐλαφρῶς] μετὰ πολλῆς εὐκαμψίας. — Τρεψάμεναι βασιλέα] ὑπερβολή. Ἴδε Α'. ε. 3.

§. 15. Ἀλφίτων] ἀλεύρου ἐκ κριθῆς μάλιστα. — Μεδίμνους] Α'. ε. 6. — Κεράμια] σταμνας· ἕκαστον κεράμιον ὑπολογίζεται 26—28 ὀκάδας περιέχον.

16 τακόσια. καὶ Χειρίσοφος ἐνταῦθα ἦλθε τριήρη ἔχων. καὶ οἱ μὲν στρατιῶται προσεδόκων ἄγοντά τί σφισιν ἥκειν· ὁ δ' ἦγε μὲν οὐδέν, ἀπήγγελλε δὲ ὅτι ἐπαινοίη αὐτοὺς καὶ Ἀναξίβιος ὁ ναύαρχος καὶ οἱ ἄλλοι, καὶ ὅτι ὑπισχνεῖτο Ἀναξίβιος, εἰ ἀφικνοῖντο ἔξω τοῦ Πόντου,
17 μισθοφορὰν αὐτοῖς ἔσεσθαι. καὶ ἐν ταύτῃ τῇ Ἁρμήνῃ ἔμειναν οἱ στρατιῶται ἡμέρας πέντε. ὡς δὲ τῆς Ἑλλάδος ἐδόκουν ἐγγὺς γίγνεσθαι, ἤδη μᾶλλον ἢ πρόσθεν εἰσῄει αὐτούς, ὅπως ἂν καὶ ἔχοντές τι οἴκαδε ἀφί-
18 κωνται. ἠγήσαντο οὖν, εἰ ἕνα ἕλοιντο ἄρχοντα, μᾶλλον ἂν ἢ πολυαρχίας οὔσης δύνασθαι τὸν ἕνα χρῆσθαι τῷ στρατεύματι καὶ νυκτὸς καὶ ἡμέρας, καὶ εἴ τι δέοι λανθάνειν, μᾶλλον ἂν κρύπτεσθαι, καὶ εἴ τι αὖ δέοι φθάνειν, ἧττον ἂν ὑστερίζειν· οὐ γὰρ ἂν λόγων δεῖν πρὸς ἀλλήλους, ἀλλὰ τὸ δόξαν τῷ ἑνὶ περαίνεσθαι
19 ἂν· τὸν δ' ἔμπροσθεν χρόνον ἐκ τῆς νικώσης ἔπρατ-
20 τον πάντα οἱ στρατηγοί. ὡς δὲ ταῦτα διενοοῦντο, ἐτράποντο ἐπὶ τὸν Ξενοφῶντα· καὶ οἱ λοχαγοὶ ἔλεγον προσιόντες αὐτῷ, ὅτι ἡ στρατιὰ οὕτω γιγνώσκει καί, εὔνοιαν ἐνδεικνύμενος ἕκαστος, ἔπειθεν αὐτὸν ὑποστῆναι τὴν ἀρχήν. ὁ δὲ Ξενοφῶν πῇ μὲν ἐβούλετο ταῦτα, νομίζων καὶ τὴν τιμὴν μείζω οὕτως ἑαυτῷ γίγνεσθαι πρὸς τοὺς φίλους καὶ εἰς τὴν πόλιν τοὔνομα μεῖζον ἀφίξεσθαι αὐτοῦ, τυχὸν δὲ καὶ ἀγαθοῦ
21 τινος ἂν αἴτιος τῇ στρατιᾷ γενέσθαι. τὰ μὲν δὴ τοιαῦ-

§. 17. Ἐγγὺς γίγνεσθαι] πλησιάζειν. — Εἰσῄει αὐτούς] ἐπήρχετο εἰς αὐτοὺς ἡ ἰδέα.

§. 18. Λανθάνειν] λάθρα τῶν πολεμίων νὰ ἐπιχειρήσωσί τι. — Κρύπτεσθαι] κρύφα νὰ ἐνεργῶσι. — Φθάνειν] ἰόντες = πρὸ τῶν πολεμίων νὰ πορεύωνταί που. — Ὑστερίζειν ἧττον] σπανιώτερον ἢ πρότερον θὰ φθάνωσι μετὰ τοὺς πολεμίους. — Ἐκ τῆς νικώσης] γνώμης = ὅ τι ἡ πλειονοψηφία ἀπεφάσιζε. ΣΤ'. β'. 12.

§. 19. Ἐτράποντο] ἀπέκλιναν, ἔβαλαν εἰς τὸν νοῦν των. — Γινώσκει] ἔχει γνώμην Β'. γ'. 19. — Ἔπειθεν] προσεπάθει νὰ πείσῃ. Α'. γ'. 16. Ἐπιδεικνύς.

§. 20. Πῇ μὲν] Γ'. ά. 12. Ἀπόδοσις εἰς τὸ ὁπότε δ' αὖ ἐνθυμοῖτο. — Τὴν τιμὴν μείζω αὐτῷ γίγνεσθαι πρὸς τοὺς φίλους] θὰ γείνῃ τιμιώτερος πρὸς τοὺς φίλους του. Ἐννοεῖ δὲ τοὺς ἐν Ἑλλάδι φίλους του. ΣΤ'. γ'. 18. — Τυχὸν] ἴσως.

§. 21. Ἐπῆρεν] τὸν παρεκίνουν. — Αὐτοκράτορα ἄρχοντα] ἀπόλυτον ἄρχοντα = μόναρχον. ΣΤ'. ά. 31.

τα ἐνθυμήματα ἐπῆρεν αὐτὸν ἐπιθυμεῖν αὐτοκράτορα γενέσθαι ἄρχοντα. ὁπότε δ' αὖ ἐνθυμοῖτο ὅτι ἄδηλον μὲν παντὶ ἀνθρώπῳ ὅπῃ τὸ μέλλον ἔξει, διὰ τοῦτο δὲ καὶ κίνδυνος εἴη καὶ τὴν προειργασμένην δόξαν ἀποβαλεῖν, ἠπορεῖτο. ἀπορουμένῳ δὲ αὐτῷ διακρῖναι 22
ἔδοξε κράτιστον εἶναι τοῖς θεοῖς ἀνακοινῶσαι. καὶ παραστησάμενος δύο ἱερεῖα, ἐθύετο τῷ Διὶ τῷ βασιλεῖ, ὅσπερ αὐτῷ μαντευτὸς ἦν ἐκ Δελφῶν· καὶ τὸ ὄναρ δὴ ἀπὸ τούτου τοῦ θεοῦ ἐνόμιζεν ἑωρακέναι, ὃ εἶδεν, ὅτε ἤρχετο ἐπὶ τὸ συνεπιμελεῖσθαι τῆς στρατιᾶς καθίστασθαι· καὶ ὅτε ἐξ Ἐφέσου ὡρμᾶτο Κύρῳ συσταθη- 23
σόμενος, ἀετὸν ἀνεμιμνήσκετο ἑαυτῷ δεξιὸν φθεγγόμενον, καθήμενον μέντοι, ὅνπερ ὁ μάντις ὁ προπέμπων αὐτὸν ἔλεγεν ὅτι μέγας μὲν οἰωνὸς εἴη καὶ οὐκ ἰδιωτικὸς καὶ ἔνδοξος, ἐπίπονος μέντοι· τὰ γὰρ ὄρνεα μάλιστα ἐπιτίθεσθαι τῷ ἀετῷ καθημένῳ· οὐ μέντοι χρηματιστικὸν εἶναι τὸν οἰωνόν· τὸν γὰρ ἀετὸν πετόμενον μᾶλλον λαμβάνειν τὰ ἐπιτήδεια. θεῶν δὴ θυομένῳ 24
αὐτῷ διαφανῶς ὁ θεὸς σημαίνει μήτε προσδεῖσθαι τῆς ἀρχῆς μήτε, εἰ αἱροῖντο, ἀποδέχεσθαι. τοῦτο μὲν δὴ οὕτως ἐγένετο. ἡ δὲ στρατιὰ συνῆλθε, καὶ πάντες ἔ- 25
λεγον ἕνα αἱρεῖσθαι· καὶ ἐπεὶ τοῦτο ἔδοξε, προὐβάλλοντο αὐτόν. ἐπεὶ δὲ ἐδόκει δῆλον εἶναι ὅτι αἱρήσονται αὐτόν, εἴ τις ἐπιψηφίζοι, ἀνέστη καὶ ἔλεξε τάδε.

§. 22. Ἀνακοινῶσαι] Γ'. ά. 5. — Μαντευτὸς ἦν] Γ'. ά. 16. — Ὃ εἶδεν] Γ'. Α'. 2 κτλ. — Ὅτε ἤρχετο... καθίστασθαι] ὅτε ἤρχιζε νὰ βαλθῇ = ὅτε ἐπεχείρει μετὰ τῶν ἄλλων στρατηγῶν νὰ φροντίζῃ περὶ τοῦ στρατοῦ. Γ'. ά. 2.

§. 23. Ὡρμᾶτο συσταθησόμενος] ἀπήρχετο ἵνα συσταθῇ. Α'. γ'. 13. — Ἀνεμιμνήσκετο φθεγγόμενον... καθήμενον μέντοι] ἀνεμιμνήσκετο ὅτι ἐφθέγγετο μὲν... ἐκάθητο ὅμως. — Ὅνπερ ὁ μάντις ἔλεγεν ὅτι] ἔλεγε δὲ ὁ μάντις ὅτι οὗτος (ὁ ἀετός) εἶναι. — Πετόμενον λαμβάνειν τὰ ἐπιτήδεια] περιϊπτάμενος ζητεῖ τὰ τρόφιμα. Ἴδε ΣΤ'. β'. 11. πειρῶντο ἀγαθόν τι λαμβάνειν.

§. 24. Οὕτω δὴ θυομένῳ] Ἀλλ', ἵνα ἐπανέλθω ὅθεν παρεξετράπην, θυομένῳ οὕτως, (ὡς εἶπεν ἀνωτέρω, §. 22.)

§. 25. Προὐβάλλοντο] προέτεινον. — Ἐπιψηφίζοι] Σ'. ά. 14.

26 Ἐγώ, ὦ ἄνδρες, ἥδομαι μὲν ὑφ' ὑμῶν τιμώμενος, εἴπερ ἄνθρωπός εἰμι, καὶ χάριν ἔχω καὶ εὔχομαι δοῦναί μοι τοὺς θεοὺς αἴτιόν τινος ὑμῖν ἀγαθοῦ γενέσθαι· τὸ μέντοι ἐμὲ προκριθῆναι ὑφ' ὑμῶν ἄρχοντα, Λακεδαιμονίου ἀνδρὸς παρόντος, οὔτε ὑμῖν μοι δοκεῖ συμφέρον εἶναι—ἀλλ' ἧττον ἂν διὰ τοῦτο τυγχάνειν, εἴ τι δέοισθε παρ' αὐτῶν—ἐμοί τε αὖ οὐ πάνυ τι νο-
27 μίζω ἀσφαλὲς εἶναι τοῦτο· ὁρῶ γὰρ ὅτι καὶ τῇ πατρίδι μου οὐ πρόσθεν ἐπαύσαντο πολεμοῦντες, πρὶν ἐποίησαν πᾶσαν τὴν πόλιν ὁμολογεῖν Λακεδαιμονίους καὶ
28 αὐτῶν ἡγεμόνας εἶναι· ἐπεὶ δὲ τοῦτο ὡμολόγησαν, εὐθὺς ἐπαύσαντο πολεμοῦντες καὶ οὐκέτι πέρα ἐπολιόρκησαν τὴν πόλιν. εἰ οὖν ταῦτα ὁρῶν ἐγὼ δοκοίην, ὅπου δυναίμην, ἐνταῦθ' ἄκυρον ποιεῖν τὸ ἐκείνων ἀξίωμα, ἐκεῖνο ἐννοῶ, μὴ λίαν ἂν ταχὺ σωφρονισθείην.
29 ὃ δὲ ὑμεῖς ἐννοεῖτε, ὅτι ἧττον ἂν στάσις εἴη, ἑνὸς ἄρχοντος ἢ πολλῶν, εὖ ἴστε ὅτι, ἄλλον μὲν ἑλόμενοι, οὐχ εὑρήσετε ἐμὲ στασιάζοντα—νομίζω γάρ, ὅστις ἐν πολέμῳ ὢν στασιάζει πρὸς ἄρχοντα, τοῦτον πρὸς τὴν ἑαυτοῦ σωτηρίαν στασιάζειν—ἐὰν δὲ ἐμὲ ἕλησθε, οὐκ ἂν θαυμάσαιμι, εἴ τινα εὕροιτε καὶ ὑμῖν καὶ ἐμοὶ ἀχθόμενον.
30 Ἐπεὶ δὲ ταῦτα εἶπε, πολὺ πλείονες ἐξανίσταντο λέγοντες, ὡς δέοι αὐτὸν ἄρχειν. Ἀγασίας δὲ Στυμφάλιος εἶπεν ὅτι γελοῖον εἴη, εἰ οὕτως ἔχοι· ὡς ὀργιοῦνται

§. 26. Ἀλλ' ἧττον ἄν]= ἧττον γάρ. Παρενθετικῶς λέγεται τοῦτο. — Ἧττον] δυσκολώτερον. Γ'. β'. 19. — Αὖ] Β'. γ'. 27.

§. 28. Ταῦτα ὁρῶν] ταῦτα ἐννοῶν ἢ ἐνθυμούμενος. — Ἄκυρον ποιεῖν τὸ ἐκείνων ἀξίωμα] καταργῶ τὴν πρὸς τὸ ἡγεμονεύειν ἀξίωσιν αὐτῶν. — Ἐκεῖνο ἐννοῶ] μοὶ ἐπέρχεται εἰς τὸν νοῦν ἐκεῖνο, μὴ δηλαδὴ τιμωρηθῶ διὰ τὴν ἀφροσύνην μου. Ἡ δὲ σύνταξις τοῦ ὅλου εἶναι, Ταῦτα οὖν ὁρῶν, ἐκεῖνο ἐννοῶ, μὴ λίαν ἂν ταχὺ σωφρονισθείην, εἰ δοκοίην ἄκυρον ποιεῖν τὸ ἐκείνων ἀξίωμα ἐνταῦθα, ὅπου δυναίμην.

§. 29. Ἐννοεῖτε] Β'. δ'. 5. — Ἧττον ἂν στάσις εἴη] δυσκολώτερον ἠθέλετε στασιάζει. — Εἴ τινα εὕροιτε] ἐννοεῖ τὸν Δέξιππον καὶ ἄλλους. Ἴδε ΣΤ'. β'. 22.

§. 30. Ὡς ὀργιοῦνται] ὀργιοῦνται γάρ. Ἴδε καὶ 32. διότι δύνανται νὰ ὀργισθῶσιν οἱ Λακεδαιμόνιοι καὶ ἄν, εἰς συμπόσιον συνελθόντες τινές, ἐκλέξωσι συμποσίαρχον ἄνδρα μὴ Λακεδαιμόνιον. — Ὡς

Λακεδαιμόνιοι καὶ ἐάν, σύνδειπνοι συνελθόντες, μὴ Λακεδαιμόνιον συμποσίαρχον αἱρῶνται. ἐπεί, εἰ οὕτω γε τοῦτο ἔχει, ἔφη, οὐδὲ λοχαγεῖν ἡμῖν ἔξεστιν, ὡς ἔοικεν, ὅτι Ἀρκάδες ἐσμέν. ἐνταῦθα δή, ὡς εὖ εἰπόντος τοῦ Ἀγασίου, ἀνεθορύβησαν. καὶ ὁ Ξενοφῶν, ἐπεὶ 31
ἑώρα πλείονος ἐνδέον, παρελθὼν εἶπεν, Ἀλλ', ὦ ἄνδρες, ἔφη, ὡς πάνυ εἰδῆτε, ὀμνύω ὑμῖν θεοὺς πάντας καὶ πάσας, ἢ μὴν ἐγώ, ἐπεὶ τὴν ὑμετέραν γνώμην ᾐσθανόμην, ἐθυόμην εἰ βέλτιον εἴη ὑμῖν τε ἐμοὶ ἐπιτρέψαι ταύτην τὴν ἀρχὴν καὶ ἐμοὶ ὑποστῆναι· καί μοι οἱ θεοὶ οὕτως ἐν τοῖς ἱεροῖς ἐσήμηναν, ὥστε καὶ ἰδιώτην ἂν γνῶναι, ὅτι τῆς μοναρχίας ἀπέχεσθαί με δεῖ. οὕτω 32
δὴ Χειρίσοφον αἱροῦνται. Χειρίσοφος δ' ἐπεὶ ἠρέθη, παρελθὼν εἶπεν, Ἀλλ', ὦ ἄνδρες, τοῦτο μὲν ἴστε, ὅτι οὐδ' ἂν ἔγωγε ἐστασίαζον, εἰ ἄλλον εἵλεσθε· Ξενοφῶντα μέντοι, ἔφη, ὠνήσατε οὐχ ἑλόμενοι· ὡς καὶ νῦν Δέξιππος ἤδη διέβαλεν αὐτὸν πρὸς Ἀναξίβιον ὅτι ἐδύνατο, καὶ μάλα ἐμοῦ αὐτὸν σιγάζοντος· ὁ δ' ἔφη νομίζειν αὐτὸν Τιμασίωνι μᾶλλον συνάρχειν ἐθελῆσαι, Δαρδανεῖ ὄντι, τοῦ Κλεάρχου στρατεύματος ἢ ἑαυτῷ, Λάκωνι ὄντι. ἐπεὶ μέντοι ἐμὲ εἵλεσθε, ἔφη, 33
καὶ ἐγὼ πειράσομαι ὅ τι ἂν δύνωμαι ὑμᾶς ἀγαθὸν ποιεῖν. καὶ ὑμεῖς οὕτω παρασκευάζεσθε, ὡς αὔριον, ἐὰν πλοῦς ᾖ, ἀναξόμενοι· ὁ δὲ πλοῦς ἔσται εἰς Ἡράκλειαν. ἅπαντας οὖν δεῖ ἐκεῖσε πειρᾶσθαι κατασχεῖν· τὰ δ' ἄλλα, ἐπειδὰν ἐκεῖσε ἔλθωμεν, βουλευσόμεθα.

εὖ εἰπόντος] φρονοῦντες ὅτι ὀρθῶς ὡμίλησε. Α'. γ'. 6.

§. 31. Πλείονος ἐνδέον] ὅτι πλείονος λόγου ἔνδεια ἦν = ἦτο ἀνάγκη νὰ ἐξηγηθῇ πλατύτερον. — Ἢ μὴν] Β'. γ'. 26. — Ἰδιώτην] ἄπειρον τῆς μαντικῆς.

§. 32. Σιγάζοντος] εἰ καὶ ἐγὼ προσεπάθουν νὰ τὸν πείσω νὰ σιωπήσῃ. — Νομίζειν αὐτὸν κτλ.] ἐνόμιζεν ὅτι αὐτὸς (ὁ Ξενοφῶν) εἶχε προτιμήσει νὰ ἔχῃ συνάρχοντα μᾶλλον τὸν Τιμασίωνα, ὅστις ἦτο Δαρδανεύς, παρὰ ἑαυτὸν (τὸν Δέξιππον), ὅστις ἦτο Λάκων. Ἴδε Γ'. β'. 37, Γ'. ά. 47, Ε'. ά. 4· καὶ 15.

§. 33. Ἐὰν πλοῦς ᾖ] οὔριος ἄνεμος. Ε'. ζ'. 7. — Ἀναξόμενοι] ἵνα ἀναχθῆτε εἰς τὸ πέλαγος.

1 β'. Ἐντεῦθεν τῇ ὑστεραίᾳ ἀναγόμενοι πνεύματι ἔπλεον καλῷ ἡμέρας δύο παρὰ γῆν. καὶ παραπλέοντες ἐθεώρουν τήν τε Ἰασονίαν ἀκτήν, ἔνθα ἡ Ἀργὼ λέγεται ὁρμίσασθαι, καὶ τῶν ποταμῶν τὰ στόματα, πρῶτον μὲν τοῦ Θερμώδοντος, ἔπειτα δὲ τοῦ Ἴριος, ἔπειτα δὲ τοῦ Ἅλυος, μετὰ τοῦτον τοῦ Παρθενίου· τοῦτον δὲ παραπλεύσαντες ἀφίκοντο εἰς Ἡράκλειαν
2 πόλιν Ἑλληνίδα Μεγαρέων ἄποικον, οὖσαν δ' ἐν τῇ Μαριανδυνῶν χώρᾳ. καὶ ὡρμίσαντο παρὰ τῇ Ἀχερουσιάδι Χερρονήσῳ, ἔνθα λέγεται ὁ Ἡρακλῆς ἐπὶ τὸν Κέρβερον κύνα καταβῆναι, ἣ νῦν τὰ σημεῖα δει-
3 κνύασι τῆς καταβάσεως, τὸ βάθος πλέον ἢ ἐπὶ δύο στάδια. ἐνταῦθα τοῖς Ἕλλησιν οἱ Ἡρακλεῶται ξένια πέμπουσιν ἀλφίτων μεδίμνους τρισχιλίους καὶ οἶνον κεράμια δισχίλια καὶ βοῦς εἴκοσι καὶ οἷς ἑκατόν. ἐνταῦθα διὰ τοῦ πεδίου ῥεῖ ποταμὸς Λύκος ὄνομα, εὖ-
4 ρος ὡς δύο πλέθρων. Οἱ δὲ στρατιῶται, συλλεγέντες, ἐβουλεύοντο τὴν λοιπὴν πορείαν, πότερον κατὰ γῆν ἢ κατὰ θάλατταν χρὴ πορευθῆναι ἐκ τοῦ Πόντου. ἀναστὰς δὲ Λύκων Ἀχαιὸς εἶπε, Θαυμάζω μέν, ὦ ἄνδρες, τῶν στρατηγῶν, ὅτι οὐ πειρῶνται ἡμῖν ἐκπορίζειν σιτηρέσιον· τὰ μὲν γὰρ ξένια οὐ μὴ γένηται τῇ στρατιᾷ τριῶν ἡμερῶν σῖτα· ὁπόθεν δ' ἐπισιτισάμενοι πορευσόμεθα οὐκ ἔστιν, ἔφη. ἐμοὶ οὖν δοκεῖ αἰτεῖν τοὺς Ἡρακλεώτας

Κεφ. β'. §. 1. Ἰασονίαν ἀκτήν] κεῖται αὕτη μεταξὺ Κοτυώρων καὶ Σινώπης. — *Θερμώδοντος... Ἴριος... Ἅλυος... Παρθενίου]* Ε'. στ'. 9. — *Ἡράκλειαν]* τὴν νῦν Χαρακλὶ ἢ Παντηράκλειαν = Ποντηράκλειαν. — *Μαριανδυνῶν]* λέγονται οὗτοι Παφλαγονικῆς ἢ Βιθυνιακῆς καταγωγῆς.

§. 2. *Ἀχερουσιάδι Χερρονήσῳ]* ἄλλοι λέγουσιν ὅτι ἀπὸ τοῦ Ταινάρου κατέβη εἰς τὸν ᾅδην ὁ Ἡρακλῆς. Ἀπολλόδ. Β'. Ε'. 12. — *Ἐπὶ τὸν Κέρβερον]* ἵνα ἀναγάγῃ τὸν Κέρβερον. Ἴδε καὶ Β'. γ'. 23. — *Ἡ]* Ε'. ἐ. 20.

§. 3. *Λύκος]* σήμερον Κιλιγ-σοὺ. — *Ξένια... ἀλφίτων... μεδίμνους... κεράμια]* Ἴδε ἀνωτέρω, ΣΤ'. ά. 15.

§. 4. *Ἐκπορίζειν σιτηρέσιον]* = ἐπισιτίσασθαι, νὰ προμηθευθῶσι τροφάς. — *Οὐ μὴ γένηται]* ποτὲ δὲν θὰ ἐπαρκέσωσι. Περὶ τοῦ οὐ μὴ ἴδε Δ'. ή. 13. — *Ὁπόθεν δὲ κτλ.]* οὐδαμοῦ δὲ δυνάμεθα νὰ πορευθῶμεν λαβόντες τροφάς. Τὸ ὁπόθεν ἔλκεται ὑπὸ τοῦ ἐπισιτισάμενοι.

μὴ ἔλαττον ἢ τρισχιλίους κυζικηνούς — ἄλλος δ' εἶπε 5
μὴ ἔλαττον ἢ μυρίους — καὶ ἑλομένους πρέσβεις αὐτίκα μάλα, ἡμῶν καθημένων, πέμπειν πρὸς τὴν πόλιν, καὶ εἰδέναι ὅ τι ἂν ἀπαγγέλλωσι, καὶ πρὸς ταῦτα βουλεύεσθαι. ἐντεῦθεν προὐβάλλοντο πρέσβεις πρῶτον 6
μὲν Χειρίσοφον, ὅτι ἄρχων ᾑρητο· ἔστι δ' οἳ καὶ Ξενοφῶντα· οἱ δὲ ἰσχυρῶς ἀπεμάχοντο· ἀμφοῖν γὰρ ταὐτὰ ἐδόκει, μὴ ἀναγκάζειν πόλιν Ἑλληνίδα καὶ φιλίαν ὅ τι μὴ αὐτοὶ ἐθέλοντες διδοῖεν. ἐπεὶ δ' οὖν- 7
τοι ἐδόκουν ἀπρόθυμοι εἶναι, πέμπουσι Λύκωνα Ἀχαιὸν καὶ Καλλίμαχον Παρράσιον καὶ Ἀγασίαν Στυμφάλιον. οὗτοι ἐλθόντες ἔλεγον τὰ δεδογμένα· τὸν δὲ Λύκωνα ἔφασαν καὶ ἐπαπειλεῖν, εἰ μὴ ποιήσοιεν ταῦτα. ἀκούσαντες δ' οἱ Ἡρακλεῶται βουλεύσεσθαι 8
ἔφασαν· καὶ εὐθὺς τά τε χρήματα ἐκ τῶν ἀγρῶν συνῆγον καὶ τὴν ἀγορὰν εἴσω ἀνεσκεύασαν, καὶ αἱ πύλαι ἐκέκλειντο καὶ ἐπὶ τῶν τειχῶν ὅπλα ἐφαίνετο.

Ἐκ τούτου οἱ ταράξαντες ταῦτα τοὺς στρατηγοὺς 9
ᾐτιῶντο διαφθείρειν τὴν πρᾶξιν· καὶ συνίσταντο οἵ Ἀρκάδες καὶ οἱ Ἀχαιοί· προειστήκει δὲ μάλιστα αὐτῶν Καλλίμαχός τε ὁ Παρράσιος καὶ Λύκων ὁ Ἀχαιός. οἱ δὲ λόγοι ἦσαν αὐτοῖς, ὡς αἰσχρὸν εἴη ἄρχειν ἕνα 10
Ἀθηναῖον Πελοποννησίων καὶ Λακεδαιμονίων, μηδεμίαν δύναμιν παρεχόμενον εἰς τὴν στρατιάν, καὶ τοὺς μὲν πόνους σφᾶς ἔχειν, τὰ δὲ κέρδη ἄλλους, καὶ ταῦτα

§. 5. *Ἡμῶν καθημένων]* ἐν ᾧ ἡμεῖς θὰ πολιορκῶμεν αὐτούς.

§. 6. *Προὐβάλλοντο]* ἐπρότεινον (ἀλλὰ δὲν ἐχειροτόνησαν). — *Ἀπεμάχοντο]* ἀντέτεινον. — *Μὴ ἀναγκάζειν κτλ.]* = μὴ ἀναγκάζειν διδόναι εἰ μὴ ὅ τι αὐτοὶ ἐκόντες διδοῖεν. — *Οὗτοι]* Χειρίσοφος καὶ Ξενοφῶν.

§. 7. *Παρράσιον... Στυμφάλιον]* Α'. ά. 2, Γ'. ά. 31. — *Δεδογμένα]* ἃ ἔδοξε τῇ στρατιᾷ, τὰ ἀποφασισθέντα.

§. 8. *Χρήματα]* τὰ χρήσιμα. — *Τὴν ἀγορὰν εἴσω ἀνεσκευάσαν]* ἐκ τῶν ἀγρῶν ἐντὸς τῆς πόλεως μετήνεγκον. Ἴδε καὶ Δ'. ά. 8. *Κατεσκευασμέναι.*

§. 9. *Οἱ ταράξαντες ταῦτα]* οἱ ὑποκινήσαντες ταύτας τὰς ταραχάς. — *Συνίσταντο]* συνωμότουν. — *Προειστήκει]* ἐπὶ κεφαλῆς δὲ αὐτῶν ἦσαν = διηρέθιζον.

§. 10. *Οἱ δὲ λόγοι ἦσαν αὐτοῖς]* ἔλεγον δὲ κυρίως τοῦτο, ὅτι κτλ. — *Δύναμιν]* στρατιωτικήν. — *Σφᾶς]* αὐτοὶ (οἱ ὁμιλοῦντες καὶ οἱ συμπατριῶται αὐτῶν). Α'. ά.

τὴν σωτηρίαν σφῶν κατειργασμένων· εἶναι γὰρ τοὺς κατειργασμένους Ἀρκάδας καὶ Ἀχαιούς, τὸ δ' ἄλλο στράτευμα οὐδὲν εἶναι—καὶ ἦν δὲ τῇ ἀληθείᾳ ὑπὲρ
11 ἥμισυ τοῦ στρατεύματος Ἀρκάδες καὶ Ἀχαιοί—εἰ οὖν σωφρονοῖεν οὗτοι, συστάντες καὶ στρατηγοὺς ἑλόμενοι ἑαυτῶν, καθ' ἑαυτοὺς ἂν τὴν πορείαν ποιοῖν-
12 το καὶ πειρῷντο ἀγαθόν τι λαμβάνειν. ταῦτ' ἔδοξε· καὶ ἀπολιπόντες Χειρίσοφον, εἴ τινες ἦσαν παρ' αὐτῷ Ἀρκάδες ἢ Ἀχαιοί, καὶ Ξενοφῶντα, συνέστησαν καὶ στρατηγοὺς αἱροῦνται ἑαυτῶν δέκα· τούτους δὲ ἐψηφίσαντο ἐκ τῆς νικώσης, ὅ τι δοκοίη, τοῦτο ποιεῖν. ἡ μὲν οὖν τοῦ παντὸς ἀρχὴ Χειρισόφῳ ἐνταῦθα κατελύθη, ἡμέρᾳ ἕκτῃ ἢ ἑβδόμῃ, ἀφ' ἧς ἠρέθη.

13 Ξενοφῶν μέντοι ἐβούλετο κοινῇ μετ' αὐτῶν τὴν πορείαν ποιεῖσθαι, νομίζων οὕτως ἀσφαλέστερον εἶναι ἢ ἰδίᾳ ἕκαστον στέλλεσθαι· ἀλλὰ Νέων ἔπειθεν αὐτὸν καθ' αὑτὸν πορεύεσθαι, ἀκούσας τοῦ Χειρισόφου, ὅτι Κλέανδρος ὁ ἐν Βυζαντίῳ ἁρμοστὴς φαίη τριήρεις
14 ἔχων ἥξειν εἰς Κάλπης λιμένα. ὅπως οὖν μηδεὶς μετάσχοι, ἀλλ' αὐτοὶ καὶ οἱ αὐτῶν στρατιῶται ἐκπλεύσειαν ἐπὶ τῶν τριήρων, διὰ ταῦτα συνεβούλευε. καὶ Χειρίσοφος, ἅμα μὲν ἀθυμῶν τοῖς γεγενημένοις, ἅμα δὲ μισῶν ἐκ τούτου τὸ στράτευμα, ἐπιτρέπει αὐτῷ
15 ποιεῖν ὅ τι βούλεται. Ξενοφῶν δὲ ἔτι μὲν ἐπεχείρησεν ἀπαλλαγεὶς τῆς στρατιᾶς ἐκπλεῦσαι· θυομένῳ δὲ αὐτῷ τῷ ἡγεμόνι Ἡρακλεῖ καὶ κοινουμένῳ, πότερα λῷον καὶ ἄμεινον εἴη στρατεύεσθαι ἔχοντι τοὺς παρα-

7. οἱ δοθῆναι. — Καὶ ταῦτα] Α'. δ'. 12. — Εἶναι γὰρ τοὺς κατειργασμένους] ἔλεγον ὅτι εἶναι οἱ ἀποτελέσαντες τὴν σωτηρίαν.

§. 12. Συνέστησαν] συνεκεντρώθησαν. — Ἐκ τῆς νικώσης] ΣΤ'. ά. 18. — Ἡ τοῦ παντὸς ἀρχὴ] ἡ ἀρχιστρατηγία ἢ μοναρχία. — Χειρισόφῳ] δοτικὴ κτητικὴ μικρὸν διαφέρουσα τῆς γενικῆς κτητικῆς.

§. 13. Στέλλεσθαι] πορεύεσθαι. Ε'. στ'. 5. — Ἔπειθεν] ἐπεχείρει νὰ τὸν πείσῃ. — Ἀκούσας τοῦ Χειρισόφου] λέγοντος.— Κάλπης] Ἴδε ΣΤ'. 4. 3.

§. 15. Ἔτι μὲν ἐπεχείρησεν] χρόνον μέν τινα ἐπεχείρησε = ἐπί τινα μὲν χρόνον. — Ἀπαλλαγεὶς] ἀποχωρισθείς. Παθητικὸς ἀντὶ μέσου ἀορίστου.

μείναντας τῶν στρατιωτῶν ἢ ἀπαλλάττεσθαι, ἐσήμηνεν ὁ θεὸς τοῖς ἱεροῖς συστρατεύεσθαι. οὕτω γίγνε-16
ται τὸ στράτευμα τρίχα, Ἀρκάδες μὲν καὶ Ἀχαιοὶ πλείους ἢ τετρακισχίλιοι καὶ πεντακόσιοι, ὁπλῖται πάντες· Χειρισόφῳ δ' ὁπλῖται μὲν εἰς τετρακοσίους καὶ χιλίους, πελτασταὶ δὲ εἰς ἑπτακοσίους, οἱ Κλεάρχου Θρᾷκες· Ξενοφῶντι δὲ ὁπλῖται μὲν εἰς ἑπτακοσίους καὶ χιλίους, πελτασταὶ δὲ εἰς τριακοσίους· ἱππικὸν δὲ μόνος οὗτος εἶχεν, ἀμφὶ τετταράκοντα ἱππέας.

Καὶ οἱ μὲν Ἀρκάδες, διαπραξάμενοι πλοῖα παρὰ 17
τῶν Ἡρακλεωτῶν, πρῶτοι πλέουσιν, ὅπως, ἐξαίφνης ἐπιπεσόντες τοῖς Βιθυνοῖς, λάβοιεν ὅτι πλεῖστα· καὶ ἀποβαίνουσιν εἰς Κάλπης λιμένα κατὰ μέσον πως τῆς Θρᾴκης. Χειρίσοφος δ' εὐθὺς ἀπὸ τῆς πόλεως τῶν 18
Ἡρακλεωτῶν ἀρξάμενος, πεζῇ ἐπορεύετο διὰ τῆς χώρας· ἐπεὶ δὲ εἰς τὴν Θρᾴκην ἐνέβαλε, παρὰ τὴν θάλατταν ἦει· καὶ γὰρ ἤδη ἠσθένει. Ξενοφῶν δὲ πλοῖα 19
λαβὼν ἀποβαίνει ἐπὶ τὰ ὅρια τῆς Θρᾴκης καὶ τῆς Ἡρακλεώτιδος καὶ διὰ μεσογείας ἐπορεύετο.

γ'. Ἔπραξαν δ' αὐτῶν ἕκαστοι τάδε. οἱ μὲν Ἀρ- 2
κάδες, ὡς ἀπέβησαν νυκτὸς εἰς Κάλπης λιμένα, πορεύονται εἰς τὰς πρώτας κώμας, στάδια ἀπὸ θαλάττης ὡς τριάκοντα. ἐπεὶ δὲ φῶς ἐγένετο, ἦγεν ἕκαστος ὁ στρατηγὸς τὸν αὐτοῦ λόχον ἐπὶ κώμην· ὁποία δὲ μείζων ἐδόκει εἶναι, σύνδυο λόχους ἦγον οἱ στρατηγοί. συνεβάλοντο δὲ 3
καὶ λόφον, εἰς ὃν δέοι πάντας ἁλίζεσθαι· καί, ἅτε ἐξαίφνης

§. 16. Γίγνεται τρίχα] διαιρεῖται εἰς τρία. — Ὁπλῖται... πελτασταὶ] Α'. β'. 3. — Εἰς τετρακοσίους] Α'. ά. 10.

§. 17. Διαπραξάμενοι] διαπραγματευθέντες, ναυλώσαντες. Ἴδε καὶ Ζ'. δ'. 12.—Βιθυνοῖς... Κάλπης] ΣΤ'. δ'. 1 καὶ 3. — Θρᾴκης] τῆς Ἀσιατικῆς Θρᾴκης, ἥτις καὶ Θρᾳκικὴ Βιθυνία ἐκαλεῖτο. Ταύτης δὲ οἱ κάτοικοι ἦσαν τῆς αὐτῆς μὲ τοὺς ἐν Εὐρώπῃ Θρᾷκας καταγωγῆς καὶ τὴν αὐτὴν ἐλάλουν γλῶσσαν.

§. 19. Θρᾴκης καὶ Ἡρακλεώτιδος] ὁ Σαγγάριος διεχώριζε ταύτας. Ἴδε ΣΤ'. δ'. 1.

Κεφ. γ'. §. 2. Ὁποία δὲ μείζων ἐδόκει εἶναι] εἰς ἐκείνην δὲ, ἥτις ἐφαίνετο μεγαλειτέρα. — Συνεβάλοντο] ὥρισαν κατὰ προηγουμένην συμφωνίαν. — Ἁλίζεσθαι] Β'. δ'. 3. — Περιεβάλοντο] περιεκύκλωσαν.

ἐπιπεσόντες, ἀνδράποδά τε πολλὰ ἔλαβον καὶ πρόβατα πολλὰ περιεβάλοντο. οἱ δὲ Θρᾷκες ἠθροίζοντο, οἱ διαφυγόντες· πολλοὶ δὲ διέφυγον, πελτασταὶ ὄντες, ὁπλίτας ἐξ αὐτῶν τῶν χειρῶν· ἐπεὶ δὲ συνελέγησαν, πρῶτον μὲν τῷ Σμίκρητος λόχῳ ἑνὸς τῶν Ἀρκάδων στρατηγῶν, ἀπιόντι ἤδη εἰς τὸ συγκείμενον καὶ πολλὰ χρήματα ἄγοντι, ἐπιτίθενται. καὶ τέως μὲν ἐμάχοντο ἅμα πορευόμενοι οἱ Ἕλληνες· ἐπὶ δὲ διαβάσει χαράδρας τρέπονται αὐτούς, καὶ αὐτόν τε τὸν Σμίκρητα ἀποκτιννύασι καὶ τοὺς ἄλλους πάντας· ἄλλου δὲ λόχου τῶν δέκα στρατηγῶν, τοῦ Ἡγησάνδρου, ὀκτὼ μόνους ἔλιπον· καὶ αὐτὸς Ἡγήσανδρος ἐσώθη. καὶ οἱ ἄλλοι δὲ λοχαγοὶ συνῆλθον οἱ μὲν σὺν πράγμασιν, οἱ δὲ ἄνευ πραγμάτων· οἱ δὲ Θρᾷκες, ἐπεὶ ηὐτύχησαν τοῦτο τὸ εὐτύχημα, συνεβόων τε ἀλλήλους καὶ συνελέγοντο ἐρρωμένως τῆς νυκτός. καὶ ἅμα ἡμέρᾳ κύκλῳ περὶ τὸν λόφον, ἔνθα οἱ Ἕλληνες ἐστρατοπεδεύοντο, ἐτάττοντο καὶ ἱππεῖς πολλοὶ καὶ πελτασταί, καὶ ἀεὶ πλείονες συνέρρεον· καὶ προσέβαλλον πρὸς τοὺς ὁπλίτας ἀσφαλῶς· οἱ μὲν γὰρ Ἕλληνες οὔτε τοξότην εἶχον οὔτε ἀκοντιστὴν οὔτε ἱππέα· οἱ δέ, προσθέοντες καὶ προσελαύνοντες, ἠκόντιζον· ὁπότε δὲ αὐτοῖς ἐπίοιεν, ῥᾳδίως ἀπέφευγον· ἄλλοι δὲ ἄλλῃ ἐπετίθεντο. καὶ τῶν μὲν πολλοὶ ἐτιτρώσκοντο, τῶν δὲ οὐδείς. ὥστε κινηθῆναι οὐκ ἐδύναντο ἐκ τοῦ χωρίου, ἀλλὰ τελευτῶντες καὶ ἀπὸ τοῦ ὕδατος εἶργον αὐτοὺς οἱ Θρᾷκες. ἐπεὶ δὲ ἀπορία πολλὴ ἦν, διελέγοντο περὶ σπονδῶν· καὶ τὰ μὲν ἄλλα ὡμολόγητο αὐτοῖς· ὁμήρους δὲ οὐκ ἐδίδοσαν οἱ Θρᾷκες, αἰτούντων τῶν Ἑλλήνων, ἀλλ' ἐν τούτῳ ἴσχετο. τὰ μὲν δὴ τῶν Ἀρκάδων οὕτως εἶχε.

Χειρίσοφος δέ, ἀσφαλῶς πορευόμενος παρὰ Θάλατταν, ἀφικνεῖται εἰς Κάλπης λιμένα. Ξενοφῶντι δὲ διὰ τῆς μεσογείας πορευομένῳ οἱ ἱππεῖς προκαταθέοντες ἐντυγχάνουσι πρεσβύταις πορευομένοις ποι. καὶ ἐπεὶ ἤχθησαν παρὰ Ξενοφῶντα, ἐρωτᾷ αὐτούς, εἴ που ἤσθηνταί ἄλλου στρατεύματος ὄντος Ἑλληνικοῦ. οἱ δὲ ἔλεγον πάντα τὰ γεγενημένα, καὶ νῦν ὅτι πολιορκοῦνται ἐπὶ λόφου, οἱ δὲ Θρᾷκες πάντες περικεκυκλωμένοι εἶεν αὐτούς. ἐνταῦθα τοὺς μὲν ἀνθρώπους τούτους ἐφύλαττεν ἰσχυρῶς, ὅπως ἡγεμόνες εἶεν, ὅποι δέοι· σκοποὺς δὲ καταστήσας, συνέλεξε τοὺς στρατιώτας καὶ ἔλεξεν, Ἄνδρες στρατιῶται, τῶν Ἀρκάδων οἱ μὲν τεθνᾶσιν, οἱ δὲ λοιποὶ ἐπὶ λόφου τινὸς πολιορκοῦνται. νομίζω δ' ἔγωγε, εἰ ἐκεῖνοι ἀπολοῦνται, οὐδ' ἡμῖν εἶναι σωτηρίαν, οὕτω μὲν πολλῶν ὄντων πολεμίων, οὕτω δὲ τεθαρρηκότων. κράτιστον οὖν ἡμῖν ὡς τάχιστα βοηθεῖν τοῖς ἀνδράσιν, ὅπως, εἴ ἔτι εἰσὶ σῷ, σὺν ἐκείνοις μαχώμεθα καὶ μή, μόνοι λειφθέντες, μόνοι καὶ κινδυνεύωμεν. νῦν μὲν οὖν στρατοπεδευσώμεθα προελθόντες, ὅσον ἂν δοκῇ καιρὸς εἶναι, εἰς τὸ δειπνοποιεῖσθαι· ἕως δ' ἂν πορευώμεθα, Τιμασίων ἔχων τοὺς ἱππέας προελαυνέτω ἐφορῶν ἡμᾶς, καὶ σκοπείτω τὰ ἔμπροσθεν, ὡς μηδὲν ἡμᾶς λάθῃ. παρέπεμψε δὲ καὶ τῶν γυμνήτων ἀνθρώπους εὐζώνους εἰς τὰ πλάγια καὶ εἰς τὰ ἄκρα, ὅπως, εἴ που τί ποθεν καθορῷεν, σημαίνοιεν· ἐκέλευε δὲ κάειν ἅπαντα, ὅτῳ ἐντυγχάνοιεν καυσίμῳ· ἡμεῖς γὰρ ἀποδραίημεν ἂν οὐδαμοῖ ἐν-

§. 6. *Οἱ μὲν οὖν πράγμασιν, οἱ δὲ ἄνευ πραγμάτων*] ἄλλοι μὲν μετὰ πολλῆς δυσκολίας, ἄλλοι δ' εὐκόλως. *Δ'. ά.* 22. — *Συνεβόων*] μεγαλοφώνως προέτρεπον. — *Ἀσφαλῶς*] ἀκινδύνως.

§. 7. *Οἱ δὲ*] πολέμιοι (οἱ Θρᾷκες). — *Ὁπότε ἐπίοιεν*] ὁσάκις ἐπήρχοντο. *Γ. Σ. Γ'.*

§. 8. *Τῶν μὲν πολλοὶ... τῶν δὲ οὐδείς*] ἐκείνων μὲν (τῶν Ἑλλήνων), τούτων δὲ (τῶν Θρᾳκῶν).

§. 9. *Ἐν τούτῳ ἴσχετο*] ἐδῶ, εἰς τοῦτο τὸ σημεῖον ἐσταμάτησαν (αἱ διαπραγματεύσεις).

§. 11. *Πάντα τὰ γεγενημένα*] Ἴδε ἀνωτέρω, §. 4 ἕως 10. — *Ἰσχυρῶς*] *Α'. β'.* 21. — *Ἡγεμόνες*] *Β'. δ'.* 10. — *Σκοποὺς*] ἐπιτηρητάς, φύλακας, ἵνα ἐπιτηρῶσιν ἢ φυλάττωσι τοὺς πρεσβύτας.

§. 13. *Βοηθεῖν*] νὰ σπεύσωμεν εἰς βοήθειαν.

§. 14. *Ὅσον ἂν δοκῇ καιρὸς εἶναι*] προελθεῖν = ὅσον νομίσωμεν ὅτι μᾶς ἐπιτρέπει ὁ καιρὸς νὰ προέλθωμεν ἢ προχωρήσωμεν. — *Εἰς τὸ δειπνοποιεῖσθαι*] μέχρι τῆς ὥρας τοῦ δείπνου. *Ἀσ.* 601. 67. — *Ἐφορῶν ἡμᾶς*] οὕτως, ὥστε νὰ βλέπῃ ἡμᾶς καὶ βλεπώμεθα ὑπ' αὐτοῦ.

§. 15. *Γυμνήτων... εὐζώνους*] *Α'. β'.* 3. — *Εἴ που*] ἂν τυχόν.

§. 16. *Πολλὴ εἰς Ἡράκλειαν*

θένδε· πολλὴ μὲν γάρ, ἔφη, εἰς Ἡράκλειαν πάλιν ἀπιέναι, πολλὴ δὲ εἰς Χρυσόπολιν διελθεῖν· οἱ δὲ πολέμιοι πλησίον· εἰς Κάλπης δὲ λιμένα, ἔνθα Χειρίσοφον εἰκάζομεν εἶναι, εἰ σέσωται, ἐλαχίστη ὁδός. ἀλλὰ δὴ ἐκεῖ μὲν οὔτε πλοῖα ἔστιν, οἷς ἀποπλευσόμεθα, μένουσι δὲ αὐ-17 τοῦ οὐδὲ μιᾶς ἡμέρας ἔστι τὰ ἐπιτήδεια. τῶν δὲ πολιορκουμένων ἀπολομένων, σὺν τοῖς Χειρισόφου μόνοις κάκιόν ἐστι διακινδυνεύειν ἢ, τῶνδε σωθέντων, πάντας εἰς ταὐτὸν ἐλθόντας, κοινῇ τῆς σωτηρίας ἔχεσθαι. ἀλλὰ χρὴ παρασκευασαμένους τὴν γνώμην πορεύεσθαι, ὡς νῦν ἢ εὐκλεῶς τελευτῆσαι ἔστιν ἢ κάλλιστον 18 ἔργον ἐργάσασθαι Ἕλληνας τοσούτους σώσαντας. καὶ ὁ θεὸς ἴσως ἄγει οὕτως, ὃς τοὺς μεγαληγορήσαντας, ὡς πλέον φρονοῦντας, ταπεινῶσαι βούλεται, ἡμᾶς δὲ τοὺς ἀπὸ τῶν θεῶν ἀρχομένους ἐντιμοτέρους ἐκείνων καταστῆσαι. ἀλλ' ἕπεσθαι χρὴ καὶ προσέχειν τὸν νοῦν, ὡς ἂν τὸ παραγγελλόμενον δύνησθε ποιεῖν.

19 Ταῦτ' εἰπὼν ἡγεῖτο. οἱ δ' ἱππεῖς, σπειρόμενοι ἐφ' ὅσον καλῶς εἶχεν, ἔκαον, ἢ ἐβάδιζον, καὶ οἱ πελτασταί, ἐπιπαριόντες κατὰ τὰ ἄκρα, ἔκαον πάντα, ὅσα καύσιμα ἑώρων, καὶ ἡ στρατιὰ δέ, εἴ τινι παραλειπομένῳ ἐντυγχάνοιεν. ὥστε πᾶσα ἡ χώρα αἴθεσθαι 20 ἐδόκει καὶ τὸ στράτευμα πολὺ εἶναι. ἐπεὶ δὲ ὥρα ἦν, κατεστρατοπεδεύσαντο ἐπὶ λόφον, ἐκβάντες, καὶ τά τε τῶν πολεμίων πυρὰ ἑώρων—ἀπεῖχον δὲ ὡς τετταρά-

πάλιν ἰέναι] εἶναι πολὺς δρόμος νὰ ἐπιστρέψωμεν, λέγει ἡ κοινή. — Οὐδὲ μιᾶς ἡμέρας ἔστι τὰ ἐπιτήδεια] δὲν ἀρκοῦσιν οὐδὲ διὰ μίαν ἡμέραν.

§. 17. Τῶνδε σωθέντων] ἀφοῦ σωθῶσιν οὗτοι (οἱ Ἀρκάδες). — Εἰς ταὐτὸν ἐλθόντας] συσσωματωθέντες ἢ συγκεντρωθέντες πάντες. — Τῆς σωτηρίας ἔχεσθαι] νὰ ἐπιληφθῶμεν τῆς σωτηρίας, σπουδαίως ν' ἀσχοληθῶμεν. — Παρασκευασαμένους τὴν γνώμην] σταθερὸν ἔχοντες τὸ φρόνημα. — Ὡς νῦν] νῦν γὰρ· ΣΤ'. ά. 30.

§. 18. Μεγαληγορήσαντας] καυχηματίας. — Πλέον φρονοῦντας] περισσότερον τοῦ δέοντος ἐπηρμένους.

§. 19. Ἐφ' ὅσον καλῶς εἶχεν] ἐφ' ὅσον ἦτο καλὸν νὰ διασπαρῶσι. — ἦ] Ε'. έ. 20. — Καὶ ἡ στρατιὰ δὲ] προσέτι δὲ καὶ ἡ στρατιά. Α'. ά. 2.

§. 20. Ἐκβάντες] τῆς ὁδοῦ, παρεκκλίναντες ἐκ τῆς ὁδοῦ.

κοντα σταδίους—καὶ αὐτοὶ ὡς ἐδύναντο πλεῖστα πυρὰ ἔκαον. ἐπεὶ δὲ ἐδείπνησαν τάχιστα, παρηγγέλθη τὰ 21 πυρὰ κατασβεννύναι πάντα. καὶ τὴν μὲν νύκτα, φυλακὰς ποιησάμενοι, ἐκάθευδον· ἅμα δὲ τῇ ἡμέρᾳ προσευξάμενοι τοῖς θεοῖς, συνταξάμενοι ὡς εἰς μάχην, ἐπορεύοντο ᾗ ἐδύναντο τάχιστα. Τιμασίων δὲ καὶ 22 οἱ ἱππεῖς, ἔχοντες τοὺς ἡγεμόνας καὶ προελαύνοντες, ἐλάνθανον αὐτοὺς ἐπὶ τῷ λόφῳ γενόμενοι, ἔνθα ἐπολιορκοῦντο οἱ Ἕλληνες. καὶ οὐχ ὁρῶσιν οὔτε φίλιον στράτευμα οὔτε πολέμιον — καὶ ταῦτα ἀπαγγέλλουσι πρὸς τὸν Ξενοφῶντα καὶ τὸ στράτευμα — γρᾴδια δὲ καὶ γερόντια καὶ πρόβατα ὀλίγα καὶ βοῦς καταλελειμμένους. καὶ τὸ μὲν πρῶτον θαῦμα ἦν, τί εἴη τὸ γεγε- 23 νημένον, ἔπειτα δὲ καὶ τῶν καταλελειμμένων ἐπινθάνοντο, ὅτι οἱ μὲν Θρᾷκες εὐθὺς ἀφ' ἑσπέρας ᾤχοντο ἀπιόντες, ἔωθεν δὲ καὶ τοὺς Ἕλληνας ἔφασαν οἴχεσθαι· ὅποι δὲ οὐκ εἰδέναι.

Ταῦτα ἀκούσαντες οἱ ἀμφὶ Ξενοφῶντα, ἐπεὶ ἠρί- 24 στησαν, συσκευασάμενοι ἐπορεύοντο, βουλόμενοι ὡς τάχιστα συμμίξαι τοῖς ἄλλοις εἰς Κάλπης λιμένα. καὶ πορευόμενοι ἑώρων τὸν στίβον τῶν Ἀρκάδων καὶ Ἀχαιῶν κατὰ τὴν ἐπὶ Κάλπης ὁδόν. ἐπεὶ δὲ ἀφίκοντο εἰς τὸ αὐτό, ἄσμενοί τε εἶδον ἀλλήλους καὶ ἠσπάζοντο ὥσπερ ἀδελφούς. καὶ ἐπυνθάνοντο οἱ Ἀρκάδες τῶν 25 περὶ Ξενοφῶντα, τί τὰ πυρὰ κατασβέσειαν· ἡμεῖς μὲν γάρ, ἔφασαν, ᾤμεθα ὑμᾶς τὸ μὲν πρῶτον, ἐπειδὴ τὰ πυρὰ οὐχ ἑωρῶμεν, τῆς νυκτὸς ἥξειν ἐπὶ τοὺς πολε-

§. 21. Ἐπεὶ δὲ... τάχιστα] εὐθὺς δ' ἅμα. Γ'. ά. 8. — Ἡ ἐδύναντο] ὅσον ἠδύναντο.

§. 22. Ἐλάνθανον αὐτοὺς γενόμενοι] ἐν ἀγνοίᾳ ἑαυτῶν ἔφθασαν, χωρὶς νὰ τὸ ἐννοήσωσιν ἔφθασαν. Γ. Σ. Δ'.—Γρᾴδια δὲ] ὁρῶσιν.

§. 23. Θαῦμα ἦν τί εἴη τὸ γεγενημένον] ἠπόρουν οἱ περὶ τὸν Ξενοφῶντα τί συνέβη, πῶς δηλαδὴ δὲν εὑρέθη οὔτε φίλιον οὔτε ἐχθρικὸν στράτευμα, ὡς οἱ πρεσβῦται ἔλεγον. Ἴδε §. 11. — Ὅπου δὲ] οἴχοιντο, ποῦ δὲ ἔφυγον.

§. 24. Στίβον] τὰ ἴχνη, τὰ πατήματα. Στίβος δὲ καὶ ἡ πεπατημένη ὁδός.

§. 25. Ἐπυνθάνοντο τῶν περὶ Ξενοφῶντα] ἠρώτων τοὺς περὶ Ξενοφῶντα. — Ἡμεῖς μὲν γάρ, ἔφασαν] οἱ Ἀρκάδες.

μίους· καὶ οἱ πολέμιοι δέ, ὡς γε ἡμῖν ἐδόκουν, τοῦτο δείσαντες ἀπῆλθον· σχεδὸν γὰρ ἀμφὶ τοῦτον τὸν
26 χρόνον ἀπῆσαν· ἐπεὶ δὲ οὐκ ἀφίκεσθε, ὁ δὲ χρόνος ἐξῆκεν, ᾤμεθα ὑμᾶς, πυθομένους τὰ παρ' ἡμῖν, φοβηθέντας οἴχεσθαι ἀποδράντας ἐπὶ θάλατταν· καὶ ἐδόκει ἡμῖν μὴ ἀπολείπεσθαι ὑμῶν. οὕτως οὖν καὶ ἡμεῖς δεῦρο ἐπορεύθημεν.

1 δ'. Ταύτην μὲν οὖν τὴν ἡμέραν αὐτοῦ ηὐλίζοντο ἐπὶ τοῦ αἰγιαλοῦ πρὸς τῷ λιμένι. τὸ δὲ χωρίον τοῦτο, ὃ καλεῖται Κάλπης λιμήν, ἔστι μὲν ἐν τῇ Θρᾴκῃ τῇ ἐν τῇ Ἀσίᾳ, ἀρξαμένη δὲ ἡ Θρᾴκη αὕτη ἐστὶν ἀπὸ τοῦ στόματος τοῦ Πόντου μέχρι Ἡρακλείας ἐπὶ δεξιὰ εἰς
2 τὸν Πόντον εἰσπλέοντι. καὶ τριήρει μέν ἔστιν εἰς Ἡράκλειαν ἐκ Βυζαντίου κώπαις ἡμέρας μάλα μακρᾶς πλοῦς· ἐν δὲ τῷ μέσῳ ἄλλη μὲν πόλις οὐδεμία οἵτε φιλία οὔτε Ἑλληνίς, ἀλλὰ Θρᾷκες Βιθυνοί· καί, οὓς ἂν λάβωσι τῶν Ἑλλήνων ἐκπίπτοντας ἢ ἄλλως πως,
3 δεινὰ ὑβρίζειν λέγονται τοὺς Ἕλληνας. ὁ δὲ Κάλπης λιμὴν ἐν μέσῳ μὲν κεῖται ἑκατέρωθεν πλεόντων ἐξ Ἡρακλείας καὶ Βυζαντίου, ἔστι δ' ἐν τῇ θαλάττῃ προκείμενον χωρίον, τὸ μὲν εἰς τὴν θάλατταν καθῆκον αὐτοῦ πέτρα ἀπορρώξ, ὕψος ὅπῃ ἐλάχιστον οὐ μεῖον εἰκοσιν ὀργυιῶν, ὁ δὲ αὐχὴν ὁ εἰς τὴν γῆν ἀνήκων τοῦ χωρίου μάλιστα τεττάρων πλέθρων τὸ εὖρος· τὸ
4 δ' ἐντὸς τοῦ αὐχένος χωρίον ἱκανὸν μυρίοις ἀνθρώποις οἰκῆσαι· λιμὴν δ' ὑπ' αὐτῇ τῇ πέτρᾳ τὸ πρὸς

§. 26. *Οἴχεσθαι ἀποδράντας*] ἐδραπετεύσατε. *Α'. δ'.* 8. — *Μὴ ἀπολείπεσθαι*] νὰ μὴ μείνωμεν μακρὰν ὑμῶν.

Κεφ. δ'. §. 1. *Ηὐλίζοντο*] *Β'. β'.* 17. — *Πρὸς τῷ λιμένι*] πλησίον τοῦ λιμένος. — *Στόματος τοῦ Πόντου*] *Βοσπόρου.*

§. 2. *Θρᾷκες Βιθυνοί*] *ΣΤ'. β'* 17. — *Ἐκπίπτοντας*] ναναγήσαντας. *Ζ'. Ε'.* 12. — *Ἢ ἄλλως πως*] ἢ ἄλλως πως ἐκεῖ ἀποβάντας.—*Δεινὰ ὑβρίζειν*] ὅτι ἀτιμάζουσιν αὐτοὺς φρικτά. *Γ'. ά.* 13.

§. 3. *Ἔστι δ' ἐν τῇ θαλάσσῃ*] = ἔστι δὲ ὁ Κάλπης λιμὴν χωρίον προκείμενον ἐν τῇ θαλάσσῃ, οὗ τὸ μὲν κτλ. — *Καθῆκον... ἀνήκων*] ἔχουσιν ὃν λόγον καὶ τὰ *ἀναβασις* καὶ *καταβασις*. *Α'. ά.* 2.—*Μάλιστα τεττάρων*] ὡς ἔγγιστα τεσσάρων. *Ἀσ.* 96. 148. — *Τὸ πρὸς ἑσπέραν*] κατὰ τὸ πρὸς ἑσπέραν = δυσμάς.

§. 4. *Ρέουσα*] ἐστὶ = ῥέει. —

ἑσπέραν αἰγιαλὸν ἔχων· κρήνη δὲ ἡδέος ὕδατος καὶ ἄφθονος ῥέουσα ἐπ' αὐτῇ τῇ θαλάττῃ ὑπὸ τῇ ἐπικρατείᾳ τοῦ χωρίου. ξύλα δὲ πολλὰ μὲν καὶ ἄλλα, πάνυ δὲ πολλὰ καὶ καλὰ ναυπηγήσιμα ἐπ' αὐτῇ τῇ θαλάττῃ. τὸ δὲ ὄρος εἰς μεσόγειαν μὲν ἀνήκει ὅσον 5
ἐπὶ εἴκοσι σταδίους, καὶ τοῦτο γεῶδες καὶ ἄλιθον· τὸ δὲ παρὰ θάλατταν πλέον ἢ ἐπὶ εἴκοσι σταδίους δασὺ πολλοῖς καὶ παντοδαποῖς καὶ μεγάλοις ξύλοις.
ἡ δὲ ἄλλη χώρα πολλὴ καὶ καλή, καὶ κῶμαι ἐν αὐτῇ 6
εἰσὶ πολλαὶ καὶ εὖ οἰκούμεναι· φέρει γὰρ ἡ γῆ καὶ κριθὰς καὶ πυροὺς καὶ ὅσπρια πάντα καὶ μελίνας καὶ σήσαμα καὶ σῦκα ἀρκοῦντα καὶ ἀμπέλους πολλὰς καὶ ἡδυοίνους καὶ τἆλλα πάντα πλὴν ἐλαῶν. ἡ μὲν 7
χώρα ἦν τοιαύτη. ἐσκήνουν δ' ἐν τῷ αἰγιαλῷ πρὸς τῇ θαλάττῃ· εἰς δὲ τὸ πόλισμα ἂν γενόμενον οὐκ ἐβούλοντο στρατοπεδεύεσθαι, ἀλλὰ ἐδόκει καὶ τὸ ἐλθεῖν ἐνταῦθα ἐξ ἐπιβουλῆς εἶναι, βουλομένων τινῶν κατοικίσαι πόλιν· τῶν γὰρ στρατιωτῶν οἱ πλεῖστοι 8
ἦσαν οὐ σπάνει βίου ἐκπεπλευκότες ἐπὶ ταύτην τὴν μισθοφοράν, ἀλλὰ τὴν Κύρου ἀρετὴν ἀκούοντες, οἱ μὲν καὶ ἄνδρας ἄγοντες, οἱ δὲ καὶ προσανηλωκότες χρήματα, καὶ τούτων ἕτεροι ἀποδεδρακότες πατέρας καὶ μητέρας, οἱ δὲ καὶ τέκνα καταλιπόντες, ὡς χρήματ' αὐτοῖς κτησάμενοι ἥξοντες πάλιν, ἀκούοντες καὶ τοὺς ἄλλους τοὺς παρὰ Κύρῳ πολλὰ κἀγαθὰ πράττειν. τοιοῦτοι οὖν ὄντες, ἐπόθουν εἰς τὴν Ἑλλάδα σώζεσθαι.

Ὑπὸ τῇ ἐπικρατείᾳ] ἐντὸς τῶν ὁρίων τοῦ χωρίου.

§. 6. *Μελίνας*] *Α'. β'.* 22. — *Ἡδυοίνους*] (ἀμπέλους πολλὰς) καὶ ἀποφερούσας οἴνους ἡδεῖς.

§. 7. *Ἐν τῷ αἰγιαλῷ πρὸς τῇ θαλάττῃ*] ἐν τῇ παραλίᾳ πλησίον τῆς θαλάσσης. *Αἰγιαλὸς* = χωρίον κατὰ τὸ μᾶλλον καὶ ἧττον ἐπίπεδον καὶ ὁμαλὸν παρὰ τὴν θάλασσαν. — *Εἰς δὲ τὸ πόλισμα ἂν γενόμενον*] εἰς τὸ μέρος δὲ ἐκεῖνο, τὸ ὁποῖον ἠδύνατο νὰ γείνῃ πόλις, ἂν τις ἤθελε.— *Καὶ τὸ ἐλθεῖν ἐνταῦθα*] καὶ τὸ ἐντεῦθα, εἰς τὸν ἐν Κάλπῃ λιμένα, ἐλθεῖν. — *Τινῶν*] ἐννοεῖ τοὺς περὶ Ξενοφῶντα. *Ἴδε κατωτέρω*, §. 14.

§. 8. *Ὡς ἥξοντες πάλιν*] ἵνα ἐπανέλθωσι. — *Χρήματα κτησάμενοι αὐτοῖς*] ἀφοῦ ἀποκτήσωσι

9 Ἐπειδὴ δὲ ὑστέρα ἡμέρα ἐγένετο τῆς εἰς ταὐτὸν συνόδου, ἐπ' ἐξόδῳ ἐθύετο Ξενοφῶν· ἀνάγκη γὰρ ἦν ἐπὶ τὰ ἐπιτήδεια ἐξάγειν· ἐπενόει δὲ καὶ τοὺς νεκροὺς θάπτειν. ἐπεὶ δὲ τὰ ἱερὰ ἐγένετο, εἶποντο καὶ οἱ Ἀρκάδες, καὶ τοὺς μὲν νεκροὺς τοὺς πλείστους, ἔνθαπερ ἔπεσον, ἑκάστους ἔθαψαν· ἤδη γὰρ ἦσαν πεμπταῖοι καὶ οὐχ οἷόν τε ἀναιρεῖν ἔτι ἦν· ἐνίους δέ, τοὺς ἐκ τῶν ὁδῶν, συνενεγκόντες ἔθαψαν ἐκ τῶν ὑπαρχόντων ὡς ἐδύναντο κάλλιστα· οὓς δὲ μὴ ηὕρισκον, κενοτάφιον αὐτοῖς ἐποίησαν μέγα, καὶ στεφάνους ἐπέθε-
10 σαν. ταῦτα δὲ ποιήσαντες, ἀνεχώρησαν ἐπὶ τὸ στρατόπεδον. καὶ τότε μὲν δειπνήσαντες ἐκοιμήθησαν· τῇ δὲ ὑστεραίᾳ συνῆλθον οἱ στρατιῶται πάντες· συνῆγε δὲ μάλιστα Ἀγασίας τε Στυμφάλιος λοχαγὸς καὶ Ἱερώνυμος Ἠλεῖος λοχαγὸς καὶ ἄλλοι οἱ πρε-
11 σβύτατοι τῶν Ἀρκάδων. καὶ δόγμα ἐποιήσαντο, ἐάν τις τοῦ λοιποῦ μνησθῇ δίχα τὸ στράτευμα ποιεῖν, θανάτῳ αὐτὸν ζημιοῦσθαι, καὶ κατὰ χώραν ἀπιέναι, ἥπερ πρόσθεν εἶχε τὸ στράτευμα, καὶ ἄρχειν τοὺς πρόσθεν στρατηγούς. καὶ Χειρίσοφος μὲν ἤδη ἐτετελευτήκει, φάρμακον πιὼν πυρέττων· τὰ δ' ἐκείνου Νέων Ἀσιναῖος παρέλαβε.

12 Μετὰ δὲ ταῦτα ἀναστὰς εἶπε Ξενοφῶν, Ὦ ἄνδρες στρατιῶται, τὴν μὲν πορείαν, ὡς ἔοικε, δῆλον ὅτι πεζῇ ποιητέον· οὐ γὰρ ἔστι πλοῖα· ἀνάγκη δὲ πορεύεσθαι ἤδη· οὐ γὰρ ἔστι μένουσι τὰ ἐπιτήδεια. ἡμεῖς οὖν,

χάριν αὐτῶν (τῶν τέκνων) χρήματα. — Πολλὰ καὶ ἀγαθὰ πράττειν] πολλὰ ἀγαθὰ ἀπέλαυον.

§. 9. Ἐπειδὴ δὲ ὑστέρα ἡμέρα κτλ.] τὴν ἐπαύριον δὲ ἐκείνης, καθ' ἣν συνεκεντρώθησαν ἐκεῖ. — Ἐπ' ἐξόδῳ ἐθύετο] προσέφερε θυσίας ὅπως μάθῃ, ἂν εἶναι καλὸν νὰ ἐξαγάγῃ τὸν στρατὸν (πρὸς ἐπισιτισμόν). — Ἔπεσον] εἶχον πέσει. — Ἀναιρεῖν] νὰ τοὺς σηκώσωσι. — Τοὺς ἐκ τῶν ὁδῶν] τοὺς ἐν ταῖς ὁδοῖς ἐκ τῶν ὁδῶν συνενεγκόντες ἔθαψαν. Α'. ά. 5. — Ἐκ τῶν ὑπαρχόντων] κατὰ τὰ μέσα ἃ εἶχον. — Κενοτάφιον] τάφον κενὸν ὑπὲρ τῶν ἀφανῶς ἀποθανόντων.

§. 11. Κατὰ χώραν, ἥπερ εἶχε] καθ' ἣν τάξιν εἶχε. — Πυρέττων] ἐν ὥρᾳ πυρεττοῦ.

§. 12. Μένουσι] ἂν μένωμεν. — Ἡμεῖς] = ἐγὼ καὶ ὁ Νέων. — Εἴ ποτε καὶ ἄλλοτε] ὅπως

ἔφη, θυσόμεθα· ὑμᾶς δὲ δεῖ παρασκευάζεσθαι ὡς μαχουμένους εἴ ποτε καὶ ἄλλοτε· οἱ γὰρ πολέμιοι ἀνατεθαρρήκασιν. ἐκ τούτου ἐθύοντο οἱ στρατηγοί, 13
μάντις δὲ παρῆν Ἀρηξίων Ἀρκάς· ὁ δὲ Σιλανὸς ὁ Ἀμβρακιώτης ἤδη ἀπεδεδράκει πλοῖον μισθωσάμενος ἐξ Ἡρακλείας. θυομένοις δὲ ἐπὶ τῇ ἀφόδῳ οὐκ ἐγίγνετο τὰ ἱερά. ταύτην μὲν οὖν τὴν ἡμέραν ἐπαύ- 14
σαντο. καί τινες ἐτόλμων λέγειν, ὡς ὁ Ξενοφῶν, βουλόμενος τὸ χωρίον οἰκίσαι, πέπεικε τὸν μάντιν λέγειν, ὡς τὰ ἱερὰ οὐ γίγνεται ἐπὶ ἀφόδῳ. ἐντεῦθεν κηρύξας 15
τῇ αὔριον παρεῖναι ἐπὶ τὴν θυσίαν τὸν βουλόμενον, καὶ μάντις, εἴ τις εἴη, παραγγείλας παρεῖναι ὡς συνθεασόμενον τὰ ἱερά, ἔθυε· καὶ ἐνταῦθα παρῆσαν πολλοί. θυομένῳ δὲ πάλιν εἰς τρὶς ἐπὶ τῇ ἀφόδῳ 16
οὐκ ἐγίγνετο τὰ ἱερά. ἐκ τούτου χαλεπῶς εἶχον οἱ στρατιῶται· καὶ γὰρ τὰ ἐπιτήδεια ἐπέλιπεν, ἃ ἔχοντες ἦλθον, καὶ ἀγορὰ οὐδεμία παρῆν.

Ἐκ τούτου, συνελθόντων, εἶπε πάλιν Ξενοφῶν, Ὦ 17
ἄνδρες, ἐπὶ μὲν τῇ πορείᾳ, ὡς ὁρᾶτε, τὰ ἱερὰ οὔπω γίγνεται· τῶν δ' ἐπιτηδείων ὁρῶ ὑμᾶς δεομένους· ἀνάγκη οὖν μοι δοκεῖ εἶναι θύεσθαι περὶ αὐτοῦ τούτου. ἀναστάς τις εἶπε, Καὶ εἰκότως ἄρα ἡμῖν οὐ 18
γίγνεται τὰ ἱερά· ὡς γὰρ ἐγὼ ἀπὸ τοῦ αὐτομάτου χθὲς ἥκοντος πλοίου ἤκουσά τινος, ὅτι Κλέανδρος ὁ ἐκ Βυζαντίου ἁρμοστὴς μέλλει ἥξειν πλοῖα καὶ τριήρεις ἔχων. ἐκ τούτου δὲ ἀναμένειν μὲν πᾶσιν ἐδόκει· ἐπὶ 19
δὲ τὰ ἐπιτήδεια ἀνάγκη ἦν ἐξιέναι. καὶ ἐπὶ τούτῳ πάλιν ἐθύετο εἰς τρίς, καὶ οὐκ ἐγίγνετο τὰ ἱερά. καὶ ἤδη καὶ ἐπὶ σκηνὴν ἰόντες τὴν Ξενοφῶντος ἔλεγον, ὅτι οὐκ ἔχοιεν τὰ ἐπιτήδεια. ὁ δ' οὐκ ἂν ἔφη ἐξαγαγεῖν, μὴ γιγνομένων τῶν ἱερῶν.

καὶ ἄλλοτε ἢ κάλλιον παρ' ἄλλοτε. Α'. γ'. 15. ὥς τις καὶ ἄλλος.

§. 14. Ἐπὶ τῇ ἀφόδῳ] Γ'. δ'. 41.

§. 15. Χαλεπῶς εἶχον] ἐχαλέπαινον = ἐβαρυθύμουν.

§. 18. Ὡς γὰρ ἐγὼ ἤκουσά τινος ὅτι] κατ' ἀνακολουθίαν πλεονάζει τὸ ὅτι = ὡς γὰρ ἐγὼ ἤκουσά τινος, Κλέανδρος μέλλει. Ἴδε καὶ Κρίτ. Πλάτωνος. — Ἀπὸ τοῦ αὐτομάτου] κατὰ τύχην.

20 Καὶ πάλιν τῇ ὑστεραίᾳ ἐθύετο, καὶ σχεδόν τι πᾶσα ἡ στρατιὰ διὰ τὸ μέλειν ἅπασιν ἐκυκλοῦντο περὶ τὰ ἱερά· τὰ δὲ θύματα ἐπελελοίπει. οἱ δὲ στρατηγοὶ
21 ἐξῆγον μὲν οὔ, συνεκάλεσαν δέ. εἶπεν οὖν Ξενοφῶν, Ἴσως οἱ πολέμιοι συνειλεγμένοι εἰσὶ καὶ ἀνάγκη μάχεσθαι. εἰ οὖν, καταλιπόντες τὰ σκεύη ἐν τῷ ἐρυμνῷ χωρίῳ, ὡς εἰς μάχην παρεσκευασμένοι ἴοιμεν, ἴσως
22 ἂν τὰ ἱερὰ προχωροίη ἡμῖν. ἀκούσαντες δ' οἱ στρατιῶται ἀνέκραγον, ὡς οὐδὲν δέον εἰς τὸ χωρίον ἄγειν, ἀλλὰ θύεσθαι ὡς τάχιστα. καὶ πρόβατα μὲν οὐκέτι ἦν, βοῦς δὲ ὑφ' ἁμάξης πριάμενοι ἐθύοντο· καὶ Ξενοφῶν Κλεάνορος ἐδεήθη τοῦ Ἀρκάδος προθυμεῖσθαι, εἴ τι ἐν τούτῳ εἴη. ἀλλ' οὐδ' ὣς ἐγένετο.
23 Νέων δὲ ἦν μὲν στρατηγὸς κατὰ τὸ Χειρισόφου μέρος, ἐπεὶ δὲ ἑώρα τοὺς ἀνθρώπους ὡς εἶχον δεινῶς τῇ ἐνδείᾳ, βουλόμενος αὐτοῖς χαρίζεσθαι, εὑρών τινα ἄνθρωπον Ἡρακλεώτην, ὃς ἔφη κώμας ἐγγὺς εἰδέναι, ὅθεν εἴη λαβεῖν τὰ ἐπιτήδεια, ἐκήρυξε τὸν βουλόμενον ἰέναι ἐπὶ τὰ ἐπιτήδεια, ὡς ἡγεμόνος ἑσομένου. ἐξέρχονται δὴ σὺν δορατίοις καὶ ἀσκοῖς καὶ θυλάκοις καὶ
24 ἄλλοις ἀγγείοις εἰς δισχιλίους ἀνθρώπους. ἐπειδὴ δὲ ἦσαν ἐν ταῖς κώμαις καὶ διεσπείροντο ὡς ἐπὶ τὸ λαμβάνειν, ἐπιπίπτουσιν αὐτοῖς οἱ Φαρναβάζου ἱππεῖς πρῶτοι· βεβοηθηκότες γὰρ ἦσαν τοῖς Βιθυνοῖς, βουλόμενοι σὺν τοῖς Βιθυνοῖς, εἰ δύναιντο, ἀποκωλῦσαι τοὺς Ἕλληνας μὴ ἐλθεῖν εἰς τὴν Φρυγίαν· οὗτοι οἱ

§. 20. Ἐκυκλοῦντο] συνεκεντροῦντο. — Ἐπελελοίπει] εἶχον σωθῆ. Δὲν εἶχον ἄλλα πρὸς θυσίαν ζῶα.

§. 21. Ἐρυμνῷ] Α'. β'. 8. — Προχωροίη] Α'. Θ'. 13.

§. 22. Ὡς οὐδὲν δέον κτλ.] = ὥσπερ (θ' ἀνέκραγον) εἰ ἀνάγκη ἦν οὐδόλως εἰς τὸ χωρίον ἄγειν, ἀλλὰ θύεσθαι. Τὸ δέον αἰτιατικὴ ἀπόλυτος. — Οὐκέτι ἦν] Α'. ε'. 12. οὔπω ἦκεν. — Βοῦς ὑφ' ἁμάξης] ἐξ ἐκείνων, οἳ εἶλκον ἁμάξας = ὑποζυγίων. — Ἐν τούτῳ εἴη] Γ. Σ. Α'. — Οὐδ' ὣς] Α'. ή. 21.

§. 23. Ἑώρα τοὺς ἀνθρώπους ὡς εἶχον] ἑώρα ὡς (ὅτι) οἱ ἄνθρωποι εἶχον. Α'. στ'. 5. — Ὡς ἡγεμόνος ἑσομένου] λέγων ὅτι θὰ ἡγῆται (ὁδηγῇ) αὐτός.

§. 24. Φαρναβάζου] σατράπου τῆς ἐλάσσονος Φρυγίας· ἐξετείνετο δ' αὕτη μέχρι Προποντίδος.

ἱππεῖς ἀποκτείνουσι τῶν ἀνδρῶν οὐ μεῖον πεντακοσίους· οἱ δὲ λοιποὶ ἐπὶ τὸ ὄρος ἀνέφυγον. ἐκ τούτου 25
ἀπαγγέλλει τις ταῦτα τῶν ἀποπεφευγότων εἰς τὸ στρατόπεδον. καὶ ὁ Ξενοφῶν, ἐπεὶ οὐκ ἐγεγένητο τὰ ἱερὰ ταύτῃ τῇ ἡμέρᾳ, λαβὼν βοῦν ὑφ' ἁμάξης—οὐ γὰρ ἦν ἄλλα ἱερεῖα—σφαγιασάμενος ἐβοήθει, καὶ οἱ ἄλλοι οἱ μέχρι τριάκοντα ἐτῶν ἅπαντες. καὶ ἀναλαβόντες τοὺς 26
λοιποὺς ἄνδρας, εἰς τὸ στρατόπεδον ἀφικνοῦνται. καὶ ἤδη μὲν ἀμφὶ ἡλίου δυσμὰς ἦν, καὶ οἱ Ἕλληνες μάλ' ἀθύμως ἔχοντες ἐδειπνοποιοῦντο καί, ἐξαπίνης διὰ τῶν λασίων τῶν Βιθυνῶν τινες ἐπιγενόμενοι τοῖς προφύλαξι, τοὺς μὲν κατέκανον, τοὺς δὲ ἐδίωξαν μέχρι εἰς τὸ στρατόπεδον. καὶ κραυγῆς γενομένης εἰς τὰ ὅπλα, 27
πάντες ἔδραμον οἱ Ἕλληνες· καὶ διώκειν μὲν καὶ κινεῖν τὸ στρατόπεδον νυκτὸς οὐκ ἀσφαλὲς ἐδόκει εἶναι—δασέα γὰρ ἦν τὰ χωρία—ἐν δὲ τοῖς ὅπλοις ἐνυκτέρευον φυλαττόμενοι ἱκανοῖς φύλαξιν.

ε. Τὴν μὲν νύκτα οὕτω διήγαγον· ἅμα δὲ τῇ ἡμέρᾳ 1
οἱ στρατηγοὶ εἰς τὸ ἐρυμνὸν χωρίον ἦγον. οἱ δὲ εἵποντο ἀναλαβόντες τὰ ὅπλα καὶ τὰ σκεύη. πρὶν δὲ ἀρίστου ὥραν εἶναι, ἀπετάφρευσαν, ᾗ ἡ εἴσοδος ἦν εἰς τὸ χωρίον, καὶ ἀπεσταύρωσαν ἅπαν, καταλιπόντες τρεῖς πύλας. καὶ πλοῖον ἐξ Ἡρακλείας ἦκεν ἄλφιτα ἄγον καὶ ἱερεῖα καὶ οἶνον. πρῲ δ' ἀναστὰς Ξενοφῶν 2
ἐθύετο ἐπ' ἐξόδῳ, καὶ γίγνεται τὰ ἱερὰ ἐπὶ τοῦ πρώτου ἱερείου. καὶ ἤδη τέλος ἐχόντων τῶν ἱερῶν, ὁρᾷ ἀετὸν αἴσιον ὁ μάντις Ἀρηξίων Παρράσιος, καὶ ἡγεῖσθαι κελεύει τὸν Ξενοφῶντα. καὶ διαβάντες τὴν τάφρον τὰ 3
ὅπλα τίθενται, καὶ ἐκήρυξαν, ἀριστήσαντας, ἐξιέναι

§. 26. Ἐξαπίνης] αἴφνης. — Λασίων] ἐκ τῶν δασωδῶν χωρίων· διὸ καὶ δασέα κατωτέρω, §. 27, καλεῖ.

Κεφ. ε'. §. 1. Εἰς τὸ ἐρυμνὸν χωρίον] ἴδε ἀνωτέρω, κεφ. δ'. 21, 3 καὶ 7. — Ἀπετάφρευσαν] τάφρον ὤρυξαν. — Ἀπεσταύρωσαν] ἔφραξαν διὰ πασσάλων ἐμπεπηγμένων εἰς τὴν γῆν καὶ συνδεομένων δι' ἄλλων ξύλων, μεθ' ὧν ἀπετέλουν σταυρόν.

§. 2. Ἐπεξόδια] = ἐπ' ἐξόδῳ. ΣΤ'. δ'. 9. — Γίγνεται τὰ ἱερὰ] ΣΤ'. δ'. 9. καὶ Δ'. γ'. 9.

§. 3. Τὰ ὅπλα τίθενται] Α'.

τοὺς στρατιώτας σὺν τοῖς ὅπλοις, τὸν δὲ ὄχλον καὶ
4 τὰ ἀνδράποδα αὐτοῦ καταλιπεῖν. οἱ μὲν δὴ ἄλλοι
πάντες ἐξῆσαν, Νέων δὲ οὔ· ἐδόκει γὰρ κάλλιστον εἶ-
ναι τοῦτον φύλακα καταλιπεῖν τῶν ἐπὶ στρατοπέδου.
ἐπεὶ δ' οἱ λοχαγοὶ καὶ οἱ στρατιῶται ἀπέλιπον αὐτούς,
αἰσχυνόμενοι μὴ ἐφέπεσθαι, τῶν ἄλλων ἐξιόντων,
κατέλιπον αὐτοῦ τοὺς ὑπὲρ πέντε καὶ τετταράκοντα
ἔτη. καὶ οὗτοι μὲν ἔμενον, οἱ δ' ἄλλοι ἐπορεύοντο.
5 πρὶν δὲ πεντεκαίδεκα στάδια διεληλυθέναι, ἐνέτυχον
ἤδη νεκροῖς· καὶ τὴν οὐρὰν τοῦ κέρατος ποιησάμενοι
κατὰ τοὺς πρώτους φανέντας νεκρούς, ἔθαπτον πάντας,
6 ὁπόσους ἐπελάμβανε τὸ κέρας. ἐπεὶ δὲ τοὺς πρώτους
ἔθαψαν, προαγαγόντες καὶ τὴν οὐρὰν αὖθις ποιησά-
μενοι κατὰ τοὺς πρώτους τῶν ἀτάφων, ἔθαπτον τὸν
αὐτὸν τρόπον, ὁπόσους ἐπελάμβανεν ἡ στρατιά. ἐπεὶ
δὲ εἰς τὴν ὁδὸν ἦκον τὴν ἐκ τῶν κωμῶν, ἔνθα ἔκειντο
ἀθρόοι, συννενεγκόντες αὐτοὺς ἔθαψαν.
7 Ἤδη δὲ πέρα μεσούσης τῆς ἡμέρας, προαγαγόντες
το στράτευμα ἔξω τῶν κωμῶν, ἐλάμβανον τὰ ἐπιτήδεια
ὅ τι τις ὁρᾷ ἐντὸς τῆς φάλαγγος, καὶ ἐξαίφνης ὁρῶσι
τοὺς πολεμίους ὑπερβάλλοντας κατὰ λόφους τινὰς ἐκ
τοῦ ἐναντίου, τεταγμένους ἐπὶ φάλαγγος, ἱππέας τε
πολλοὺς καὶ πεζούς· καὶ γὰρ Σπιθριδάτης καὶ Ῥαθί-

έ. 17. — Ὄχλον] Γ'. β'. 27.

§. 4. Νέων δὲ οὔ] ἔξεισι· διότι τὸν ἀπέλιπον διὰ τὴν θρασύτητα αὐτοῦ, ΣΤ'. δ'. 23, ἐξ ἧς ἐκινδύνευσε μέγα τοῦ στρατοῦ μέρος, ΣΤ'. δ'. 24. — Αἰσχυνόμενοι] οἱ περὶ τὸν Νέωνα.

§. 5. Τὴν οὐρὰν τοῦ κέρατος ποιησάμενοι κατὰ τοὺς πρώτους νεκρούς] ὅτε ἡ οὐρὰ τοῦ στρατοῦ ἔφθασεν εἰς τοὺς πρώτους φανέντας νεκρούς. — Τοῦ κέρατος] = τοῦ κατὰ κέρας πορευομένου στρατοῦ· εἶναι δὲ τοῦτο ἀντίθετον τοῦ ἐπὶ φάλαγγος· διότι ἐν τῇ πρώτῃ διατάξει ὀλίγοι εἶναι οἱ κατὰ πρόσωπον, καὶ προηγεῖται μὲν τὸ δεξιὸν ἕπεται δὲ τὸ εὐώνυμον· ἐν τῇ ἐπὶ φάλαγγος ὅμως διατάξει κατὰ πρόσωπον εἶναι παρὰ πολλοὶ δεξιὸν δὲ κέρας καὶ φάλαγξ καὶ ἀριστερὸν κέρας εὕρηνται ἐπ' εὐθείας. Ἴδε Δ'. στ'. 6. — Ἐπελάμβανε τὸ κέρας] περιέκλειεν ὁ κατὰ κέρας τεταγμένος στρατός· διὸ καὶ κατωτέρω λέγει ὁ π ό σ ο υ ς ἐπελάμβανεν ἡ στρατιά.

§. 7. Ὅ τι τις ὁρᾷ] συλλέγοντες πᾶν ὅ τι ἔβλεπέ τις. — Τεταγμένους ἐπὶ φάλαγγος] Δ'. γ'. 26.

νης ἦκον παρὰ Φαρναβάζου ἔχοντες τὴν δύναμιν. ἐπεὶ 8
δὲ κατεῖδον τοὺς Ἕλληνας οἱ πολέμιοι, ἔστησαν ἀπέ-
χοντες αὐτῶν ὅσον πεντεκαίδεκα σταδίους. ἐκ τούτου
εὐθὺς Ἀρηξίων ὁ μάντις τῶν Ἑλλήνων σφαγιάζεται,
καὶ ἐγένετο ἐπὶ τοῦ πρώτου καλὰ τὰ σφάγια. ἔνθα δὴ 9
Ξενοφῶν λέγει, Δοκεῖ μοι, ὦ ἄνδρες στρατηγοί, ἐπι-
τάξασθαι τῇ φάλαγγι λόχους φύλακας, ἵν' ἄν που δέῃ,
ᾧδιν οἱ ἐπιβοηθήσοντες τῇ φάλαγγι καὶ οἱ πολέμιοι
τεταραγμένοι ἐμπίπτωσιν εἰς τεταγμένους καὶ ἀκεραί-
ους. συνεδόκει ταῦτα πᾶσιν. Ὑμεῖς μὲν τοίνυν, ἔφη, 10
προηγεῖσθε τὴν πρὸς τοὺς ἐναντίους, ὡς μὴ ἑστήκω-
μεν, ἐπεὶ ὤφθημεν καὶ εἴδομεν τοὺς πολεμίους· ἐγὼ δὲ
ἥξω τοὺς τελευταίους λόχους καταχωρίσας, ἥπερ ὑμῖν
δοκεῖ. ἐκ τούτου οἱ μὲν ἤσυχοι προῆγον, ὁ δέ, τρεῖς 11
ἀφελὼν τὰς τελευταίας τάξεις, ἀνὰ διακοσίους ἄνδρας,
τὴν μὲν ἐπὶ τὸ δεξιὸν ἐπέτρεψεν ἐφέπεσθαι ἀπολιπόν-
τας ὡς πλέθρον—Σαμόλας Ἀχαιὸς ταύτης ἦρχε τῆς
τάξεως—τὴν δ' ἐπὶ τῷ μέσῳ ἐχώρισεν ἕπεσθαι—Πυρ-
ρίας Ἀρκὰς ταύτης ἦρχε—τὴν δὲ μίαν ἐπὶ τῷ εὐωνύμῳ—
Φρασίας Ἀθηναῖος ταύτῃ ἐφειστήκει. προϊόντες δέ, 12
ἐπεὶ ἐγένοντο οἱ ἡγούμενοι ἐπὶ νάπει μεγάλῳ καὶ δυσ-
πόρῳ, ἔστησαν ἀγνοοῦντες, εἰ διαβατέον εἴη τὸ νάπος.
καὶ παρεγγυῶσι στρατηγοὺς καὶ λοχαγοὺς παριέναι ἐπὶ
τὸ ἡγούμενον. καὶ ὁ Ξενοφῶν θαυμάσας, ὅ τι τὸ ἴσχον 13
εἴη τὴν πορείαν, καὶ ταχὺ ἀκούων τὴν παρεγγύην,
ἐλαύνει ἧ τάχιστα. ἐπεὶ δὲ συνῆλθον, λέγει Σο-
φαίνετος, πρεσβύτατος ὢν τῶν στρατηγῶν, ὅτι βου-

§. 9. λόχους φύλακας] ἐφεδρείαν. Β'. έ. 10. — Ἀκεραίους] μὴ καταβεβλημένους ἐκ τοῦ πολέμου.

§. 10. Ὡς μὴ ἑστήκωμεν] ἵνα μὴ μένωμεν ἀργοί. — Καταχωρίσας] ἀποχωρίσας, ξεχωρίσας (ὡς ἐφεδρείαν). — Ἥπερ ὑμῖν δοκεῖ] ὅπως ἀπεφασίσατε.

§. 11. Ἐπέτρεψεν] ἐκέλευσε (νὰ πορεύηται ὄπισθεν τοῦ δεξιοῦ κέρατος). — Ἀπολιπόντας] ἀπολιποῦσαν (τὴν πρώτην τάξιν, τὸ πρῶτον σῶμα τῆς ἐφεδρείας).

§. 12. Νάπει] Νάπος = ῥεματιά, ὡς λέγει ἡ κοινὴ νάπη, πληθυντικῶς, = δάσος. Ἴδε κατωτέρω §. 18 καὶ Δ'. έ. 15 καὶ 18. — Παρεγγυῶσι] Α'. ή. 16.

§. 13. Ὅ τι τὸ ἴσχον εἴη] τί ἦτο τὸ κωλύον. — Συνῆλθον] οἱ στρατηγοί. §. 12. — Τοιοῦτον ὂν τὸ νάπος] ἀφοῦ τὸ νάπος ἦτο τοιοῦτο.

14 λῆς οὐκ ἄξιον εἴη, εἰ διαβατέον ἐστὶ τοιοῦτον νάπος. καὶ ὁ Ξενοφῶν σπουδῇ ὑπολαβὼν ἔλεξεν, Ἀλλ' ἴστε μέν με, ὦ ἄνδρες, οὐδένα πω κίνδυνον προξενήσαντα ὑμῖν ἐθελούσιον· οὐ γὰρ δόξης ὁρῶ δεομένους ὑμᾶς
15 εἰς ἀνδρειότητα, ἀλλὰ σωτηρίας. νῦν δὲ οὕτως ἔχει· ἀμαχεὶ μὲν ἐνθένδε οὐκ ἔστιν ἀπελθεῖν· ἢν γὰρ μὴ ἡμεῖς ἴωμεν ἐπὶ τοὺς πολεμίους, οὗτοι ἡμῖν, ὁπόταν
16 ἀπίωμεν, ἕψονται καὶ ἐπιπεσοῦνται. ὁρᾶτε δὴ πότερον κρεῖττον ἰέναι ἐπὶ τοὺς ἄνδρας προβαλλομένους τὰ ὅπλα ἢ μεταβαλλομένους ὄπισθεν ἡμῶν ἐπιόντας
17 τοὺς πολεμίους θεᾶσθαι. ἴστε μέντοι, ὅτι τὸ μὲν ἀπιέναι ἀπὸ πολεμίων οὐδενὶ καλῷ ἔοικε, τὸ δὲ ἐφέπεσθαι καὶ τοῖς κακίοσι θάρρος ἐμποιεῖ. ἐγὼ γοῦν ἥδιον ἂν σὺν ἡμίσεσιν ἐποίμην ἢ σὺν διπλασίοις ἀποχωροίην. καὶ τούτους οἶδ' ὅτι, ἐπιόντων μὲν ἡμῶν, οὐδ' ὑμεῖς ἐλπίζετε αὐτοὺς δέξεσθαι ἡμᾶς, ἀπιόντων δέ, πάντες
18 ἐπιστάμεθα, ὅτι τολμήσουσιν ἐφέπεσθαι. τὸ δὲ διαβάντας ὄπισθεν νάπος χαλεπὸν ποιήσασθαι, μέλλοντας μάχεσθαι, ἆρ' οὐχὶ καὶ ἁρπάσαι ἄξιον; τοῖς μὲν γὰρ πολεμίοις ἐγὼ βουλοίμην ἂν εὔπορα πάντα φαίνεσθαι, ὥστε ἀποχωρεῖν· ἡμᾶς δὲ καὶ ἀπὸ τοῦ χωρίου δεῖ δι-
19 δάσκεσθαι, ὅτι οὐκ ἔστι μὴ νικῶσι σωτηρία. θαυμάζω

§. 14. *Σπουδῇ*] εὐθύς, βιαστικά. *Τοῦτο δὲ ἵνα μὴ ὑπερισχύσῃ ἡ γνώμη τοῦ Σοφαινέτου.* — *Μὲ... ἐθελούσιον*] ἐγὼ ἑκών. — *Εἰς ἀνδρειότητα*] καθόσον ἀφορᾷ τὴν ἀνδρειότητα. *Α'. Θ'.* 16. *ὡς πρὸς τὴν ἀνδρείαν, ἣν ἀπεδείξατε.*

§. 16. *Μεταβαλλομένους ὄπισθεν ἡμῶν*] κρεμάσαντες τὰ ὅπλα εἰς τοὺς ὤμους ἡμῶν. *Καὶ τοῦτο μὲν τοῖς δειλοῖς, τὸ δὲ προβάλλεσθαι τὰ ὅπλα τοῖς ἀνδρείοις ἁρμόζει, ὡς λέγει ἐν τοῖς ἐπιφερομένοις.*

§. 17. *Οὐδενὶ καλῷ ἔοικε*] μὲ κανὲν καλὸν ὁμοιάζει, = φαίνεται κακόν. — *Ἐφέπεσθαι*] τοῖς πολεμίοις. = διώκειν. — *Κακίοσι*] δειλοτέροις. *Α'. γ'* 18. — *Δέξεσθαι ἡμᾶς*] *Α'. ι'.* 6. — *Ἀπιόντων δὲ*] ἡμῶν.

§. 18. *Τὸ δὲ διαβάντας κτλ.*] = χαλεπὸν δὲ ὂν ποιήσασθαι (τοὺς στρατιώτας), μέλλοντας μάχεσθαι, ὄπισθεν τὸ νάπος, διαβάντας. = *Ἂν δὲ εἶναι δύσκολον οἱ στρατιῶται διαβάντες ν' ἀφήσωσι τὸ νάπος ὄπισθεν αὐτῶν, ἀφοῦ μέλλουσι νὰ πολεμήσωσι. Ποιοῦμαι ὄπισθεν. Α'. ι.* 9. — *Ἁρπάσαι*] *Δ'. στ'.* 11. *Ἐννοεῖ ὁ Ξενοφῶν ὅτι, ἂν διαβῶσι τὸ νάπος, ἐπειδὴ θὰ εἶναι δύσκολον*

δ' ἔγωγε καὶ τὸ νάπος τοῦτο, εἴ τις μᾶλλον φοβερὸν νομίζει εἶναι τῶν ἄλλων, ὧν διαπεπορεύμεθα, χωρίων. πῶς γὰρ διαβατὸν τὸ πεδίον, εἰ μὴ νικήσομεν τοὺς ἱππέας; πῶς δέ, ἃ διεληλύθαμεν ὄρη, ἢν πελτασταὶ τοσοίδε ἐφέπωνται; ἢν δὲ δὴ καὶ σωθῶμεν ἐπὶ θά- 20
λατταν, πόσον τι νάπος ὁ Πόντος, ἔνθα οὔτε πλοῖα ἔστι τὰ ἀπάξοντα οὔτε σῖτος, ᾧ θρεψόμεθα, μένοντες, δεήσει δέ, ἢν θᾶττον ἐκεῖ γενώμεθα, θᾶττον πάλιν ἐξιέναι ἐπὶ τὰ ἐπιτήδεια; οὐκοῦν νῦν κρεῖττον ἠρι- 21
στηκότας μάχεσθαι ἢ αὔριον ἀναρίστους. ἄνδρες, τά τε ἱερὰ ἡμῖν καλὰ οἵ τε οἰωνοὶ αἴσιοι τά τε σφάγια κάλλιστα· ἴωμεν ἐπὶ τοὺς ἄνδρας. οὐ δεῖ ἔτι τούτους, ἐπεὶ ἡμᾶς πάντως εἶδον, ἡδέως δειπνῆσαι οὐδ' ὅπου ἂν ἐθέλωσι σκηνῆσαι.

Ἐντεῦθεν οἱ λοχαγοὶ ἡγεῖσθαι ἐκέλευον, καὶ οὐ- 22
δεὶς ἀντέλεγε. καὶ ὃς ἡγεῖτο, παραγγείλας διαβαίνειν, ᾗ ἕκαστος ἐτύγχανε τοῦ νάπους ὤν· θᾶττον γὰρ ἀθρόον ἐδόκει ἂν οὕτω πέραν γενέσθαι τὸ στράτευμα ἢ εἰ κατὰ τὴν γέφυραν, ἢ ἐπὶ τῷ νάπει ἦν, ἐξεμηρύοντο. ἐπεὶ δὲ διέβησαν, παριὼν παρὰ τὴν φάλαγγα, ἔλεγεν, 23
Ἄνδρες, ἀναμιμνήσκεσθε, ὅσας δὴ μάχας σὺν τοῖς θεοῖς ὁμόσε ἰόντες νενικήκατε καὶ οἷα πάσχουσιν οἱ πολεμίους φεύγοντες. καὶ τοῦτο ἐννοήσατε, ὅτι ἐπὶ ταῖς θύραις τῆς Ἑλλάδος ἐσμέν. ἀλλ' ἕπεσθε ἡγεμόνι 24
τῷ Ἡρακλεῖ καὶ ἀλλήλους παρακαλεῖτε ὀνομαστί. ἡδύ

πλέον νὰ ὀπισθοδρομήσωσι πολεμοῦντες, θὰ εἶναι ἠναγκασμένοι νὰ προχωρήσωσιν, ἀλλὰ μὴ ἀποχωρήσωσι· μόνον δὲ προχωροῦντες δύνανται νὰ σωθῶσιν. — *Ἀπὸ τοῦ χωρίου*] ἐκ τῆς φύσεως τοῦ τόπου.

§. 20. *Πόσον τι νάπος ὁ Πόντος*] πόσον μᾶλλον δυσδιάβατος τοῦ νάπους εἶναι ὁ Πόντος.

§. 21. *Ἱερὰ... οἰωνοὶ... σφάγια*] *Α'. ἡ.* 15.

§. 22. *Θᾶττον γὰρ ἂν ἀθρόον κτλ.*] ταχύτερον οὕτως, (ἂν δηλαδὴ διέβαινον ἐξ οὗ μέρους ἔτυχεν ἕκαστος νὰ εἶναι) παρὰ ἂν ἐξεμηρύοντο κατὰ τὴν γέφυραν. — *Ἐξεμηρύοντο*] ἐξεκουβαριάζοντο, ὡς νῆμα κλωστῆς ἐξετυλίσσοντο.

§. 23. *Ὁμόσε ἰόντες*] *Γ'. δ'.* 4. — *Θύραις*] *Β'. δ'.* 4.

§. 24. *Ἡγεμόνι τῷ Ἡρακλεῖ*] *ΣΤ'. β'.* 15. — *Παρακαλεῖτε*] *Γ'. ά.* 24. — *Ἡδύ τοι*] ἡδὺ ὄντως. — *Μνήμην ἐν οἷς ἐθέλει παρέχειν ἑαυτοῦ*] νὰ καταστήσῃ τὴν ἑαυτοῦ μνήμην σεβαστὴν παρ'

τοι ἀνδρειόν τι καὶ καλὸν νῦν εἰπόντα καὶ ποιήσαντα
25 μνήμην ἐν οἷς ἐθέλει παρέχειν ἑαυτοῦ. ταῦτα παρελαύνων ἔλεγε καὶ ἅμα ὑφηγεῖτο ἐπὶ φάλαγγος, καὶ τοὺς πελταστὰς ἑκατέρωθεν ποιησάμενοι, ἐπορεύοντο ἐπὶ τοὺς πολεμίους. παρήγγελτο δὲ τὰ μὲν δόρατα ἐπὶ τὸν δεξιὸν ὦμον ἔχειν, ἕως σημαίνοι τῇ σάλπιγγι· ἔπειτα δέ, εἰς προβολὴν καθέντας, ἕπεσθαι βάδην καὶ μηδένα δρόμῳ διώκειν. ἐκ τούτου σύνθημα παρῄει
26 Ζεὺς σωτήρ, Ἡρακλῆς ἡγεμών. οἱ δὲ πολέμιοι ὑπέμενον, νομίζοντες καλὸν ἔχειν τὸ χωρίον. ἐπεὶ δ' ἐπλησίαζον, ἀλαλάξαντες οἱ Ἕλληνες πελτασταὶ, ἔθεον ἐπὶ τοὺς πολεμίους, πρίν τινα κελεύειν· οἱ δὲ πολέμιοι ἀντίοι ὥρμησαν, οἵ θ' ἱππεῖς καὶ τὸ στῖφος τῶν Βιθυ-
27 νῶν, καὶ τρέπονται τοὺς πελταστάς. ἀλλ' ἐπεὶ ὑπηντίαζεν ἡ φάλαγξ τῶν ὁπλιτῶν ταχὺ πορευομένη καὶ ἅμα ἡ σάλπιγξ ἐφθέγξατο καὶ ἐπαιάνιζον καὶ μετὰ ταῦτα ἠλάλαζον καὶ ἅμα τὰ δόρατα καθίεσαν, ἐνταῦθα
28 οὐκέτι ἐδέξαντο οἱ πολέμιοι, ἀλλὰ ἔφευγον. καὶ Τιμασίων μὲν ἔχων τοὺς ἱππέας ἐφείπετο, καὶ ἀπεκτίννυσαν, ὅσουσπερ ἐδύναντο, ὡς ὀλίγοι ὄντες. τῶν δὲ πολεμίων τὸ μὲν εὐώνυμον εὐθὺς διεσπάρη, καθ' ὃ οἱ Ἕλληνες ἱππεῖς ἦσαν, τὸ δὲ δεξιόν, ἅτε οὐ σφόδρα
29 διωκόμενον, ἐπὶ λόφου συνέστη. ἐπεὶ δὲ εἶδον οἱ Ἕλληνες ὑπομένοντας αὐτούς, ἐδόκει ῥᾷστόν τε καὶ ἀκινδυνότατον εἶναι ἰέναι ἤδη ἐπ' αὐτούς. παιανίσαντες οὖν εὐθὺς ἐπέκειντο· οἱ δ' οὐχ ὑπέμειναν. καὶ

ἐκείνοις, παρ' οἷς θέλει νὰ παραμείνῃ ἡ μνήμη του. Ἴδε καὶ ΣΤ'. α'. 20.

§. 25. Τφηγεῖτο] ὀλίγον κατ' ὀλίγον ἔβαινε πρὸς τὰ ἐμπρός. — Ἐπὶ φάλαγγος] Α'. γ'. 26. — Εἰς προβολὴν καθέντας] προτείναντες (προτεταμένα ἔχοντες) τὰ ὅπλα, ὡς λέγει σήμερον ἡ στρατιωτικὴ γλῶσσα. — Σύνθημα παρῄει] Α'. ἡ. 16. — Καλὸν ἔχειν τὸ χωρίον] τὸ χωρίον, ὅ κατεῖχον, ὅτι ἦτο καλόν.

§. 26. Ἀλαλάξαντες] Α'. ἡ. 18. — Πελτασταὶ... ὁπλῖται] Α'. β'. 3. — Στῖφος] Α'. ἡ. 13.

§. 27. Ὑπηντίαζεν] ἤρξατο ἐναντίον τῶν πολεμίων χωροῦσα. — Οὐκέτι ἐδέξαντο] Α'. ἰ. 6.

§. 28. Τιμασίων] ὁ ἀρχηγὸς τῶν ἱππέων. ΣΤ'. 3. 14. — Ἀπεκτίννυσαν] οἱ ἱππεῖς. — καθ' ὃ] ἐκεῖ, ὅπου. — Συνέστη] συνεκεντρώθη.

ἐνταῦθα οἱ πελτασταὶ ἐδίωκον, μέχρι τὸ δεξιὸν αὖ διεσπάρη· ἀπέθανον δὲ ὀλίγοι· τὸ γὰρ ἱππικὸν φόβον παρεῖχε, τὸ τῶν πολεμίων, πολὺ ὄν. ἐπεὶ δὲ εἶδον οἱ 30
Ἕλληνες τό τε Φαρναβάζου ἱππικὸν ἔτι συνεστηκὸς καὶ τοὺς Βιθυνοὺς ἱππέας πρὸς τοῦτο συναθροιζομένους καὶ ἀπὸ λόφου τινὸς καταθεωμένους τὰ γιγνόμενα, ἀπειρήκεσαν μέν, ὅμως δὲ ἐδόκει καὶ ἐπὶ τούτους ἰτέον εἶναι οὕτως, ὅπως δύναιντο, ὡς μὴ τεθαρρηκότες 31
ἀναπαύσαιντο. συνταξάμενοι δή, πορεύονται. ἐντεῦθεν οἱ πολέμιοι ἱππεῖς φεύγουσι κατὰ τοῦ πρανοῦς ὁμοίως, ὥσπερ ὑπὸ ἱππέων διωκόμενοι· νάπος γὰρ αὐτοὺς ὑπεδέχετο, ὃ οὐκ ἤδεσαν οἱ Ἕλληνες, ἀλλὰ προαπετράποντο διώκοντες· ὀψὲ γὰρ ἦν. ἐπανελθόν- 32
τες δέ, ἔνθα ἡ πρώτη συμβολὴ ἐγένετο, στησάμενοι τρόπαιον, ἀπῆσαν ἐπὶ θάλατταν περὶ ἡλίου δυσμάς· στάδιοι δ' ἦσαν ὡς ἑξήκοντα ἐπὶ τὸ στρατόπεδον.

στ'. Ἐντεῦθεν οἱ μὲν πολέμιοι εἶχον ἀμφὶ τὰ ἑαυτῶν 1
καὶ ἀπήγοντο καὶ τοὺς οἰκέτας καὶ τὰ χρήματα, ὅποι ἐδύναντο προσωτάτω· οἱ δὲ Ἕλληνες προσέμενον μὲν Κλέανδρον καὶ τὰς τριήρεις καὶ τὰ πλοῖα ὡς ἥξοντα, ἐξιόντες δ' ἑκάστης ἡμέρας σὺν τοῖς ὑποζυγίοις καὶ τοῖς ἀνδραπόδοις, ἐφέροντο ἀδεῶς πυροὺς καὶ κριθάς, οἶνον, ὅσπρια, μελίνας, σῦκα· ἅπαντα γὰρ ἀγαθὰ εἶχεν ἡ χώρα πλὴν ἐλαίου. καὶ ὁπότε μὲν καταμένοι τὸ 2
στράτευμα ἀναπαυόμενον, ἐξῆν ἐπὶ λείαν ἰέναι, καὶ ἐλάμβανον οἱ ἐξιόντες· ὁπότε δὲ ἐξίοι πᾶν τὸ στράτευμα, εἴ τις χωρὶς ἀπελθὼν λάβοι τι, δημόσιον ἔδοξεν

§. 30. Ἀπειρήκεσαν] Α'. ἐ. 3. — Ἀπαγορεύουσι.—Ἰτέον εἶναι] δεῖ ἰέναι.

§. 31. Πρανοῦς] κατωφερείας. — Νάπος ὑπεδέχετο] ρεματιὰ ἐκώλυεν ἢ ἀνθίστατο εἰς τὴν πορείαν αὐτῶν. Ἴδε ἀνωτέρω §. 12. — Προαπετράποντο] πρὶν φθάσωσιν ἐκεῖ, παρεκελεύσθησαν νὰ παύσωσι τὴν καταδίωξιν.

Κεφ. ς'. §. 1. Εἶχον ἀμφὶ τὰ ἑαυτῶν] ἠσχολοῦντο εἰς τὰς ἑαυτῶν ὑποθέσεις. Ε'. β'. 26.—Ὡς ἥξοντα] νομίζοντες ὅτι ἔμελλον νὰ ἔλθωσιν.

§. 2. Ὁπότε καταμένοι] ὁσάκις ἔμενεν ἐν τῷ στρατοπέδῳ. — Εἴ τις χωρὶς ἀπελθὼν] ὅστις, κατὰ μόνας (χωριστὰ) ἀπελθών.— Δημόσιον] κοινόν, ὅλου τοῦ στρατεύματος. — Ἔδοξε] δόγμα ἐποιήσαντο, ἀπεφάσισαν.

3 εἶναι. ἤδη δὲ ἦν πολλὴ πάντων ἀφθονία· καὶ γὰρ
ἀγοραὶ πάντοθεν ἀφικνοῦντο ἐκ τῶν Ἑλληνίδων πό-
λεων καὶ οἱ παραπλέοντες ἅσμενοι κατεῖχον, ἀκούον-
4 τες ὡς οἰκίζοιτο πόλις καὶ λιμὴν εἴη. ἔπεμπον δὲ καὶ
οἱ πολέμιοι ἤδη, οἳ πλησίον ᾤκουν, πρὸς Ξενοφῶντα,
ἀκούοντες ὅτι οὗτος πολίζει τὸ χωρίον, ἐρωτῶντες, ὅ τι
δέοι ποιοῦντας φίλους εἶναι. ὁ δ' ἐπεδείκνυεν αὐτοὺς
5 τοῖς στρατιώταις. καὶ ἐν τούτῳ Κλέανδρος ἀφικνεῖται
δύο τριήρεις ἔχων, πλοῖον δ' οὐδέν. ἐτύγχανε δὲ τὸ
στράτευμα ἔξω ὄν, ὅτε ἀφίκετο, καὶ ἐπὶ λείαν τινὲς οἰ-
χόμενοι ἄλλοι ἄλλῃ εἰς τὸ ὄρος εἰλήφεσαν πρόβατα
πολλά. ὀκνοῦντες δέ, μὴ ἀφαιρεθεῖεν, τῷ Δεξίππῳ
λέγουσιν, ὃς ἀπέδρα τὴν πεντηκόντορον ἔχων ἐκ Τρα-
πεζοῦντος, καὶ κελεύουσι, διασώσαντα αὐτοῖς τὰ πρό-
βατα, τὰ μὲν αὐτὸν λαβεῖν, τὰ δὲ σφίσιν ἀποδοῦναι.
6 εὐθὺς δ' ἐκεῖνος ἀπελαύνει τοὺς περιεστῶτας τῶν
στρατιωτῶν καὶ λέγοντας, ὅτι δημόσια εἴη, καὶ τῷ
Κλεάνδρῳ λέγει ἐλθών, ὅτι ἁρπάζειν ἐπιχειροῦσιν. ὁ
7 δὲ κελεύει τὸν ἁρπάζοντα ἄγειν πρὸς αὑτόν. καὶ ὁ
μὲν λαβὼν ἦγέ τινα· περιτυχὼν δ' Ἀγασίας ἀφαιρεῖται
—καὶ γὰρ ἦν αὐτῷ ὁ ἀγόμενος λοχίτης—οἱ δ' ἄλλοι
οἱ παρόντες τῶν στρατιωτῶν ἐπιχειροῦσι βάλλειν τὸν
Δέξιππον, ἀνακαλοῦντες τὸν προδότην. ἔδεισαν δὲ
καὶ τῶν τριηριτῶν πολλοὶ καὶ ἔφευγον εἰς τὴν θά-
8 λατταν, καὶ Κλέανδρος δ' ἔφευγε. Ξενοφῶν δὲ καὶ οἱ
ἄλλοι στρατηγοὶ κατεκώλυόν τε καὶ τῷ Κλεάνδρῳ ἔλε-
γον, ὅτι οὐδὲν εἴη πρᾶγμα, ἀλλὰ τὸ δόγμα αἴτιον εἴη
9 τὸ τοῦ στρατεύματος ταῦτα γενέσθαι. ὁ δὲ Κλέανδρος,
ὑπὸ τοῦ Δεξίππου τε ἀνερεθιζόμενος καὶ αὐτὸς ἀχθε-

§. 3. *Ἀγοραὶ*] ἔμποροι ἀγορὰν ἀπαρτίζοντες. — *Κατεῖχον*] τὰς ναῦς = ἤραζον.

§. 5. *Τριήρεις... πλοῖον*] τριήρης πολεμικὸν πλοῖον, πλοῖον δὲ τὸ φορτηγόν, πλοῖα μακρὰ τὰ πολεμικά. — *Ὀκνοῦντες*] Β'. γ'. 9. — *Ἀπέδρα*] Ἴδε Ε'. ά. 15.

§. 7. *Ἀγασίας*] ὁ Στυμφάλιος. Γ'. ά. 31. — *Καὶ γὰρ ἦν κτλ.*] καθόσον μάλιστα ὁ ἀγόμενος ἀνῆκεν εἰς τὸν ἑαυτοῦ λόχον. — *Ἀνακαλοῦντες τὸν προδότην*] ἀνακαλοῦντες εἰς τὴν μνήμην τῶν ὅτι αὐτὸς ἦτο αὐτόχρημα προδότης. Ε'. ά. 15.

§. 8. *Οὐδὲν εἴη πρᾶγμα*] οὐδεὶς κίνδυνος ἢ ὀνοκολία ὑπῆρχεν.

σθείς, ὅτι ἐφοβήθη, ἀποπλεύσεσθαι ἔφη καὶ κηρύ-
ξειν μηδεμίαν πόλιν δέχεσθαι αὐτούς, ὡς πολεμίους.
ἦρχον δὲ τότε πάντων τῶν Ἑλλήνων οἱ Λακεδαι-
μόνιοι. ἐνταῦθα πονηρὸν τὸ πρᾶγμα ἐδόκει εἶναι τοῖς 10
Ἕλλησι, καὶ ἐδέοντο μὴ ποιεῖν ταῦτα. ὁ δ' οὐκ ἂν
ἄλλως ἔφη γενέσθαι, εἰ μή τις ἐκδώσει τὸν ἄρξαντα
βάλλειν καὶ τὸν ἀφελόμενον. ἦν δέ, ὃν ἐξήτει, Ἀγασίας 11
διὰ τέλους φίλος τῷ Ξενοφῶντι· ἐξ οὗ καὶ διέβαλεν
αὐτὸν ὁ Δέξιππος. καὶ ἐντεῦθεν, ἐπειδὴ ἀπορία ἦν,
συνήγαγον τὸ στράτευμα οἱ ἄρχοντες· καὶ ἔνιοι μὲν
αὐτῶν παρ' ὀλίγον ἐποιοῦντο τὸν Κλέανδρον· τῷ δὲ
Ξενοφῶντι οὐκ ἐδόκει φαῦλον εἶναι τὸ πρᾶγμα, ἀλλ'
ἀναστὰς ἔλεξεν, Ὦ ἄνδρες στρατιῶται, ἐμοὶ δὲ οὐ φαῦ- 12
λον δοκεῖ εἶναι τὸ πρᾶγμα, εἰ ἡμῖν οὕτως ἔχων τὴν
γνώμην Κλέανδρος ἄπεισιν, ὥσπερ λέγει· εἰσὶ μὲν γὰρ
ἐγγὺς αἱ Ἑλληνίδες πόλεις· τῆς δὲ Ἑλλάδος Λακε-
δαιμόνιοι προεστήκασιν· ἱκανοὶ δέ εἰσι καὶ εἷς ἕκαστος
Λακεδαιμονίων ἐν ταῖς πόλεσιν, ὅ τι βούλονται, δια-
πράττεσθαι. εἰ οὖν οὗτος πρῶτον μὲν ἡμᾶς Βυζαν- 13
τίου ἀποκλείσει, ἔπειτα δὲ τοῖς ἄλλοις ἁρμοσταῖς πα-
ραγγελεῖ εἰς τὰς πόλεις μὴ δέχεσθαι ὡς ἀπιστοῦντας
Λακεδαιμονίοις καὶ ἀνόμους ὄντας, ἔτι δὲ πρὸς Ἀνα-
ξίβιον τὸν ναύαρχον οὗτος ὁ λόγος περὶ ἡμῶν ἥξει,
χαλεπὸν ἔσται καὶ μένειν καὶ ἀποπλεῖν· καὶ γὰρ ἐν τῇ
γῇ ἄρχουσι Λακεδαιμόνιοι καὶ ἐν τῇ θαλάττῃ τὸν νῦν
χρόνον. οὔκουν δεῖ οὔτε ἑνὸς ἀνδρὸς ἕνεκα οὔτε 14
δυοῖν ὑμᾶς τοὺς ἄλλους τῆς Ἑλλάδος ἀπέχεσθαι, ἀλλὰ
πειστέον ὅ τι ἂν κελεύωσι· καὶ γὰρ αἱ πόλεις ἡμῶν,
ὅθεν ἐσμέν, πείθονται αὐτοῖς. ἐγὼ μὲν οὖν—καὶ γὰρ 15
ἀκούω Δέξιππον λέγειν πρὸς Κλέανδρον, ὡς οὐκ ἂν

§. 10. *Τὸν ἄρξαντα βάλλειν*] τὸν στρατιώτην, ὅστις πρῶτος ἐλιθοβόλησεν. Ἴδε ἀνωτέρω, §. 7. — *Καὶ τὸν ἀφελόμενον*] τὸν Ἀγασίαν. Ἴδε αὐτόθι.

§. 11. *Παρ' ὀλίγον ἐποιοῦντο*] ὀλίγον τοῖς ἔμελε. — *Φαῦλον*] μικροῦ λόγου ἄξιον, μηδαμινόν.

§. 13. *Ἁρμοσταῖς*] Ε'. έ. 19. — *Ἄρχουσι*] τὴν ἡγεμονίαν ἔχουσιν. — *Καὶ γὰρ ἐν τῇ γῇ*] διότι καὶ κατὰ ξηράν.

§. 15. *Ἐγὼ μὲν οὖν*] ἀλλ' ὅπως καὶ ἂν ἔχωσι ταῦτα, ἐγὼ

ἐποίησεν Ἀγασίας ταῦτα, εἰ μὴ ἐγὼ αὐτὸν ἐκέλευσα— ἐγὼ μὲν οὖν ἀπολύω καὶ ὑμᾶς τῆς αἰτίας καὶ Ἀγασίαν, ἂν αὐτὸς Ἀγασίας φήσῃ ἐμέ τι τούτων αἴτιον εἶναι, καὶ καταδικάζω ἐμαυτοῦ, εἰ ἐγὼ πετροβολίας ἢ ἄλλου τινὸς βιαίου ἐξάρχω, τῆς ἐσχάτης δίκης ἄξιος εἶναι, καὶ
16 ὑφέξω τὴν δίκην. φημὶ δὲ καὶ εἴ τινα ἄλλον αἰτιᾶται, χρῆναι ἑαυτὸν παρασχεῖν Κλεάνδρῳ κρῖναι· οὕτω γὰρ ἂν ὑμεῖς ἀπολελυμένοι τῆς αἰτίας εἴητε. ὡς δὲ νῦν ἔχει, χαλεπόν, εἰ, οἰόμενοι ἐν τῇ Ἑλλάδι καὶ ἐπαίνου καὶ τιμῆς τεύξεσθαι, ἀντὶ δὲ τούτων οὐδ' ὅμοιοι τοῖς ἄλλοις ἐσόμεθα, ἀλλ' εἰρξόμεθα ἐκ τῶν Ἑλληνίδων πόλεων.
17 Μετὰ ταῦτα ἀναστὰς εἶπεν Ἀγασίας, Ἐγώ, ὦ ἄνδρες, ὄμνυμι θεοὺς καὶ θεὰς ἢ μὴν μήτε με Ξενοφῶντα κελεῦσαι ἀφελέσθαι τὸν ἄνδρα μήτε ἄλλον ὑμῶν μηδένα· ἰδόντι δέ μοι ἄνδρα ἀγαθὸν ἀγόμενον τῶν ἐμῶν λοχιτῶν ὑπὸ Δεξίππου, ὃν ὑμεῖς ἐπίστασθε ὑμᾶς προδόντα, δεινὸν ἔδοξεν εἶναι· καὶ ἀφειλόμην, ὁμολογῶ.
18 καὶ ὑμεῖς μὲν μὴ ἐκδῶτέ με· ἐγὼ δὲ ἐμαυτόν, ὥσπερ Ξενοφῶν λέγει, παρασχήσω κρίναντι Κλεάνδρῳ, ὅ τι ἂν βούληται, ποιῆσαι· τούτου ἕνεκα μήτε πολεμεῖτε Λακεδαιμονίοις, σώζοισθέ τε ἀσφαλῶς, ὅποι θέλει ἕκαστος. συμπέμψατε μέντοι μοι ὑμῶν αὐτῶν ἑλόμενοι πρὸς Κλέανδρον, οἵτινες, ἄν τι ἐγὼ παραλίπω, καὶ
19 λέξουσιν ὑπὲρ ἐμοῦ καὶ πράξουσιν. ἐκ τούτου ἔδωκεν ἡ στρατιὰ οὕστινας βούλοιτο προελόμενος ἰέναι. ὁ δὲ προείλετο τοὺς στρατηγούς. μετὰ ταῦτα ἐπορεύοντο πρὸς Κλέανδρον Ἀγασίας καὶ οἱ στρατηγοὶ καὶ ὁ ἀφαι-
20 ρεθεὶς ἀνὴρ ὑπὸ Ἀγασίου, καὶ ἔλεγον οἱ στρατηγοί, Ἔπεμψεν ἡμᾶς ἡ στρατιὰ πρὸς σέ, ὦ Κλέανδρε, καὶ

μέν. — *Καταδικάζω ἐαυτοῦ*] καταδικάζω ἐμαυτοῦ. Ἀσ. 108. 40. — *Τῆς ἐσχάτης δίκης*] τῆς ἐσχάτης ποινῆς.

§. 16. *Ἑαυτὸν παρασχεῖν κρῖναι*] ν' ἀφιερωθῇ εἰς τὴν κρίσιν τοῦ Κλεάνδρου. Β'. γ'. 22. — *Ἀντὶ δὲ τούτων*] ἀντὶ τούτων δή-

§ 17. *Ἦ μήν*] Β'. γ'. 26. — *Προδόντα*] Ε'. ά. 15.

§. 18. *Συμπέμψατε... οἵτινες*] συμπέμψατε ἄνδρας, οἵτινες λέξουσιν = ἵνα εἴπωσιν.

§. 20. *Καὶ ἐκέλευσέ σε*] = κελεύει σοι = ἀξιοῖ, ὡς λέγει κατωτέρω. — *Αἰτιᾷ*] αἰτίους θεω-

ἐκέλευσέ σε, εἴτε πάντας αἰτιᾷ, κρίναντα σὲ αὐτὸν χρῆσθαι ὅ τι ἂν βούλῃ, εἴτε ἕνα τινὰ ἢ δύο ἢ καὶ πλείους αἰτιᾷ, τούτους ἀξιοῦσι παρασχεῖν σοι ἑαυτοὺς εἰς κρίσιν. εἴτε οὖν ἡμῶν τινα αἰτιᾷ, πάρεσμέν σοι ἡμεῖς· εἴτε καὶ ἄλλον τινά, φράσον· οὐδεὶς γὰρ ἀπέσται, ὅστις ἂν ἡμῖν ἐθέλῃ πείθεσθαι. μετὰ ταῦτα παρελ- 21
θὼν ὁ Ἀγασίας εἶπεν, Ἐγώ εἰμι, ὦ Κλέανδρε, ὁ ἀφελόμενος, Δεξίππου ἄγοντος, τοῦτον τὸν ἄνδρα καὶ παίειν κελεύσας Δέξιππον· τοῦτον μὲν γὰρ οἶδα ἄνδρα 22
ἀγαθὸν ὄντα, Δέξιππον δὲ οἶδα, αἱρεθέντα ὑπὸ τῆς στρατιᾶς ἄρχειν τῆς πεντηκοντόρου, ἧς ἠτησάμεθα παρὰ Τραπεζουντίων, ἐφ' ᾧτε πλοῖα συλλέγειν ὡς σωζοίμεθα, καὶ ἀποδράντα Δέξιππον καὶ προδόντα τοὺς στρατιώτας, μεθ' ὧν ἐσώθη. καὶ τούς τε Τραπεζουν- 23
τίους ἀπεστερήκαμεν τὴν πεντηκόντορον καὶ κακοὶ δοκοῦμεν εἶναι διὰ τοῦτον, αὐτοί τε τὸ ἐπὶ τούτῳ ἀπολώλαμεν· ἦκουε γάρ, ὥσπερ ἡμεῖς, ὡς ἄπορον εἴη πεζῇ ἀπιόντας τοὺς ποταμούς τε διαβῆναι καὶ σωθῆναι εἰς τὴν Ἑλλάδα. τοῦτον οὖν, τοιοῦτον ὄντα, ἀφειλόμην. εἰ 24
δὲ σὺ ἦγες ἢ ἄλλος τις τῶν παρὰ σοῦ, καὶ μὴ τῶν παρ' ἡμῶν ἀποδράντων, εὖ ἴσθι, ὅτι οὐδὲν ἂν τούτων ἐποίησα. νόμιζε δ' ἐὰν ἐμὲ νῦν ἀποκτείνῃς, δι' ἄνδρα δειλόν τε καὶ πονηρὸν ἄνδρα ἀγαθὸν ἀποκτείνων.

Ἀκούσας ταῦτα ὁ Κλέανδρος, εἶπεν, ὅτι Δέξιππον 25
μὲν οὐκ ἐπαινοίη, εἰ ταῦτα πεποιηκὼς εἴη· οὐ μέντοι ἔφη νομίζειν, οὐδ' εἰ παμπόνηρος ἦν Δέξιππος, βίαν χρῆναι πάσχειν αὐτόν, ἀλλά, κριθέντα, ὥσπερ καὶ ὑμεῖς νῦν ἀξιοῦτε, τῆς δίκης τυχεῖν. νῦν οὖν ἄπιτε 26

ρεῖς, ἀξιοκατακρίτους θεωρεῖς. — *Παρασχεῖν εἰς κρίσιν*] ἴδε ἀνωτέρω, §. 16.

§. 22. *Τοῦτον μὲν γὰρ οἶδα*] τὸν στρατιώτην. — *Ἐφ' ᾧτε συλλέγειν*] ἐπὶ τῷ ὅρῳ νὰ συλλέγῃ. Ἀσ. 442. 69. — *Καὶ ἀποδράντα*] οἶδα ἀποδράντα, γινώσκω ὅτι ἀπέδρα.

§. 23. *Τὸ ἐπὶ τούτῳ*] τὸ κατ' αὐτόν, ὅσον ἐξηρτᾶτο ἀπ' αὐτοῦ.

§. 24. *Νόμιζε δὲ... ἀποκτείνων*] πίστευε ὅτι φονεύεις (θὰ φονεύσῃς). Ἀσ. 406. 36.

§. 25. *Ἀλλὰ κριθέντα... τῆς δίκης τυχεῖν*] ἀλλ' ἀφοῦ κριθῇ, νὰ τιμωρηθῇ προσηκόντως.

§. 26. *Οὗτος αὐτὸς ὁμολογεῖ*] αὐτὸς ὁ ἴδιος (ὁ στρατιώτης, ὅ-

καταλιπόντες τόνδε τὸν ἄνδρα. ὅταν δ' ἐγὼ κε-
λεύσω, πάρεστε πρὸς τὴν κρίσιν. αἰτιῶμαι δὲ οὔτε
τὴν στρατιὰν οὔτε ἄλλον οὐδένα ἔτι, ἐπεὶ οὗτος αὐ-
27 τὸς ὁμολογεῖ ἀφελέσθαι τὸν ἄνδρα. ὁ δὲ ἀφαιρεθεὶς
εἶπεν, Ἐγώ, ὦ Κλέανδρε, εἰ καὶ οἴει με ἀδικοῦντά τι
ἄγεσθαι, οὔτε ἔπαιον οὐδένα οὔτε ἔβαλλον, ἀλλ' εἶπον
ὅτι δημόσια εἴη τὰ πρόβατα· ἦν γὰρ τῶν στρατιωτῶν
δόγμα, εἴ τις, ὁπότε ἡ στρατιὰ ἐξίοι, ἰδίᾳ λήζοιτο, δη-
28 μόσια εἶναι τὰ ληφθέντα. ταῦτα εἶπον· ἐκ τούτου με
λαβὼν οὗτος ἦγεν, ἵνα μὴ φθέγγοιτο μηδείς, ἀλλ'
αὐτὸς λαβὼν τὸ μέρος διασώσειε τοῖς λησταῖς παρὰ
τὴν ῥήτραν τὰ χρήματα. πρὸς ταῦτα ὁ Κλέανδρος
εἶπεν, Ἐπεὶ τοίνυν τοιοῦτος εἶ, κατάμενε, ἵνα καὶ
περὶ σοῦ βουλευσώμεθα.

29 Ἐκ τούτου οἱ μὲν ἀμφὶ Κλέανδρον ἠρίστων· τὴν
δὲ στρατιὰν συνήγαγε Ξενοφῶν καὶ συνεβούλευε πεμ-
ψαι ἄνδρας πρὸς Κλέανδρον παραιτησομένους περὶ
30 τῶν ἀνδρῶν. ἐκ τούτου ἔδοξεν αὐτοῖς πέμψαντας στρα-
τηγοὺς καὶ λοχαγοὺς καὶ Δρακόντιον τὸν Σπαρτιάτην
καὶ τῶν ἄλλων οἳ ἐδόκουν ἐπιτήδειοι εἶναι, δεῖσθαι
31 Κλεάνδρου κατὰ πάντα τρόπον ἀφεῖναι τὼ ἄνδρε. ἐλ-
θὼν οὖν ὁ Ξενοφῶν λέγει, Ἔχεις μέν, ὦ Κλέανδρε,
τοὺς ἄνδρας, καὶ ἡ στρατιά σοι ὑφεῖτο ὅ τι ἐβούλου
ποιῆσαι καὶ περὶ τούτων καὶ περὶ ἑαυτῶν ἁπάντων·
νῦν δέ σε αἰτοῦνται καὶ δέονται δοῦναι σφίσι τὼ ἄν-
δρε καὶ μὴ κατακαίνειν· πολλὰ γὰρ ἐν τῷ ἔμπροσθεν

στις ἀφῄρεσε τὰ πρόβατα, §. 7.) ὁμολογεῖ ὅτι ἀφῄρεσε παρὰ τοῦ Δεξίππου τὰ πρόβατα.

§. 27. Ὁ ἀφαιρεθείς] ὁ στρατιώτης, ὃν ἀπέσπασεν ἀπὸ τοῦ Δεξίππου ὁ Ἀγασίας. — Δημόσια] Ἴδε ἀνωτέρω, §. 6.

§. 28. Διασώσειε τοῖς λησταῖς] διασώσῃ τὰ πρόβατα πρὸς ὄφελος τῶν ληστῶν (τῶν στρατιωτῶν, οἵτινες πρὸς ἴδιον ὄφελος ἐξῆλθον εἰς λαφυραγώγησιν). Ἴδε ἀνωτέρω, §. 5. — Παρὰ τὴν ῥήτραν] παρὰ τὸ ῥητὸν δόγμα τῶν στρατιωτῶν. Ἴδε ἀνωτέρω, §. 2.

§. 29. Οἱ ἀμφὶ Κλέανδρον] Α'. ἡ. 1. — Ἠρίστων] Α'. ι'. 19. — Παραιτησομένους] ἵνα παρακαλέσωσι. — Ἐπιτήδειοι] κατάλληλοι. Β'. γ'. 12

§ 31. Ἀφεῖναι τὼ ἄνδρε] νὰ συγχωρήσῃ τοὺς δύο ἄνδρας, τὸν Ἀγασίαν καὶ τὸν λοχίτην αὐτοῦ στρατιώτην. — Κατακαίνειν] Α'. θ'. 6.

χρόνῳ περὶ τὴν στρατιὰν ἐμοχθησάτην. ταῦτα δέ σου 32
τυγχόντες, ὑπισχνοῦνταί σοι ἀντὶ τούτων, ἢν βούλῃ
ἡγεῖσθαι αὐτῶν καὶ ἢν οἱ θεοὶ ἵλεῳ ὦσιν, ἐπιδείξειν
σοι καὶ ὡς κόσμιοί εἰσι καὶ ὡς ἱκανοί, τῷ ἄρχοντι πει-
θόμενοι, τοὺς πολεμίους σὺν τοῖς θεοῖς μὴ φοβεῖσθαι.
δέονται δέ σου καὶ τοῦτο, παραγενόμενον καὶ ἄρξαντα, 33
ἑαυτῶν πεῖραν λαβεῖν καὶ Δεξίππου καὶ σφῶν τῶν ἄλ-
λων, οἷος ἕκαστός ἐστι, καὶ τὴν ἀξίαν ἑκάστοις νεῖμαι.
ἀκούσας ταῦτα ὁ Κλέανδρος, Ἀλλὰ ναὶ τῷ σιώ, ἔφη, 34
ταχύ τοι ὑμῖν ἀποκρινοῦμαι. καὶ τώ τε ἄνδρε ὑμῖν
δίδωμι καὶ αὐτὸς παρέσομαι· καὶ ἢν οἱ θεοὶ παραδι-
δῶσιν, ἐξηγήσομαι εἰς τὴν Ἑλλάδα. καὶ πολὺ οἱ λό-
γοι οὗτοι ἀντίοι εἰσὶν ἢ οὓς ἐγὼ περὶ ὑμῶν ἐνίων
ἤκουον, ὡς τὸ στάτευμα ἀφίστατε ἀπὸ Λακεδαιμο-
νίων.

Ἐκ τούτου οἱ μέν, ἐπαινοῦντες, ἀπῆλθον ἔχοντες 35
τὼ ἄνδρε· Κλέανδρος δὲ ἐθύετο ἐπὶ τῇ πορείᾳ καὶ
συνῆν Ξενοφῶντι φιλικῶς καὶ ξενίαν συνεβάλοντο.
ἐπεὶ δὲ καὶ ἑώρα αὐτοὺς τὸ παραγγελλόμενον εὐτάκτως
ποιοῦντας, καὶ μᾶλλον ἔτι ἐπεθύμει ἡγεμὼν γενέσθαι
αὐτῶν. ἐπεὶ μέντοι θυομένῳ αὐτῷ ἐπὶ τρεῖς ἡμέρας 36
οὐκ ἐγίγνετο τὰ ἱερά, συγκαλέσας τοὺς στρατηγοὺς
εἶπεν, Ἐμοὶ μὲν οὐ τελέθει τὰ ἱερὰ ἐξάγειν· ὑμεῖς
μέντοι μὴ ἀθυμεῖτε τούτου ἕνεκα· ὑμῖν γάρ, ὡς ἔοικε,
δέδοται ἐκκομίσαι τοὺς ἄνδρας. ἀλλὰ πορεύεσθε. ἡ-
μεῖς δὲ ὑμᾶς, ἐπειδὰν ἐκεῖσε ἥκητε, δεξόμεθα ὡς ἂν
δυνώμεθα κάλλιστα.

Ἐκ τούτου ἔδοξε τοῖς στρατιώταις δοῦναι αὐτῷ 37
τὰ δημόσια πρόβατα· ὁ δέ, δεξάμενος, πάλιν αὐτοῖς
ἀπέδωκε. καὶ οὗτος μὲν ἀπέπλει· οἱ δὲ στρατιῶται,

§. 34. Ναὶ τὼ σιώ] Νὴ τὸ θεώ, τοὺς Διοσκούρους Κάστορα καὶ Πολυδεύκην, εἰς οὓς συνήθως ὠρκίζοντο οἱ Λακεδαιμόνιοι.

§. 35. Ξενίαν συνεβάλοντο] ὡμολόγουν νὰ εἶναι φίλοι.

§. 36. Οὐκ ἐθέλει γενέσθαι] = ἐπεὶ οὐκ ἤθελε γενέσθαι (καλὰ) = οὐκ ἐκαλλιέρει. Β'. β'. 3. — Ἐξάγειν] = ἐπ' ἐξόδῳ. ΣΤ'. δ'. 9. — Ἐπειδὰν ἐκεῖσε ἥκητε] εἰς Βυζάντιον. Ζ'. 1. 7.

§. 37. Διαθέμενοι τὸν σῖτον] πωλήσαντες τὸν σῖτον. Ζ'. γ'. 10.

διαθέμενοι τὸν σῖτον, ὃν ἦσαν συγκεκομισμένοι, καὶ τἆλλα, ἃ εἰλήφεσαν, ἐξεπορεύοντο διὰ τῶν Βιθυνῶν. 38 ἐπεὶ δὲ οὐδενὶ ἐνέτυχον πορευόμενοι τὴν ὀρθὴν ὁδόν, ὥστε ἔχοντές τι εἰς τὴν φιλίαν ἐλθεῖν, ἔδοξεν αὐτοῖς, τοὔμπαλιν ὑποστρέψαντας, ἐλθεῖν μίαν ἡμέραν καὶ νύκτα· τοῦτο δὲ ποιήσαντες, ἔλαβον πολλὰ καὶ ἀνδράποδα καὶ πρόβατα· καὶ ἀφίκοντο ἑκταῖοι εἰς Χρυσόπολιν τῆς Καλχηδονίας, καὶ ἐκεῖ ἔμειναν ἡμέρας ἑπτὰ λαφυροπωλοῦντες.

§. 38. *Οὐδενὶ ἐνέτυχον*] λήμματι = δὲν εὗρον λείαν τινα. — *Ἑκταῖοι*] τὴν ἕκτην ἡμέραν. — *Χρυσόπολιν*] τὸ νῦν Σκούταρι. — *Καλχηδονίας*] χώρας τῆς Βιθυνίας περὶ τὸ Σκούταρι, ὀνομασθείσης ἐκ τῆς πρωτευούσης αὐτῆς Χαλκηδόνος.

ΒΙΒΛΙΟΝ ΕΒΔΟΜΟΝ.

Ὅσα μὲν δὴ ἐν τῇ ἀναβάσει τῇ μετὰ Κύρου ἔπραξαν οἱ Ἕλληνες μέχρι τῆς μάχης, καὶ ὅσα ἐπεὶ Κῦρος ἐτελεύτησεν ἐν τῇ πορείᾳ μέχρι εἰς τὸν Πόντον ἀφίκοντο, καὶ ὅσα ἐκ τοῦ Πόντου πεζῇ ἐξιόντες καὶ ἐκπλέοντες ἐποίουν, μέχρι ἔξω τοῦ στόματος ἐγένοντο ἐν Χρυσοπόλει τῆς Ἀσίας, ἐν τῷ πρόσθεν λόγῳ δεδήλωται. ἐκ τούτου δὲ Φαρνάβαζος, φοβούμενος τὸ στράτευμα μὴ ἐπὶ τὴν αὐτοῦ ἀρχὴν στρατεύηται, πέμψας πρὸς Ἀναξίβιον τὸν ναύαρχον—ὁ δ' ἔτυχεν ἐν Βυζαντίῳ ὤν—ἐδεῖτο διαβιβάσαι τὸ στράτευμα ἐκ τῆς Ἀσίας, καὶ ὑπισχνεῖτο πάντα ποιήσειν αὐτῷ, ὅσα δέοι. καὶ ὁ Ἀναξίβιος μετεπέμψατο τοὺς στρατηγοὺς καὶ λοχαγοὺς τῶν στρατιωτῶν εἰς Βυζάντιον, καὶ ὑπισχνεῖτο, εἰ διαβαῖεν, μισθοφορὰν ἔσεσθαι τοῖς στρατιώταις. οἱ μὲν δὴ ἄλλοι ἔφασαν βουλευσάμενοι ἀπαγγελεῖν· Ξενοφῶν δὲ εἶπεν αὐτῷ, ὅτι ἀπαλλάξοιτο ἤδη ἀπὸ τῆς στρατιᾶς καὶ βούλοιτο ἀποπλεῖν. ὁ δὲ Ἀναξίβιος ἐκέλευσεν αὐτόν, συνδιαβάντα, ἔπειτα οὕτως ἀπαλλάττεσθαι. ἔφη οὖν ταῦτα ποιήσειν.

§. 1. *Μάχης*] τῆς εἰς τὰ παρὰ τὴν Βαβυλῶνα Κούναξα γενομένης. — *Ἔξω τοῦ στόματος*] ἔξω τοῦ Βοσπόρου. Τὸ δ' ἔξω ὡς πρὸς τοὺς κατοικοῦντας εἰς τὰ παράλια τοῦ Αἰγαίου. — *Ἐν τῷ πρόσθεν λόγῳ*] εἰς τὰ προηγούμενα βιβλία. Εἶπε δὲ μέχρι μὲν τῆς μάχης ἐν τῷ Α', μέχρι δὲ τῆς εἰς θάλασσαν ἀφίξεως ἐν τῷ Β', Γ' καὶ Δ', περὶ ὧν δ' ἔπραξαν μέχρι Χρυσοπόλεως ἐν τῷ Ε' καὶ ΣΤ'.

§. 2. *Ἀναξίβιον*] Ε'. ά. 4.

§. 4. *Ἀπαλλάξοιτο ἀπὸ τῆς στρατιᾶς*] θ' ἀποχωρισθῇ τοῦ στρατοῦ. — *Ἔπειτα οὕτως*] ἔπειτα, ἀφοῦ διαβιβάσῃ αὐτὸς τὸ στράτευμα.

5 Σεύθης δὲ ὁ Θρᾷξ πέμπει Μηδοσάδην καὶ κελεύει Ξενοφῶντα συμπροθυμεῖσθαι, ὅπως διαβῇ τὸ στράτευμα, καὶ ἔφη αὐτῷ, ταῦτα συμπροθυμηθέντι, ὅτι
6 οὐ μεταμελήσει. ὁ δ' εἶπεν, Ἀλλὰ τὸ μὲν στράτευμα διαβήσεται· τούτου ἕνεκα μηδὲν τελείτω μήτε ἐμοὶ μήτε ἄλλῳ μηδενί· ἐπειδὰν δὲ διαβῇ, ἐγὼ μὲν ἀπαλλάξομαι, πρὸς δὲ τοὺς διαμένοντας καὶ ἐπικαιρίους ὄντας προσφερέσθω, ὡς ἂν αὐτῷ δοκῇ ἀσφαλές.
7 Ἐκ τούτου διαβαίνουσι πάντες εἰς τὸ Βυζάντιον οἱ στρατιῶται. καὶ μισθὸν μὲν οὐκ ἐδίδου ὁ Ἀναξίβιος· ἐκήρυξε δὲ λαβόντας τὰ ὅπλα καὶ τὰ σκεύη τοὺς στρατιώτας ἐξιέναι, ὡς ἀποπέμψων τε ἅμα καὶ ἀριθμὸν ποιήσων. ἐνταῦθα οἱ στρατιῶται ᾔχθοντο, ὅτι οὐκ εἶχον ἀργύριον ἐπισιτίζεσθαι εἰς τὴν πορείαν, καὶ
8 ὀκνηρῶς συνεσκευάζοντο. καὶ ὁ Ξενοφῶν, Κλεάνδρῳ τῷ ἁρμοστῇ ξένος γεγενημένος, προσελθὼν ἠσπάζετο αὐτὸν ὡς ἀποπλευσόμενος ἤδη. ὁ δὲ αὐτῷ λέγει, Μὴ ποιήσῃς ταῦτα· εἰ δὲ μή, ἔφη, αἰτίαν ἕξεις, ἐπεὶ καὶ νῦν τινες ἤδη σὲ αἰτιῶνται, ὅτι οὐ ταχὺ ἐξέρπει
9 τὸ στράτευμα. ὁ δ' εἶπεν, Ἀλλ' αἴτιος μὲν ἔγωγε οὐκ εἰμὶ τούτου, οἱ δὲ στρατιῶται αὐτοί, ἐπισιτισμοῦ δεό-
10 μενοι, διὰ τοῦτο ἀθυμοῦσι πρὸς τὴν ἔξοδον. Ἀλλ' ὅμως, ἔφη, ἐγώ σοι συμβουλεύω ἐξελθεῖν μὲν ὡς πορευσόμενον· ἐπειδὰν δ' ἔξω γένηται τὸ στράτευμα,

§. 5. *Σεύθης*] υἱὸς Μαισάδου ἄρχοντος τῶν Μελανδιτῶν, Θυνῶν καὶ Τρανιψῶν, διάφορος τοῦ διαδεχθέντος τὸν Σιτάλκην εἰς τὴν βασιλείαν τῶν Ὀδρυσῶν. Ἴδε Ζ'. β. 32, γ. 16. Ἐν ζ'. 22 λέγεται βασιλεὺς ἀντὶ ἄρχων τιμῆς ἕνεκα. — *Μηδοσάδην*] ἕνα τῶν ὑπασπιστῶν του. — *Αὐτῷ συμπροθυμηθέντι*] ἂν προθυμηθῇ μετ' αὐτοῦ ἢ χάριν αὐτοῦ μετὰ τοῦ Ἀναξιβίου.

§. 6. *Μηδὲν τελείτω*] ἃς μὴ μετρήσῃ χρήματα. — Ἐπικαιρίους] τοὺς λοχαγοὺς καὶ στρατηγούς, τοὺς καταλλήλους νὰ φέρωσιν εἰς πέρας ὅσα διανοεῖται (ὁ Σεύθης). — *Προσφερέσθω*] ἃς φερθῇ, ὡς λέγει ἡ κοινή.

§. 7. *Ἀριθμὸν ποιήσων*] ἵνα, ὡς διενοεῖτο, ἀριθμήσῃ αὐτούς. Α'. β'. 9. — *Εἰς τὴν πορείαν*] ἵνα ἔχωσιν εἰς τὴν πορείαν.

§. 8. *Ξένος γεγενημένος*] ΣΤ'. στ'. 35. — *Αἰτίαν ἕξεις*] θὰ κατηγορηθῇς.

§. 10. *Ἐξελθεῖν ὡς πορευσόμενον*] νὰ ἐξέλθῃ ὡς μέλλων νὰ

τότε ἀπαλλάττεσθαι. Ταῦτα τοίνυν, ἔφη ὁ Ξενοφῶν, ἐλθόντες πρὸς Ἀναξίβιον διαπραξόμεθα. οὕτως ἐλθόντες ἔλεγον ταῦτα. ὁ δὲ ἐκέλευεν οὕτω ποιεῖν καὶ 11
ἐξιέναι τὴν ταχίστην συσκευασαμένους, καὶ προσανειπεῖν, ὃς ἂν μὴ παρῇ εἰς τὴν ἐξέτασιν καὶ εἰς τὸν ἀριθμόν, ὅτι αὐτὸς αὐτὸν αἰτιάσεται. ἐντεῦθεν ἐξῆσαν 12
οἵ τε στρατηγοὶ πρῶτοι καὶ οἱ ἄλλοι. καὶ ἄρδην πάντες πλὴν ὀλίγων ἔξω ἦσαν, καὶ Ἐτεόνικος εἱστήκει παρὰ τὰς πύλας ὡς, ὁπότε ἔξω γένοιντο πάντες, συγκλείσων τὰς πύλας καὶ τὸν μοχλὸν ἐμβαλών. ὁ δὲ 13
Ἀναξίβιος συγκαλέσας τοὺς στρατηγοὺς καὶ τοὺς λοχαγοὺς ἔλεξε, Τὰ μὲν ἐπιτήδεια, ἔφη, λαμβάνετε ἐκ τῶν Θρᾳκίων κωμῶν· εἰσὶ δὲ αὐτόθι πολλαὶ κριθαὶ καὶ πυροὶ καὶ τἆλλα ἐπιτήδεια· λαβόντες δὲ πορεύεσθε εἰς Χερρόνησον, ἐκεῖ δὲ Κυνίσκος ὑμῖν μισθοδοτήσει. ἐπακούσαντες δέ τινες τῶν στρατιωτῶν 14
ταῦτα — ἦ καὶ τῶν λοχαγῶν τις — διαγγέλλει εἰς τὸ στράτευμα. καὶ οἱ μὲν στρατηγοὶ ἐπυνθάνοντο περὶ τοῦ Σεύθου, πότερα πολέμιος εἴη ἢ φίλος, καὶ πότερα διὰ τοῦ Ἱεροῦ Ὄρους δέοι πορεύεσθαι ἢ κύκλῳ διὰ μέσης τῆς Θρᾴκης. ἐν ᾧ δὲ ταῦτα διελέγοντο, οἱ 15
στρατιῶται, ἁναρπάσαντες τὰ ὅπλα, θέουσι δρόμῳ πρὸς τὰς πύλας, ὡς πάλιν εἰς τὸ τεῖχος εἰσιόντες. ὁ δὲ Ἐτεόνικος καὶ οἱ σὺν αὐτῷ, ὡς εἶδον προσθέοντας τοὺς ὁπλίτας, συγκλείουσι τὰς πύλας καὶ τὸν μοχλὸν ἐμβάλλουσιν. οἱ δὲ στρατιῶται ἔκοπτον τὰς πύλας καὶ 16
ἔλεγον, ὅτι ἀδικώτατα πάσχοιεν ἐκβαλλόμενοι εἰς τοὺς πολεμίους· κατασχίσειν τε τὰς πύλας ἔφασαν, εἰ μὴ

διευθύνῃ τὴν πορείαν τοῦ στρατοῦ (ὡς ἀρχιστράτηγος ἐν τῇ πορείᾳ). — *Διαπραξόμεθα*] θέλομεν διαπραγματευθῆ.

§. 12. *Ἄρδην πάντες*] ὅλως διόλου πάντες. — *Τὸν μοχλὸν*] τὸν μάνδαλον, ὡς λέγει ἡ χυδαία, δι' οὗ κλείονται αἱ ἐξώθυραι.

§. 13. *Κυνίσκος*] λάκων, ὅστις διὰ πολέμου εἶχεν ὑποτάξει τὴν Θρᾳκικὴν Χερσόνησον.

§. 14. *Διὰ τοῦ Ἱεροῦ Ὄρους*] Κεῖται τοῦτο εἰς τὰ ὅρια τῆς Χερσονήσου καὶ τῆς ἰδίας Θρᾴκης. Ἴδε καὶ Ζ'. γ'. 3. — *Κύκλῳ*] ὁλόγυρα (ὡς πρὸς τὸ Ἱερὸν Ὄρος), περιτρέχοντες τὰς πρὸς τὴν Θρᾴκην ὑπωρείας τοῦ Ἱεροῦ Ὄρους. — *Διὰ μέσης τῆς Θρᾴκης*] διὰ μέσου τῆς Θρᾴκης.

17 ἑκόντες ἀνοίξουσιν. ἄλλοι δὲ ἔθεον ἐπὶ θάλατταν καὶ παρὰ τὴν χηλὴν τοῦ τείχους ὑπερβαίνουσιν εἰς τὴν πόλιν, ἄλλοι δὲ οἱ ἐτύγχανον ἔνδον ὄντες τῶν στρατιωτῶν, ὡς ὁρῶσι τὰ ἐπὶ ταῖς πύλαις πράγματα, διακόπτοντες ταῖς ἀξίναις τὰ κλεῖθρα ἀναπεταννύασι τὰς πύλας, οἱ δ' εἰσπίπτουσιν.

18 Ὁ δὲ Ξενοφῶν, ὡς εἶδε τὰ γιγνόμενα, δείσας μὴ ἐφ' ἁρπαγὴν τράποιτο τὸ στράτευμα καὶ ἀνήκεστα κακὰ γένοιτο τῇ πόλει καὶ ἑαυτῷ καὶ τοῖς στρατιώταις, ἔθει καὶ συνεισπίπτει εἴσω τῶν πυλῶν σὺν τῷ ὄχλῳ.

19 οἱ δὲ Βυζάντιοι, ὡς εἶδον τὸ στράτευμα βίᾳ εἰσπῖπτον, φεύγουσιν ἐκ τῆς ἀγορᾶς οἱ μὲν εἰς τὰ πλοῖα, οἱ δὲ οἴκαδε, ὅσοι δὲ ἔνδον ἐτύγχανον ὄντες, ἔξω ἔθεον, οἱ δὲ καθεῖλκον τὰς τριήρεις, ὡς ἐν ταῖς τριήρεσι σώζοιντο· πάντες δὲ ᾤοντο ἀπολωλέναι, ὡς ἁλωκυίας τῆς

20 πόλεως. ὁ δὲ Ἑτεόνικος εἰς τὴν ἄκραν ἀποφεύγει. ὁ δὲ Ἀναξίβιος καταδραμὼν ἐπὶ θάλατταν ἐν ἁλιευτικῷ πλοίῳ περιέπλει εἰς τὴν ἀκρόπολιν, καὶ εὐθὺς μεταπέμπεται ἐκ Καλχηδόνος φρουρούς· οὐ γὰρ ἱκανοὶ ἐδόκουν εἶναι οἱ ἐν τῇ ἀκροπόλει σχεῖν τοὺς ἄν-

21 δρας. οἱ δὲ στρατιῶται, ὡς εἶδον Ξενοφῶντα, προσπίπτουσιν πολλοὶ αὐτῷ καὶ λέγουσι, Νῦν σοι ἔξεστιν, ὦ Ξενοφῶν, ἀνδρὶ γενέσθαι. ἔχεις πόλιν, ἔχεις τριήρεις, ἔχεις χρήματα, ἔχεις ἄνδρας τοσούτους. νῦν ἄν, εἰ βούλοιο, σύ τε ἡμᾶς ὠνήσαις καὶ ἡμεῖς σε μέ-

22 γαν ποιήσαιμεν. ὁ δ' ἀπεκρίνατο, Ἀλλ' εὖ τε λέγετε καὶ ποιήσω ταῦτα· εἰ δὲ τούτων ἐπιθυμεῖτε, θέσθε

§. 17. *Χηλὴν*] τὸν σωρὸν τῶν λίθων, οὓς συνήθως συνεσώρευον πρὸ τοῦ τείχους, ἵνα προφυλάττωσιν αὐτὸ ἀπὸ τῶν προσβολῶν τῶν κυμάτων.

§. 18. *Ἀνήκεστα*] ἀνίατα. — *Σὺν τῷ ὄχλῳ* Γ. β'. 27.

§. 20. *Εἰς τὴν ἄκραν*] εἰς τὴν ἀκρόπολιν.—*Ἱκανοὶ... σχεῖν τοὺς ἄνδρας*] ἱκανοὶ νὰ καταστείλωσι τοὺς (εἰσορμήσαντας) στρατιώτας.

§. 21. *Ἀνδρὶ γενέσθαι*] νὰ ἀναδειχθῇς γενναῖος (νὰ δειξῃς ὅτι εἶσαι παλληκάρι, ὡς λέγει ἡ κοινή). Α'. ζ'. 4.

§. 22. *Θέσθε τὰ ὅπλα ἐν τάξει*] Α'. ἐ. 17.— *Βουλόμενος αὐτοὺς κατηρεμίσαι*] θέλων νὰ τοὺς καταπραΰνῃ. Φέρεται δὲ εἰς τὸ *ἀπεκρίνατο* = ὁ δέ, βουλόμενος αὐτοὺς κατηρεμίσαι, ἀπεκρίνατο. — *Παρεγγύα*] Α'. η'. 16.

τὰ ὅπλα ἐν τάξει ὡς τάχιστα — βουλόμενος αὐτοὺς κατηρεμίσαι — καὶ αὐτός τε παρηγγύα ταῦτα καὶ τοὺς ἄλλους ἐκέλευε παρεγγυᾶν τίθεσθαι τὰ ὅπλα. οἱ δέ, αὐτοὶ ὑφ' ἑαυτῶν ταττόμενοι, οἵ τε ὁπλῖται ἐν 23 ὀλίγῳ χρόνῳ εἰς ὀκτὼ ἐγένοντο καὶ οἱ πελτασταὶ ἐπὶ τὸ κέρας ἑκάτερον παρεδεδραμήκεσαν. τὸ δὲ χωρίον 24 οἷον κάλλιστον ἐκτάξασθαί ἐστι τὸ Θρᾴκιον καλούμενον, ἔρημον οἰκιῶν καὶ πεδινόν. ἐπεὶ δὲ ἔκειτο τὰ ὅπλα καὶ κατηρεμίσθησαν, συγκαλεῖ ὁ Ξενοφῶν τὴν στρατιὰν καὶ λέγει τάδε, Ὅτι μὲν ὀργίζεσθε, ὦ ἄν- 25 δρες στρατιῶται, καὶ νομίζετε δεινὰ πάσχειν ἐξαπατώμενοι, οὐ θαυμάζω. ἦν δὲ τῷ θυμῷ χαριζώμεθα καὶ Λακεδαιμονίους τε τοὺς παρόντας τῆς ἐξαπάτης τιμωρησώμεθα καὶ τὴν πόλιν τὴν οὐδὲν αἰτίαν διαρπάσωμεν, ἐνθυμεῖσθε, ἃ ἔσται ἐντεῦθεν· πολέμιοι 26 μὲν ἐσόμεθα ἀποδεδειγμένοι Λακεδαιμονίοις καὶ τοῖς συμμάχοις· οἷος δ' ὁ πόλεμος ἂν γένοιτο, εἰκάζειν δὴ πάρεστιν, ἑωρακότας καὶ ἀναμνησθέντας τὰ νῦν δὴ γεγενημένα· ἡμεῖς γὰρ οἱ Ἀθηναῖοι ἦλθομεν εἰς τὸν 27 πόλεμον τὸν πρὸς Λακεδαιμονίους καὶ τοὺς συμμάχους ἔχοντες τριήρεις, τὰς μὲν ἐν θαλάττῃ, τὰς δ' ἐν τοῖς νεωρίοις, οὐκ ἐλάττους τριακοσίων, ὑπαρχόντων δὲ πολλῶν χρημάτων ἐν τῇ πόλει καὶ προσόδου οὔσης κατ' ἐνιαυτὸν ἀπό τε τῶν ἐνδήμων καὶ ἐκ τῆς ὑπερορίας οὐ μεῖον χιλίων ταλάντων· ἄρχοντες δὲ τῶν

§. 23. *Εἰς ὀκτὼ ἐγένοντο*] ὀκτὼ κατὰ βάθος. Ἐτάχθησαν ἄρα ἐπὶ φάλαγγος. Α'. ς'. 6. καὶ ΣΤ'. ἐ. 5.

§. 24. *Τὸ δὲ χωρίον οἷον κάλλιστον ἐκτάξασθαι*] = χωρίον δὲ τοιοῦτον, ὥστε κάλλιστον εἶναι ἐκτάξασθαι = χωρίον δὲ τοιοῦτον, ὥστε νὰ εἶναι κάλλιστον εἰς παράταξιν. Κατ' ἀνακολουθίαν δ' ἐτέθη, φαίνεται, τὸ ἄρθρον *ἐν ἀρχῇ*. — *Τὸ Θρᾴκιον*] τὸ κατὰ τὰς *Θρᾳκίους* λεγομένας *πύλας*. Δίων Κάσσιος 74. 14.

§. 25. *Λακεδαιμονίους τῆς ἐξαπάτης τιμωρησώμεθα*] τιμωρήσωμεν τοὺς Λακεδαιμονίους διὰ τὴν ἀπάτην. Γ'. β'. 24. *Τοῦ ἀδόλως ἐκπέμψαι*. — *Ἔσται ἐντεῦθεν*] τί μέλλει νὰ προκύψῃ ἐκ τούτου. — *Πάρεστι*] Α'. ἐ. 6.

§. 27. *Ἔχοντες... ὑπαρχόντων*] ἡ πρώτη κατ' ὀνομαστικὴν ὡς ταυτοπρόσωπος, ἡ δευτέρα κατὰ γενικὴν ὡς ἑτεροπρόσωπος. — *Ἀπό τε τῶν ἐνδήμων*] τῶν εἰσοδημάτων τῆς Ἀττικῆς, φόρων, τελωνειακῶν τελῶν, μεταλλείων

νήσων ἁπασῶν καὶ ἔν τε τῇ Ἀσίᾳ πολλὰς ἔχοντες πόλεις καὶ ἐν τῇ Εὐρώπῃ ἄλλας τε πολλὰς καὶ αὐτὸ τοῦτο τὸ Βυζάντιον, ὅπου νῦν ἐσμεν, ἔχοντες, κατε-
28 πολεμήθημεν οὕτως, ὡς πάντες ὑμεῖς ἐπίστασθε. νῦν δὲ δὴ τί ἂν οἰόμεθα παθεῖν, Λακεδαιμονίοις μὲν καὶ τῶν ἀρχαίων συμμάχων ὑπαρχόντων, Ἀθηναίων δὲ καὶ οἱ ἐκείνοις τότε ἦσαν σύμμαχοι πάντων προσ-γεγενημένων, Τισσαφέρνους δὲ καὶ τῶν ἐπὶ θαλάττῃ ἄλλων βαρβάρων πάντων πολεμίων ἡμῖν ὄντων, πο-λεμιωτάτου δὲ αὐτοῖ τοῦ ἄνω βασιλέως, ὃν ἤλθομεν ἀφαιρησόμενοι τὴν ἀρχήν καὶ ἀποκτενοῦντες, εἰ δυ-ναίμεθα; τούτων δὴ πάντων ὁμοῦ ὄντων, ἔστι τις
29 οὕτως ἄφρων ὅστις οἴεται ἂν ἡμᾶς περιγενέσθαι; μὴ πρὸς θεῶν μαινώμεθα μηδ' αἰσχρῶς ἀπολώμεθα πο-λέμιοι ὄντες καὶ ταῖς πατρίσι καὶ τοῖς ἡμετέροις αὐτῶν φίλοις τε καὶ οἰκείοις—ἐν γὰρ ταῖς πόλεσίν εἰσι πάν-τες ταῖς ἐφ' ἡμᾶς στρατευσομέναις—καὶ δικαίως, εἰ βάρβαρον μὲν πόλιν οὐδεμίαν ἠθελήσαμεν κατασχεῖν, καὶ ταῦτα κρατοῦντες, Ἑλληνίδα δὲ εἰς ἣν πρώτην
30 πόλιν ἤλθομεν, ταύτην ἐξαλαπάξομεν. ἐγὼ μὲν τοί-νυν εὔχομαι, πρὶν ταῦτα ἐπιδεῖν ὑφ' ὑμῶν γενόμενα, μυρίας ἐμέ γε κατὰ γῆς ὀργυιὰς γενέσθαι. καὶ ὑμῖν δὲ συμβουλεύω, Ἕλληνας ὄντας, τοῖς τῶν Ἑλλήνων προεστηκόσι πειθομένους πειρᾶσθαι τῶν δικαίων τυγχάνειν. ἐὰν δὲ μὴ δύνησθε ταῦτα, ἡμᾶς δεῖ ,ἀδι-

κτλ. — Ὑπερορίας] χώρας = τῶν ὑποτελῶν χωρῶν, τῶν ἔξω τῶν ὁρίων τῆς Ἀττικῆς.

§. 28. Ἀθηναίων... προσγεγε-νημένων] προστεθέντων δὲ (τοῖς ἀρχαίοις) τῶν Ἀθηναίων καὶ πάν-των ἐκείνων, οἳ τότε (ἐπὶ τοῦ Πελοποννησιακοῦ πολέμου) ἦσαν σύμμαχοι αὐτῶν (τῶν Ἀθηναί-ων). — Τοῦ ἄνω βασιλέως] τοῦ βασιλέως τῆς Περσίας.

§. 29. Ἐν γὰρ ταῖς πόλεσίν εἰσι πάντες] διότι εἶναι πάντες (οἱ φίλοι ἡμῶν καὶ οἰκεῖοι) ὑπο-τελεῖς τῶν πόλεων, αἵτινες θὰ ἐκστρατεύσωσι καθ' ἡμῶν.— Καὶ ταῦτα] μολονότι. Α'. δ'. 12. — Ἐξαλαπάξομεν] ἐκπορθήσομεν. Ποιητικὴ ἡ λέξις.

§. 30. Πρὶν ἐπιδεῖν] πρὶν ζήσω νὰ ἴδω. — Μυρίας ἐμέ γε κατὰ γῆς ὀργυιὰς γενέσθαι] νὰ καταμελισθῶ καὶ τὰ μέλη μου νὰ διασκορπισθῶσιν εἰς μυρίων (ἀπείρων) ὀργυιῶν διάστημα. — Ἀ-δικουμένους] ἂν καὶ ἄδικα πάσχομεν. — Τῆς γοῦν Ἑλλάδος] τοὐλάχιστον τῆς Ἑλλάδος.

κουμένους, τῆς γοῦν Ἑλλάδος μὴ στέρεσθαι. καὶ νῦν 31
μοι δοκεῖ πέμψαντας Ἀναξιβίῳ εἰπεῖν, ὅτι ἡμεῖς οὐδὲν βίαιον ποιήσοντες παρεληλύθαμεν εἰς τὴν πόλιν, ἀλλ', ἢν μὲν δυνώμεθα, παρ' ὑμῶν ἀγαθόν τι εὑρίσκεσθαι, εἰ δὲ μή, ἀλλὰ δηλώσοντες, ὅτι οὐκ ἐξαπατώμενοι, ἀλλὰ πειθόμενοι ἐξερχόμεθα.

Ταῦτα ἔδοξε, καὶ πέμπουσιν Ἱερώνυμόν τε Ἠλεῖον 32
ἐροῦντα ταῦτα καὶ Εὐρύλοχον Ἀρκάδα καὶ Φιλήσιον Ἀχαιόν. οἱ μὲν ταῦτα ᾤχοντο ἐροῦντες.

Ἔτι δὲ καθημένων τῶν στρατιωτῶν, προσέρχεται 33
Κοιρατάδας Θηβαῖος, ὃς οὐ φεύγων τὴν Ἑλλάδα πε-ριῄει, ἀλλὰ στρατηγιῶν καὶ ἐπαγγελλόμενος, εἴ τις ἢ πόλις ἢ ἔθνος στρατηγοῦ δέοιτο· καὶ τότε προσελθὼν ἔλεγεν, ὅτι ἕτοιμος εἴη ἡγεῖσθαι αὐτοῖς εἰς τὸ Δέλτα καλούμενον τῆς Θράκης, ἔνθα πολλὰ κἀγαθὰ λή-ψοιντο· ἔστε δ' ἂν μόλωσιν, εἰς ἀφθονίαν παρέξειν ἔφη καὶ σῖτα καὶ ποτά. ἀκούουσι ταῦτα τοῖς στρατιώ- 34
ταις καὶ τὰ παρὰ Ἀναξιβίου ἅμα ἀπαγγελλόμενα — ἀπεκρίνατο γάρ, ὅτι πειθομένοις αὐτοῖς οὐ μεταμε-λήσει, ἀλλὰ τοῖς τε οἴκοι τέλεσι ταῦτα ἀπαγγελεῖ καὶ αὐτὸς βουλεύσοιτο περὶ αὐτῶν ὅ τι δύναιτο ἀγαθόν— ἐκ τούτου οἱ στρατιῶται τόν τε Κοιρατάδαν δέχονται 35
στρατηγὸν καὶ ἔξω τοῦ τείχους ἀπῆλθον. ὁ δὲ Κοι-ρατάδας συντίθεται αὐτοῖς εἰς τὴν ὑστεραίαν παρέ-σεσθαι ἐπὶ τὸ στράτευμα ἔχων καὶ ἱερεῖα καὶ μάντιν

§. 31. Ποιήσοντες παρεληλύ-θαμεν] εἰσήλθομεν νὰ πράξωμεν. — Παρ' ὑμῶν ἀγαθόν τι εὑρί-σκεσθαι] ζητήσαντες ν' ἀπολαύ-σωμεν. Β'. ά. 8.

§. 33. Καθημένων] ΣΤ'. β'. 5. — Κοιρατάδας] κατὰ τὰ τε-λευταῖα ἔτη τοῦ Πελοποννησιακοῦ πολέμου ἦτο στρατηγὸς τῶν Βοιωτῶν· περιελθὼν δέ, ἀλόντος τοῦ Βυζαντίου, εἰς τὴν ἐξουσίαν τῶν Ἀθηναίων, ἀπῆχθη εἰς τὰς Ἀθήνας, ὅθεν ἐδραπέτευσεν. Ξε-νοφ. Ἑλλην. Α'. 3. — Στρατη-γιῶν] ἐπιθυμῶν νὰ γείνῃ στρατηγός.— Εἰς τὸ Δέλτα] Ζ'. έ. 1. — Ἔστε δ' ἂν μόλωσιν] ἕως οὗ δ' ἔλθωσιν. Ὁμηρικὴ ἡ λέξις.

§. 34. Τοῖς οἴκοι τέλεσι] τοῖς ἐν Σπάρτῃ ἄρχουσι. Β'. στ'. 4.

§. 35. Ἐκ τούτου] ἀνακόλου-θον ἕνεκα τῆς παρενθέσεως. Τὸ δὲ ὅλον, Ἀκούουσι ταῦτα... ἔδοξε τόν τε Κοιρατάδαν δέχεσθαι στρατηγὸν καὶ ἔξω τοῦ τείχους ἀπελθεῖν.— Συντίθεται] Α'. θ'. 7.

36 καὶ σῖτα καὶ ποτὰ τῇ στρατιᾷ. ἐπεὶ δὲ ἐξῆλθον, ὁ
Ἀναξίβιος ἔκλεισε τὰς πύλας καὶ ἐκήρυξεν, ὃς ἂν ἁλῷ
37 ἔνδον ὢν τῶν στρατιωτῶν, ὅτι πεπράσεται. τῇ δ' ὑστεραίᾳ Κοιρατάδας μὲν ἔχων τὰ ἱερεῖα καὶ τὸν
μάντιν ἦκε, καὶ ἅλφιτα φέροντες εἵποντο αὐτῷ εἴκοσιν
ἄνδρες καὶ οἶνον ἄλλοι εἴκοσι καὶ ἐλαῶν τρεῖς καὶ
σκορόδων ἀνὴρ ὅσον ἐδύνατο μέγιστον φορτίον καὶ
ἄλλος κρομμύων. ταῦτα δὲ καταθέμενος, ὡς ἐπὶ
38 δάσμευσιν ἐθύετο. Ξενοφῶν δὲ μεταπεμψάμενος Κλέανδρον, ἐκέλευε διαπρᾶξαι, ὅπως εἰς τὸ τεῖχος εἰ-
39 σέλθοι καὶ ἀποπλεύσαι ἐκ Βυζαντίου. ἐλθὼν δ' ὁ Κλέανδρος, Μάλα μόλις, ἔφη, διαπραξάμενος ἦκω· λέγειν γὰρ Ἀναξίβιον, ὅτι οὐκ ἐπιτήδειον εἴη τοὺς
μὲν στρατιώτας πλησίον εἶναι τοῦ τείχους, Ξενοφῶντα δὲ ἔνδον· τοὺς Βυζαντίους δὲ στασιάζειν καὶ πο-
νηροὺς εἶναι πρὸς ἀλλήλους· ὅμως δὲ εἰσιέναι, ἔφη,
40 ἐκέλευεν, εἰ μέλλοις σὺν αὐτῷ ἐκπλεῖν. ὁ μὲν δὴ Ξενοφῶν ἀσπασάμενος τοὺς στρατιώτας εἴσω τοῦ
τείχους ἀπῆει σὺν Κλεάνδρῳ. ὁ δὲ Κοιρατάδας τῇ
μὲν πρώτῃ ἡμέρᾳ οὐκ ἐκαλλιέρει οὐδὲ διεμέτρησεν
οὐδὲν τοῖς στρατιώταις· τῇ δ' ὑστεραίᾳ τὰ μὲν ἱερεῖα
εἱστήκει παρὰ τὸν βωμὸν καὶ Κοιρατάδας ἐστεφανω-
μένος ὡς θύσων· προσελθὼν δὲ Τιμασίων ὁ Δαρδα-
νεὺς καὶ Νέων ὁ Ἀσιναῖος καὶ Κλεάνωρ ὁ Ὀρχομένιος
ἔλεγον Κοιρατάδᾳ μὴ θύειν, ὡς οὐχ ἡγησόμενον τῇ
41 στρατιᾷ, εἰ μὴ δώσει τὰ ἐπιτήδεια. ὁ δὲ κελεύει διαμετρεῖσθαι. ἐπεὶ δὲ πολλῶν ἐνέδει αὐτῷ, ὥστε ἡμέ-

§. 37. *Καὶ ἀνὴρ ὅσον ἐδύνατο μέγιστον φορτίον]* καὶ ἄλλος φέρων μέγιστον φορτίον, ὅσον ἠδύνατο ἀνὴρ φέρειν. — *Ὡς ἐπὶ δάσμευσιν]* ὡς ἵνα διανεμηθῶσι τοῖς στρατιώταις.

§. 38. *Ὅπως εἰς τὸ τεῖχος εἰσέλθοι]* ὁ Ξενοφῶν.

§. 39. *Λέγειν γὰρ Ἀναξίβιον]* διότι (εἶπεν ὁ Κλέανδρος) ὅτι ὁ Ἀναξίβιος ἔλεγεν. — *Ἐπιτήδειον]* ὠφέλιμον, εὐχάριστον. — *Εἰ μέλλοις]* σύ, ὁ Ξενοφῶν. *Ἀπὸ πλαγίου* ὁ λόγος ἔχειν ὀρθός. — *Σὺν αὐτῷ]* τῷ Ἀναξιβίῳ.

§. 40. *Ἐκαλλιέρει]* Β'. β'. 3. — *Ὡς οὐχ ἡγησόμενον]* τὸν Κοιρατάδαν. Εἶναι δὲ κατ' αἰτιατικὴν ὡς προσδιορίζον τὸ ὑποκείμενον τοῦ θύειν. Περὶ τοῦ ὡς ἴδε Α'. ά. 3. *ὡς ἀποκτενῶν.*

§. 41. *Πολλῶν ἐνέδει αὐτῷ]* ἐστερεῖτο πολλῶν. Ἦν αὐτῷ ἔνδεια πολλῶν. — *Ἀπειπών]* βαρυνθείς. Α'. ε. 3 *ἀπαγορεύουσιν.*

Κεφ. β'. §. 2. *Τὸ Λακεδαιμονίοις γένοιντο]* ἂν παραδοθῶσιν εἰς τοὺς Λακεδαιμονίους. — *Παντὸς ἂν προεστάναι τοῦ στρατεύματος]* ἤθελε γείνει ἀρχιστράτηγος. — *Πάλιν διαβῆναι]* ἐκ δευτέρου νὰ διαβῶσι διότι ἐκεῖθεν ἦλθον.

§. 3. *Ἀποδιδόμενοι κατὰ τοὺς χώρους]* πωλοῦντες εἰς τὰ χωρία. — *Οἱ δὲ καὶ διαδιδόντες τὰ ὅπλα κατὰ τοὺς χώρους εἰς τὰς πόλεις κατεμίγνυντο]* ὀλίγοι δὲ τινες (= οἱ δὲ καὶ Α'. ι'. 3), *διαμοιράσαντες τὰ ὅπλα κατὰ τὰ χωρία, κατεμίγνυντο τοῖς ἄλλοις ἐν ταῖς πόλεσιν.*

§. 4. *Διαφθειρόμενον τὸ στράτευμα]* ὅτι δηλαδὴ διεφθείρετο τὸ στράτευμα. *Ἐπεξηγεῖ τὸ ταῦτα.* — *Ὤρετο χαρίζεσθαι Φαρναβάζῳ]* ἐνόμιζεν ὅτι πράττει τι εὐχάριστον εἰς τὸν Φαρνάβαζον. *Διατί δέ, ἴδε ἀνωτέρω, ά. 2.*

§. 5. *Ὅσον οὐ]* ὅσον οὔπω = μετ' οὐ πολύ. Κυρίως, ὅσον οὔ = μόλις πρὸ ὀλίγου. — *Παρείη]* ἦλθεν, παρεγένετο.

ρας ὅτου ἕκαστῳ γενέσθαι τῶν στρατιωτῶν, ἀναλαβὼν τὰ ἱερεῖα ἀπῆει καὶ τὴν στρατηγίαν ἔπειπών.

β'. Νέων δὲ ὁ Ἀσιναῖος καὶ Φρυνίσκος ὁ Ἀχαιὸς 1
καὶ Φιλήσιος ὁ Ἀχαιὸς καὶ Ξανθικλῆς ὁ Ἀχαιὸς καὶ
Τιμασίων ὁ Δαρδανεὺς ἐπέμενον ἐπὶ τῇ στρατιᾷ, καὶ
εἰς κώμας τῶν Θρᾳκῶν προελθόντες τὰς κατὰ Βυζάντιον ἐστρατοπεδεύοντο. καὶ οἱ στρατηγοὶ ἐστασία- 2
ζον, Κλεάνωρ μὲν καὶ Φρυνίσκος πρὸς Σεύθην βουλόμενοι ἄγειν — ἔπειθε γὰρ αὐτούς, καὶ ἔδωκε τῷ
μὲν ἵππον, τῷ δὲ γυναῖκα — Νέων δὲ εἰς Χερρόνησον,
οἰόμενος, εἰ ὑπὸ Λακεδαιμονίοις γένοιντο, παντὸς ἂν
προεστάναι τοῦ στρατεύματος· Τιμασίων δὲ προὐθυμεῖτο πέραν εἰς τὴν Ἀσίαν πάλιν διαβῆναι, οἰόμενος ἂν οἴκαδε κατελθεῖν. καὶ οἱ στρατιῶται ταὐ- 3
τὰ ἐβούλοντο. διατριβομένου δὲ τοῦ χρόνου, πολλοὶ
τῶν στρατιωτῶν οἱ μὲν τὰ ὅπλα ἀποδιδόμενοι κατὰ
τοὺς χώρους ἀπέπλεον ὡς ἐδύναντο, οἱ δὲ καὶ [διαδόντες τὰ ὅπλα κατὰ τοὺς χώρους] εἰς τὰς πόλεις 4
κατεμίγνυντο. Ἀναξίβιος δ' ἔχαιρε ταῦτα ἀκούων,
διαφθειρόμενον τὸ στράτευμα· τούτων γὰρ γιγνομένων, ᾤετο μάλιστα χαρίζεσθαι Φαρναβάζῳ.

Ἀποπλέοντι δὲ Ἀναξιβίῳ ἐκ Βυζαντίου συναντᾷ 5
Ἀρίσταρχος ἐν Κυζίκῳ διάδοχος Κλεάνδρῳ Βυζαν-

τίου ἁρμοστής· ἐλέγετο δὲ ὅτι καὶ ναύαρχος διάδοχος
6 Πῶλος ὅσον οὐ παρείη ἤδη εἰς Ἑλλήσποντον. καὶ
Ἀναξίβιος τῷ μὲν Ἀριστάρχῳ ἐπιστέλλει, ὁπόσους
ἂν εὕρῃ ἐν Βυζαντίῳ τῶν Κύρου στρατιωτῶν ὑπο-
λελειμμένους, ἀποδόσθαι· ὁ δὲ Κλέανδρος οὐδένα
ἐπεπράκει, ἀλλὰ καὶ τοὺς κάμνοντας ἐθεράπευεν οἰ-
κτείρων καὶ ἀναγκάζων οἰκία δέχεσθαι· Ἀρίσταρχος
δ' ἐπεὶ ἦλθε τάχιστα, οὐκ ἐλάττους τετρακοσίων ἀ-
7 πέδοτο. Ἀναξίβιος δὲ παραπλεύσας εἰς Πάριον πέμ-
πει παρὰ Φαρνάβαζον κατὰ τὰ συγκείμενα. ὁ δ' ἐπεὶ
ᾔσθετο Ἀρίσταρχόν τε ἥκοντα εἰς Βυζάντιον ἁρμοστὴν
καὶ Ἀναξίβιον οὐκέτι ναυαρχοῦντα, Ἀναξιβίου μὲν ἠ-
μέλησε, πρὸς Ἀρίσταρχον δὲ διεπράττετο τὰ αὐτὰ περὶ
τοῦ Κυρείου στρατεύματος, ἅπερ πρὸς Ἀναξίβιον.
8 Ἐκ τούτου ὁ Ἀναξίβιος καλέσας Ξενοφῶντα κε-
λεύει πάσῃ τέχνῃ καὶ μηχανῇ πλεῦσαι ἐπὶ τὸ στρά-
τευμα ὡς τάχιστα καὶ συνέχειν τε αὐτὸ καὶ συναθροί-
ζειν τῶν διεσπαρμένων ὡς ἂν πλείστους δύνηται, καὶ
παραγαγόντα εἰς τὴν Πέρινθον διαβιβάζειν εἰς τὴν
Ἀσίαν ὅτι τάχιστα· καὶ δίδωσιν αὐτῷ τριακόντορον
καὶ ἐπιστολήν· καὶ ἄνδρα συμπέμπει κελεύσοντα τοὺς
Περινθίους ὡς τάχιστα Ξενοφῶντα προπέμψαι τοῖς
9 ἵπποις ἐπὶ τὸ στράτευμα. καὶ ὁ μὲν Ξενοφῶν δια-
πλεύσας ἀφικνεῖται ἐπὶ τὸ στράτευμα· οἱ δὲ στρα-
τιῶται ἐδέξαντο ἡδέως καὶ εὐθὺς εἵποντο ἄσμενοι ὡς
διαβησόμενοι ἐκ τῆς Θρᾴκης εἰς τὴν Ἀσίαν.
10 Ὁ δὲ Σεύθης, ἀκούσας ἥκοντα πάλιν, πέμψας
πρὸς αὐτὸν κατὰ θάλατταν Μηδοσάδην ἐδεῖτο τὴν
στρατιὰν ἄγειν πρὸς ἑαυτόν, ὑπισχνούμενος αὐτῷ,

§. 6. Ἀποδόσθαι] πωλῆσαι, πιπράσκειν, ὡς λέγει κατωτέρω. — Κάμνοντας] ἀσθενεῖς. Δ'. ἐ. 17.

§. 7. Εἰς Πάριον] πόλιν Μυσίας παράλιον μεταξὺ Κυζίκου καὶ Λαμψάκου. — Συγκείμενα] συμπεφωνημένα. Ἴδε ἀνωτέρω, ά. 2. — Διεπράττετο] διεπραγματεύετο.

§. 8. Πέρινθον] Β'. στ'. 2. — Προπέμψαι τοῖς ἵπποις] νὰ τὸν συνοδεύσωσι διὰ τῶν ἀναγκαίων ἵππων.

§. 10. Ἥκοντα πάλιν] ἐπανελθόντα (τὸν Ξενοφῶντα). — Πρὸς ἑαυτὸν] τὸν Σεύθην. — Ὑπισχνούμενος αὐτῷ] τῷ Ξενοφῶντι ὁ Μηδοσάδης. — Ὅ τι ᾤετο λέγων πείσειν] ἅπαντα ἐκεῖνα, δι' ὧν ἐνόμιζεν ὅτι ἔμελλε νὰ τὸν πείσῃ ὑποσχόμενος αὐτά.

§. 12. Ἔπραττε περὶ πλοίων] Ε'. στ'. 28. — Ὁ ἐκ Βυζαντίου ἁρμοστής] Α'. ά. 5. Οἱ ἀπὸ τῆς ἀγορᾶς. — Ἀπεῖπε] ἀπηγόρευσε. — Μὴ διάγειν] τὸ στράτευμα ἀπὸ τῆς Εὐρώπης εἰς Ἀσίαν.

§. 13. Ἐγὼ δὲ τῇδε] ἐγὼ δὲ ὧδε ἐν Περίνθῳ. Ἴδε Ζ'. στ'. 24. Φαίνεται ὅτι οὐ μόνον Βυζαντίου, ἀλλὰ καὶ Περίνθου ἁρμοστὴς ἦτο.

§. 14. Τοὺς μὲν προπέμπεται] τούτους μὲν (τοὺς ἄλλους στρατηγοὺς) ἔπεμψεν εἰς Ἀρίσταρχον.

§. 15. Εἰ παρεῖεν] ἂν ἐπέτρεπον. Εὐκτ. τοῦ παρίημι. — Ἐνθάδε δὲ] παρὰ τὸ τεῖχος τὸ Περινθίων. Ζ'. β'. 11. — Τῷ ἐκεῖ, τῷ ἐν Βυζαντίῳ, ὅστις ἦτο καὶ

ὅ τι ᾤετο λέγων πείσειν. ὁ δ' ἀπεκρίνατο, ὅτι οὐδὲν
οἷόν τε εἴη τούτων γενέσθαι. καὶ ὁ μὲν ταῦτα ἀκού- 11
σας ᾤχετο· οἱ δὲ Ἕλληνες, ἐπεὶ ἀφίκοντο εἰς Πέριν-
θον, Νέων μὲν ἀποσπάσας ἐστρατοπεδεύσατο χωρὶς
ἔχων ὡς ὀκτακοσίους ἀνθρώπους, τὸ δ' ἄλλο στρά-
τευμα πᾶν ἐν τῷ αὐτῷ παρὰ τὸ τεῖχος τὸ Περιν-
θίων ἦν.

Μετὰ ταῦτα Ξενοφῶν μὲν ἔπραττε περὶ πλοίων, 12
ὅπως ὅτι τάχιστα διαβαῖεν. ἐν δὲ τούτῳ ἀφικόμενος
Ἀρίσταρχος ὁ ἐκ Βυζαντίου ἁρμοστὴς ἔχων δύο τριή-
ρεις, πεπεισμένος ὑπὸ Φαρναβάζου, τοῖς τε ναυκλη-
ροις ἀπεῖπε μὴ διάγειν, ἐλθών τε ἐπὶ τὸ στράτευμα
τοῖς στρατιώταις εἶπε μὴ περαιοῦσθαι εἰς τὴν Ἀσίαν.
ὁ δὲ Ξενοφῶν ἔλεγεν, ὅτι Ἀναξίβιος ἐκέλευσε καὶ ἐμὲ 13
πρὸς τοῦτο ἔπεμψεν ἐνθάδε. πάλιν δ' Ἀρίσταρχος
ἔλεξεν, Ἀναξίβιος μὲν τοίνυν οὐκέτι ναύαρχος, ἐγὼ
δὲ τῇδε ἁρμοστής· εἰ δέ τινα ὑμῶν λήψομαι ἐν τῇ
θαλάττῃ, καταδύσω. ταῦτ' εἰπὼν ᾤχετο εἰς τὸ τεῖχος.
τῇ δ' ὑστεραίᾳ μεταπέμπεται τοὺς στρατηγοὺς καὶ 14
λοχαγοὺς τοῦ στρατεύματος. ἤδη δὲ ὄντων πρὸς τῷ
τείχει, ἐξαγγέλλει τις τῷ Ξενοφῶντι, ὅτι, εἰ εἴσεισι, συλ-
ληφθήσεται καὶ ἢ αὐτοῦ τι πείσεται ἢ καὶ Φαρναβάζῳ
παραδοθήσεται. ὁ δὲ ἀκούσας ταῦτα τοὺς μὲν προ-
πέμπεται, αὐτὸς δὲ εἶπεν, ὅτι θῦσαί τι βούλοιτο. καὶ 15
ἀπελθὼν ἐθύετο, εἰ παρεῖεν αὐτῷ οἱ θεοὶ πειρᾶσθαι
πρὸς Σεύθην ἄγειν τὸ στράτευμα· ἑώρα γὰρ οὔτε
διαβαίνειν ἀσφαλὲς ὄν, τριήρεις ἐχόντος τοῦ κωλύ-

σοντος, οὔτ' ἐπὶ Χερρόνησον ἐλθὼν κατακλεισθῆναι
ἐβούλετο καὶ τὸ στράτευμα ἐν πολλῇ σπάνει πάντων γε-
νέσθαι. ἔνθα δὴ πείθεσθαι μὲν ἀνάγκη τῷ ἐκεῖ ἁρμοστῇ,
τῶν δὲ ἐπιτηδείων οὐδὲν ἔμελλεν ἕξειν τὸ στράτευμα.
16 Καὶ ὁ μὲν ἀμφὶ ταῦτ' εἶχεν· οἱ δὲ στρατηγοὶ καὶ
λοχαγοὶ ἥκοντες παρὰ τοῦ Ἀριστάρχου ἀπήγγελλον, ὅτι
νῦν μὲν ἀπιέναι σφᾶς κελεύει, τῆς δείλης δὲ ἥκειν,
17 ἔνθα καὶ δήλη μᾶλλον ἐδόκει ἡ ἐπιβουλή. ὁ οὖν Ξε-
νοφῶν, ἐπεὶ ἐδόκει τὰ ἱερὰ καλὰ εἶναι αὐτῷ καὶ τῷ
στρατεύματι ἀσφαλῶς πρὸς Σεύθην ἰέναι, παραλαβὼν
Πολυκράτην τὸν Ἀθηναῖον λοχαγὸν καὶ παρὰ τῶν
στρατηγῶν ἑκάστου ἄνδρα—πλὴν παρὰ Νέωνος—ᾧ
ἕκαστος ἐπίστευεν, ᾤχετο τῆς νυκτὸς ἐπὶ τὸ Σεύθου
18 στράτευμα ἑξήκοντα στάδια. ἐπεὶ δ' ἐγγὺς ἦσαν αὐτοῦ,
ἐπιτυγχάνει πυροῖς ἐρήμοις. καὶ τὸ μὲν πρῶτον ᾤετο
μετακεχωρηκέναι ποι τὸν Σεύθην· ἐπεὶ δὲ θορύβου
τε ἤσθετο καί, σημαινόντων ἀλλήλοις τῶν περὶ Σεύ-
θην, κατέμαθεν, ὅτι τούτου ἕνεκα τὰ πυρὰ κεκαυμένα
εἴη τῷ Σεύθῃ πρὸ τῶν νυκτοφυλάκων, ὅπως οἱ μὲν
φύλακες μὴ ὁρῷντο, ἐν τῷ σκότει ὄντες, μήτε ὁπόσοι
μήτε ὅπου εἶεν, οἱ δὲ προσιόντες μὴ λανθάνοιεν, ἀλλὰ
19 διὰ τὸ φῶς καταφανεῖς εἶεν· ἐπεὶ δὲ ἤσθετο, προ-
πέμπει τὸν ἑρμηνέα, ὃν ἐτύγχανεν ἔχων, καὶ εἰπεῖν
κελεύει Σεύθῃ, ὅτι Ξενοφῶν πάρεστι βουλόμενος
συγγενέσθαι αὐτῷ. οἱ δὲ ἤροντο, εἰ ὁ Ἀθηναῖος ἀπὸ
20 τοῦ στρατεύματος. ἐπειδὴ δὲ ἔφη οὗτος εἶναι, ἀνα-
πηδήσαντες ἐδίωκον· καὶ ὀλίγον ὕστερον παρῆσαν
πελτασταὶ ὅσον διακόσιοι, καὶ παραλαβόντες Ξενο-

τῆς Περίνθου ἁρμοστής. Ζ'. β'. 13. — Ἔνθα δὴ] τότε.

§. 16. Ἀμφὶ ταῦτα εἶχε] Ε'. β'. 26. — Κελεύει] ἐκέλευσε.

§. 17. Ἄνδρα... ᾧ ἕκαστος ἐπίστευεν] ἐκεῖνον τὸν ἄνδρα, εἰς ὃν ἕκαστος (τῶν στρατηγῶν) εἶχεν ἐμπιστοσύνην.

§. 18. Ἡσθοντο] ἤκουσαν. — Σημαινόντων ἀλλήλοις] συνενοοῦντο πρὸς ἀλλήλους διὰ σαλπίγγων ἢ κεράτων. Β'. β'. 4.

§. 19. Συγγενέσθαι αὐτῷ] Α'. α'. 9. — Εἰ ὁ Ἀθηναῖος] ἐστί = ἂν εἶναι Ξενοφῶν ὁ Ἀθηναῖος.

§. 20. Ἀναπηδήσαντες] ἐπὶ τοὺς ἵππους = ἱππεύσαντες. — Ἐδίωκον] κατεσπευσμένως ἔτρεχον (πρὸς τὸν Σεύθην). Ἴδε καὶ ΣΤ'. ε. 25.

φῶντα καὶ τοὺς σὺν αὐτῷ ἦγον πρὸς Σεύθην. ὁ δ' 21
ἦν ἐν τύρσει μάλα φυλαττόμενος, καὶ ἵπποι περὶ αὐ-
τὴν κύκλῳ ἐγκεχαλινωμένοι· διὰ γὰρ τὸν φόβον τὰς
μὲν ἡμέρας ἐχίλου τοὺς ἵππους, τὰς δὲ νύκτας ἐγκεχα-
λινωμένοις ἐφυλάττετο· ἐλέγετο γὰρ καὶ πρόσθεν Τή- 22
ρης ὁ τούτου πρόγονος ἐν ταύτῃ τῇ χώρᾳ πολὺ ἔχων
στράτευμα ὑπὸ τούτων τῶν ἀνδρῶν πολλοὺς ἀπολέσαι
καὶ τὰ σκευοφόρα ἀφαιρεθῆναι· ἦσαν δ' οὗτοι Θυνοί,
πάντων λεγόμενοι εἶναι μάλιστα νυκτὸς πολεμικώ-
τατοι.

Ἐπεὶ δ' ἐγγὺς ἦσαν, ἐκέλευσεν εἰσελθεῖν Ξενο- 23
φῶντα ἔχοντα δύο, οὓς βούλοιτο. ἐπειδὴ δ' ἔνδον
ἦσαν, ἠσπάζοντο μὲν πρῶτον ἀλλήλους καὶ κατὰ τὸν
Θρᾴκιον νόμον κέρατα οἴνου προὔπινον· παρῆν δὲ
καὶ Μηδοσάδης τῷ Σεύθῃ, ὅσπερ ἐπρέσβευεν αὐτῷ
πάντοσε. ἔπειτα δὲ Ξενοφῶν ἤρχετο λέγειν, Ἔπεμψας 24
πρὸς ἐμέ, ὦ Σεύθη, εἰς Καλχηδόνα πρῶτον Μηδο-
σάδην τουτονί, δεόμενός μου συμπροθυμηθῆναι δια-
βῆναι τὸ στράτευμα ἐκ τῆς Ἀσίας, καὶ ὑπισχνούμενός
μοι, εἰ ταῦτα πράξαιμι, εὖ ποιήσειν, ὡς ἔφη Μηδο-
σάδης οὗτος. ταῦτα εἰπὼν ἐπήρετο τὸν Μηδοσάδην, 25
εἰ ἀληθῆ ταῦτ' εἴη. ὁ δ' ἔφη. Αὖθις ἦλθε Μηδοσά-
δης οὗτος, ἐπεὶ ἐγὼ διέβην πάλιν ἐπὶ τὸ στράτευμα ἐκ
Παρίου, ὑπισχνούμενος, εἰ ἄγοιμι τὸ στράτευμα πρὸς
σέ, τἆλλα τέ σε φίλῳ μοι χρήσεσθαι καὶ ἀδελφῷ καὶ τὰ
παρὰ θαλάττῃ μοι χωρία, ὧν σὺ κρατεῖς, ἔσεσθαι παρὰ

§. 21. Τύρσει] Α'. δ'. 2. — Μάλα φυλαττόμενος] πολλοὺς ἔχων φύλακας. — Ἐχίλου] ἄφινεν εἰς τὸν χειλῶν, νὰ νέμωνται. Α'. ε. 7.

§. 22. Τήρης] ὁ πατὴρ τοῦ Σιτάλκου, ὅστις πρῶτος ἐπεξέτεινε τῶν Ὀδρυσσῶν τὴν μεγάλην βασιλείαν ἐπὶ τῆς ἄλλης Θρᾴκης περισσότερον παντὸς ἄλλου. Θουκυδ. Β'. 29. — Ὑπὸ τούτων] τῶν Θυνῶν, οἵτινες κατῴκουν τὴν Θυνιάδα ἀπὸ Ἀπολλωνίας ἕως Σαλμυδησσοῦ.

§. 23. Κέρατα οἴνου προὔπινον] ἔπινον ἐπευχόμενοι ἀλλήλοις διὰ ποτηρίων ἐκ κεράτων βοείων κατεσκευασμένων. Ἀθην. ΙΑ'. 7. — Ἐπρέσβευεν αὐτῷ πάντοσε] ἐστέλλετο ὑπ' αὐτοῦ πρεσβευτὴς παντοῦ, ὅπου ἀνάγκη ἦτο.

§. 25. Ὁ δ' ἔφη] ταῦτα ἀληθῆ εἶναι. Ἐκεῖνος δ' ὡμολόγησεν. Οὕτω καὶ τὸ κατωτέρω, § 26, συνέφη

σοῦ. ἐπὶ τούτοις πάλιν ἤρετο τὸν Μηδοσάδην, εἰ 26
ἔλεγε ταῦτα· ὁ δὲ συνέφη καὶ ταῦτα. Ἴθι νῦν, ἔφη,
ἀφήγησαι τούτῳ, τί σοι ἀπεκρινάμην ἐν Καλχηδόνι
πρῶτον.—Ἀπεκρίνω, ὅτι τὸ στράτευμα διαβήσοιτο εἰς 27
Βυζάντιον καὶ οὐδὲν τούτου ἕνεκα δέοι τελεῖν οὔτε
σοὶ οὔτε ἄλλῳ· αὐτὸς δέ, ἐπεὶ διαβαίης, ἀπιέναι ἔφης-
θα· καὶ ἐγένετο οὕτως, ὥσπερ σὺ ἔλεγες. — Τί γὰρ 28
ἔλεγον, ἔφη, ὅτε κατὰ Σηλυβρίαν ἀφίκου;—Οὐκ ἔφης-
θα οἷόν τε εἶναι, ἀλλ' εἰς Πέρινθον ἐλθόντας δια-
βαίνειν εἰς τὴν Ἀσίαν.—Νῦν τοίνυν, ἔφη ὁ Ξενοφῶν, 29
πάρειμι καὶ ἐγὼ καὶ οὗτος Φρυνίσκος εἷς τῶν στρατη-
γῶν καὶ Πολυκράτης οὗτος εἷς τῶν λοχαγῶν, καὶ ἔξω
εἰσὶν ἀπὸ τῶν στρατηγῶν ὁ πιστότατος ἑκάστῳ πλὴν
Νέωνος τοῦ Ἀκωνικοῦ. εἰ οὖν βούλει πιστοτέραν 30
εἶναι τὴν πρᾶξιν, καὶ ἐκείνους κάλεσαι· τὰ δὲ ὅπλα
σὺ ἐλθὼν εἰπέ, ὦ Πολύκρατες, ὅτι ἐγὼ κελεύω κατα-
λιπεῖν, καὶ αὐτὸς ἐκεῖ καταλιπὼν τὴν μάχαιραν εἴσιθι.
Ἀκούσας ταῦτα ὁ Σεύθης εἶπεν, ὅτι οὐδενὶ ἂν 31
ἀπιστήσειεν Ἀθηναίων· καὶ γάρ, ὅτι συγγενεῖς εἶεν, εἰ-
δέναι καὶ φίλους εὔνους ἔφη νομίζειν. μετὰ ταῦτα
δ' ἐπεὶ εἰσῆλθον οὓς ἔδει, πρῶτον Ξενοφῶν ἐπήρετο
Σεύθην, ὅ τι δέοιτο χρῆσθαι τῇ στρατιᾷ. ὁ δὲ εἶπεν 32
ὧδε, Μαισάδης ἦν πατήρ μοι· ἐκείνου δὲ ἦν ἀρχὴ
Μελανδῖται καὶ Θυνοὶ καὶ Τρανίψαι. ἐκ ταύτης οὖν

§. 26. Ἀφήγησαι] σύ. Πρὸς τὸν Μηδοσάδην ἔστρεψε τὸν λόγον ἤδη.

§. 27. Αὐτὸς δὲ] σὺ δ' αὐτὸς (ὁ Ξενοφῶν). — Σηλυβρίαν] πόλιν μεταξὺ Περίνθου καὶ Βυζαντίου.

§. 29. Πλὴν Νέωνος] ὁ πιστότατος ἑκάστῳ στρατηγῷ εἰλημμένος ἀπὸ τῶν στρατιωτῶν πάντων τῶν ἄλλων στρατηγῶν πλὴν τοῦ Νέωνος. Δηλαδὴ μόνον ἐκ τῶν τοῦ Νέωνος στρατιωτῶν δὲν ἐλήφθη ὁ πιστότατος.

§. 30. Καὶ ἐκείνους] τοὺς πιστοτάτους ἑκάστῳ τῶν στρατηγῶν· Ζ'. β'. 17 καὶ 23.

§. 31. Συγγενεῖς] Τήρης τις, ἀρχαῖος τῆς Θρᾴκης βασιλεύς, ὅστις εἶχε νυμφευθῇ τὴν Πρόκνην, θυγατέρα τοῦ Πανδίονος βασιλέως τῶν Ἀθηνῶν. Ἀπολλόδ. Γ'. ιδ'. 8. Καὶ ταύτην τὴν συγγένειαν ἐννοεῖ βεβαίως. Πρὸς τοῦτον δὲ οὐδεμίαν ἔχει συγγένειαν ὁ ἀνωτέρω, §. 22, Τήρης, καθ' ἃ λέγει ὁ Θουκυδίδης ἐν Β'. 29.

§. 32. Μελανδῖται] κάτοικοι τῆς Μελανδίας, χώρος τῆς Σι-

τῆς χώρας, ἐπεὶ τὰ Ὀδρυσῶν πράγματα ἐνόσησεν, ἐκ-
πεσὼν ὁ πατήρ, αὐτὸς μὲν ἀποθνήσκει νόσῳ, ἐγὼ δ'
ἐξετράφην ὀρφανὸς παρὰ Μηδόκῳ τῷ νῦν βασιλεῖ.
ἐπεὶ δὲ νεανίσκος ἐγενόμην, οὐκ ἐδυνάμην ζῆν εἰς 33
ἀλλοτρίαν τράπεζαν ἀποβλέπων· καὶ ἐκαθεζόμην ἐν-
δίφριος αὐτῷ ἱκέτης δοῦναί μοι, ὁπόσους δυνατὸς εἴη
ἄνδρας, ὅπως καὶ τοὺς ἐκβαλόντας ἡμᾶς, εἴ τι δυναί-
μην, κακὸν ποιοίην καὶ ζῴην μὴ εἰς τὴν ἐκείνου τρά-
πεζαν ἀποβλέπων (ὥσπερ κύων). ἐκ τούτου μοι δίδωσι 34
τοὺς ἄνδρας καὶ τοὺς ἵππους, οὓς ὑμεῖς ὄψεσθε, ἐπει-
δὰν ἡμέρα γένηται. καὶ νῦν ἐγὼ ζῶ τούτους ἔχων,
ληζόμενος τὴν ἐμαυτοῦ πατρῴαν χώραν. εἰ δέ μοι
ὑμεῖς παραγένοισθε, οἶμαι ἂν σὺν τοῖς θεοῖς ῥᾳδίως
ἀπολαβεῖν τὴν ἀρχήν. ταῦτ' ἐστίν, ἃ ἐγὼ ὑμῶν δέομαι.
Τί ἂν οὖν, ἔφη ὁ Ξενοφῶν, σὺ δύναιο, εἰ ἔλθοι- 35
μεν, τῇ τε στρατιᾷ διδόναι καὶ τοῖς λοχαγοῖς καὶ τοῖς
στρατηγοῖς; λέξον, ἵνα οὗτοι ἀπαγγέλλωσιν. ὁ δ' 36
ὑπέσχετο τῷ μὲν στρατιώτῃ κυζικηνόν, τῷ δὲ λοχαγῷ
δι μοιρίαν, τῷ δὲ στρατηγῷ τετραμοιρίαν καὶ γῆν,
ὁπόσην ἂν βούλωνται, καὶ ζεύγη καὶ χωρίον ἐπὶ θα-
λάττῃ τετειχισμένον. Ἐὰν δέ, ἔφη ὁ Ξενοφῶν, ταῦτα 37
πειρώμενοι μὴ διαπράξωμεν, ἀλλά τις φόβος ἀπὸ Λα-
κεδαιμονίων ᾖ, δέξει εἰς τὴν σεαυτοῦ, ἐάν τις ἀπιέναι
βούληται παρὰ σέ; ὁ δ' εἶπε, Καὶ ἀδελφούς γε ποιή- 38
σομαι καὶ ἐνδιφρίους καὶ κοινωνοὺς ἁπάντων ὧν ἂν
δυνώμεθα κτᾶσθαι. σοὶ δέ, ὦ Ξενοφῶν, καὶ θυγα-

θωνίας παρὰ τὴν Προποντίδα, μεταξὺ Ρηγίου καὶ Σηλυβρίας. — Θυνοὶ] Θρᾳκικὸς λαός, ἐξ οὗ λέγονται οἱ ἐν Μικρᾷ Ἀσίᾳ Βιθυνοί. — Τρανίψαι ἔθνος Θρᾳκικόν. — Ὀδρυσῶν] Ἴδε Ζ'. ά. 5. — Ἐνόσησεν] ἔπαθον ἕνεκα στάσεως. — Μηδόκῳ] ἄλλοι λέγουσι τοῦτον καὶ Ἀμάδοκον.

§. 33. Εἰς ἀλλοτρίαν τράπεζαν ἀποβλέπων] παράσιτος. — Ἐκαθεζόμην ἐνδίφριος ἱκέτης] κατέφυγον ἱκέτης ἐν τῷ δίφρῳ αὐτοῦ, ἱκέτευον, εἰς τὸν δίφρον του καταφυγών.

§. 36. Κυζικηνόν] Ε'. στ'. 23. — Δι μοιρίαν] διπλάσιον μέρος.

§. 37. Ὠνήσομαι Θρᾳκίῳ νόμῳ] θὰ τὴν ἀγοράσω κατὰ τὸ ἐπικρατοῦντα παρὰ Θρᾳξὶν ἔθιμα. Σημειωτέον δ' ὅτι καὶ οἱ Ἕλληνες εἰς παλαιτάτην ἐποχὴν ἠγόραζον τὰς γυναῖκας. Ἴδε Ἡρόδ. Ε', 6, καὶ Ἀριστοτέλ. Πολιτ. Β',

τέρα δώσω καὶ εἴ τίς σοι ἔστι θυγάτηρ, ὠνήσομαι Θρακίῳ νόμῳ, καὶ Βισάνθην οἴκησιν δώσω, ὅπερ ἐμοὶ κάλλιστον χωρίον ἐστὶ τῶν ἐπὶ θαλάττῃ.

1 γ'. Ἀκούσαντες ταῦτα καὶ δεξιὰς δόντες καὶ λαβόντες ἀπήλαυνον· καὶ πρὸ ἡμέρας ἐγένοντο ἐπὶ στρατοπέδῳ
2 καὶ ἀπήγγειλαν ἕκαστοι τοῖς πέμψασιν. ἐπεὶ δὲ ἡμέρα ἐγένετο, ὁ μὲν Ἀρίσταρχος πάλιν ἐκάλει τοὺς στρατηγοὺς καὶ λοχαγούς. τοῖς δ' ἔδοξε τὴν μὲν πρὸς Ἀρίσταρχον ὁδὸν ἐᾶσαι, τὸ δὲ στράτευμα συγκαλέσαι. καὶ συνῆλθον πάντες πλὴν οἱ Νέωνος· οὗτοι δὲ ἀπεῖ-
3 χον ὡς δέκα στάδια. ἐπεὶ δὲ συνῆλθον, ἀναστὰς Ξενοφῶν εἶπε τάδε, Ἄνδρες, διαπλεῖν μὲν ἔνθα βουλόμεθα, Ἀρίσταρχος τριήρεις ἔχων κωλύει. ὥστε εἰς πλοῖα οὐκ ἀσφαλὲς ἐμβαίνειν· οὗτος δὲ αὐτὸς κελεύει εἰς Χερρόνησον βίᾳ διὰ τοῦ ἱεροῦ ὄρους πορεύεσθαι· ἣν δὲ κρατήσαντες τούτου ἐκεῖσε ἔλθωμεν, οὔτε πωλήσειν ἔτι ὑμᾶς φησιν, ὥσπερ ἐν Βυζαντίῳ, οὔτε ἐξαπατήσεσθαι ἔτι ὑμᾶς, ἀλλὰ λήψεσθαι μισθόν, οὔτε περιόψεσθαι ἔτι, ὥσπερ νυνί, δεομένους τῶν ἐπιτη-
4 δείων. οὗτος μὲν ταῦτα λέγει· Σεύθης δέ φησιν, ἂν πρὸς ἐκεῖνον ἴητε, εὖ ποιήσειν ὑμᾶς. νῦν οὖν σκέψασθε, πότερον ἐνθάδε μένοντες τοῦτο βουλεύσεσθε
5 ἢ εἰς τὰ ἐπιτήδεια ἐπανελθόντες. ἐμοὶ μὲν οὖν δοκεῖ, ἐπεὶ ἐνθάδε οὔτε ἀργύριον ἔχομεν ὥστε ἀγοράζειν οὔτε ἄνευ ἀργυρίου ἐῶσι λαμβάνειν, ἐπανελθόντας εἰς τὰς κώμας, ὅθεν οἱ ἥττους ἐῶσι λαμβάνειν, ἐκεῖ ἔχοντας τὰ ἐπιτήδεια, ἀκούοντας ὅ τι τις ὑμῶν δεῖ-

8. Καὶ σήμερον δὲ πολλαχοῦ οἱ ἄνδρες δίδουσι προῖκα ἢ ταῖς ἰδίαις γυναιξὶν ἢ καὶ τοῖς γονεῦσιν αὐτῶν. — Βισάνθην] τὴν ἔπειτα Ραιδεστόν, νῦν δὲ κοινῶς Ροδοστὸν μετονομασθεῖσαν.

Κεφ. γ'. §. 1. Δεξιὰς δόντες καὶ λαβόντες] Α'. στ'. 6. — Ἕκαστοι] οἱ παρ' ἑκάστου τῶν στρατηγῶν πεμφθέντες. Ζ'. β'. 17.

§. 3. Ὥσπερ ἐν Βυζαντίῳ] ὥσπερ (ἀπειλεῖ πωλήσειν ἡμᾶς, ἂν μένωμεν) ἐν Βυζαντίῳ, Ζ', ά, 36, καὶ β'. 6. — Πωλήσειν κτλ.] λέγει Ἀναξίβιος ὅτι οὔτε αὐτὸς θὰ σᾶς πωλήσῃ... οὔτε σεῖς θὰ ἐξαπατηθῆτε, ἀλλὰ θὰ λάβητε... οὔτε θὰ σᾶς παραβλέψῃ ἔχοντας ἀνάγκην τῶν τροφίμων.

§. 5. Οἱ ἥττους] οἱ ὑποδεέστεροι ἡμῶν, οἱ μὴ δυνάμενοι νὰ ἀντεπεξέλθωσι καθ' ἡμῶν.

ται αἱρεῖσθαι ὅ τι ἂν ὑμῖν δοκῇ κράτιστον εἶναι. καὶ ὅτῳ, ἔφη, ταῦτα δοκεῖ, ἀράτω τὴν χεῖρα. ἀνέ- 6
τειναν ἅπαντες. Ἀπιόντις τοίνυν, ἔφη, συσκευάζεσθε καί, ἐπειδὰν παραγγέλῃ τις, ἕπεσθε τῷ ἡγουμένῳ.

Μετὰ ταῦτα Ξενοφῶν μὲν ἠγεῖτο, οἱ δ' εἵποντο. 7
Νέων δὲ καὶ παρ' Ἀριστάρχου ἄλλοι ἔπειθον ἀποτρέπεσθαι· οἱ δ' οὐχ ὑπήκουον. ἐπεὶ δ' ὅσον τριάκοντα σταδίους προεληλύθεσαν, ἀπαντᾷ Σεύθης. καὶ ὁ Ξενοφῶν ἰδὼν αὐτὸν προσελάσαι ἐκέλευσεν, ὅπως ὅτι πλείστων ἀκουόντων εἴποι αὐτῷ, ἃ ἐδόκει συμφέρειν. ἐπεὶ δὲ προσῆλθεν, εἶπε Ξενοφῶν, Ἡμεῖς πορευόμεθα 8
ὅπου μέλλει ἕξειν τὸ στράτευμα τροφήν· ἐκεῖ δ' ἀκούοντες καὶ σοῦ καὶ τῶν τοῦ Λακωνικοῦ αἱρησόμεθα, ἃ ἂν κράτιστα δοκῇ εἶναι. ἦν οὖν ἡμῖν ἡγήσῃ, ὅπου πλεῖστά ἐστιν ἐπιτήδεια, ὑπὸ σοῦ νομιοῦμεν ξενίζεσθαι. καὶ ὁ Σεύθης ἔφη, Ἀλλὰ οἶδα κώμας πολλὰς 9
ἀθρόας καὶ πάντα ἐχούσας τὰ ἐπιτήδεια, ἀπεχούσας ἡμῶν, ὅσον, διελθόντες, ἂν ἡδέως ἀριστῴητε. Ἡγοῦ τοίνυν, ἔφη ὁ Ξενοφῶν. ἐπεὶ δ' ἀφίκοντο εἰς αὐτὰς 10
τῆς δείλης, συνῆλθον οἱ στρατιῶται, καὶ εἶπε Σεύθης τοιάδε, Ἐγώ, ὦ ἄνδρες, δέομαι ὑμῶν στρατεύεσθαι σὺν ἐμοί, καὶ ὑπισχνοῦμαι ὑμῖν δώσειν τοῖς στρατιώταις κυζικηνόν, λοχαγοῖς δὲ καὶ στρατηγοῖς τὰ νομιζόμενα· ἔξω δὲ τούτων τὸν ἄξιον τιμήσω. εἶτα δὲ καὶ ποτά, ὥσπερ καὶ νῦν, ἐκ τῆς χώρας λαμβάνοντες ἕξετε· ὁπόσα δ' ἂν ἁλίσκηται, ἀξιῶσω αὐτὸς ἔχειν, ἵνα ταῦτα διατιθέμενος ὑμῖν τὸν μισθὸν πορίζω. καὶ τὰ μὲν 11

§. 7. Καὶ παρ' Ἀριστάρχου ἄλλοι] καὶ ἄλλοι τινὲς παρ' Ἀριστάρχου πεμφθέντες. — Ἔπειθον] ἐπεχείρουν νὰ τοὺς πείσωσι. Γ'. ά. 29. — Ὅσον τριάκοντα] Α'. ή. 6.

§. 8. Καὶ τῶν τοῦ Λακωνικοῦ] καὶ ἐκείνων, οὓς ἔπεμψεν ὁ Λάκων, δηλαδὴ ὁ Ἀρίσταρχος. Ἴδε ἀνωτέρω, §. 7.

§. 9. Ἀλλὰ] τῇ ἀληθείᾳ. Α'. ή. 17. — Ὅσον, διελθόντες, ἂν ἡδέως ἀριστῴητε] ΣΤ'. γ'. 14.

§. 10. Τὰ νομιζόμενα] δηλαδὴ λοχαγοῖς διμοιρίαν, στρατηγοῖς τετραμοιρίαν. Ζ'. β'. 36. — Ὁπόσα ἁλίσκηται] χρήματα, δηλαδὴ κτήνη, πυροὶ κτλ. — Διατιθέμενος] πωλῶν. ΣΤ'. στ'. 37.

§. 11. Μαστεύειν] Γ'. ά. 43

φεύγοντα καὶ ἀποδιδράσκοντα ἡμεῖς ἱκανοὶ ἐσόμεθα διώκειν καὶ μαστεύειν· ἂν δέ τις ἀνθιστῆται, σὺν ὑμῖν 12 πειρασόμεθα χειροῦσθαι. ἐπήρετο ὁ Ξενοφῶν, Πόσον δὲ ἀπὸ θαλάττης ἀξιώσεις συνέπεσθαί σοι τὸ στράτευμα; ὁ δ' ἀπεκρίνατο, Οὐδαμῇ πλεῖον ἑπτὰ ἡμερῶν, μεῖον δὲ πολλαχῇ.

13 Μετὰ ταῦτα ἐδίδοτο λέγειν τῷ βουλομένῳ· καὶ ἔλεγον πολλοὶ κατὰ ταὐτά, ὅτι παντὸς ἄξια λέγοι Σεύθης· χειμὼν γὰρ εἴη καὶ οὔτε οἴκαδε ἀποπλεῖν τῷ τοῦτο βουλομένῳ δυνατὸν εἴη, διαγενέσθαι τε ἐν φιλίᾳ οὐχ οἷόν τ' εἴη, εἰ δέοι ὠνουμένους ζῆν, ἐν δὲ τῇ πολεμίᾳ διατρίβειν καὶ τρέφεσθαι ἀσφαλέστερον μετὰ Σεύθου ἢ μόνους, ὄντων ἀγαθῶν τοσούτων· εἰ δὲ 14 μισθὸν προσλήψοιντο, εὕρημα ἐδόκει εἶναι. ἐπὶ τούτοις εἶπεν ὁ Ξενοφῶν, Εἴ τις ἀντιλέγει, λεγέτω· εἰ δὲ μή, ἐπιψηφιζέτω ταῦτα. ἐπεὶ δὲ οὐδεὶς ἀντέλεγεν, ἐπεψήφισε, καὶ ἔδοξε ταῦτα. εὐθὺς δὲ Σεύθῃ εἶπε ταῦτα, ὅτι συστρατεύσοιντο αὐτῷ.

15 Μετὰ τοῦτο οἱ μὲν ἄλλοι κατὰ τάξεις ἐσκήνησαν, στρατηγοὺς δὲ καὶ λοχαγοὺς ἐπὶ δεῖπνον Σεύθης ἐκά- 16 λεσε, πλησίον κώμην ἔχων. ἐπεὶ δ' ἐπὶ θύραις ἦσαν ὡς ἐπὶ δεῖπνον παριόντες, ἦν τις Ἡρακλείδης Μαρωνείτης· οὗτος προσιὼν ἑνὶ ἑκάστῳ, οὕστινας ᾤετο ἔχειν τι δοῦναι Σεύθῃ, πρῶτον μὲν πρὸς Παριανούς τινας, οἳ παρῆσαν φιλίαν διαπραξόμενοι πρὸς Μήδοκον τὸν Ὀδρυσῶν βασιλέα καὶ δῶρα ἄγοντες αὐτῷ τε καὶ τῇ γυναικί, ἔλεγεν, ὅτι Μήδοκος μὲν ἄνω εἴη δώδεκα ἡμερῶν ἀπὸ θαλάττης ὁδόν, Σεύθης δ' ἐπεὶ τὸ στράτευμα

— Χειροῦσθαι] ὑποχειρίους καθιστάναι.

§. 13. Κατὰ ταὐτά] ὑπὸ τὸ αὐτὸ πνεῦμα. — Διαγενέσθαι ἐν φιλίᾳ] νὰ διέλθωσι τὸν χειμῶνα ἐν φιλίᾳ χώρᾳ. — Εὕρημα] Β'. γ'. 18.

§. 14. Ἐπεψήφισε] Ε'. ά. 14.

§. 16. Μαρωνείτης] ἐκ Μαρωνείας πόλεως Θρᾳκικῆς μεταξὺ Ἀβδήρων καὶ Δορίσκου. — Ἑνὶ ἑκάστῳ, οὕς τινας] ἑνὶ ἑκάστῳ τούτων, οὕς τινας. — Διαπραξόμενοι] ἵνα διαπραγματευθῶσι φιλίαν ἢ συμμαχίαν. — Παριανούς] ἐκ Παρίου τῆς Μυσίας, μεταξὺ Κυζίκου καὶ Λαμψάκου. Μήδοκος] Ζ'. β'. 32.

τοῦτο εἴληφεν, ἄρχων ἔσοιτο ἐπὶ θαλάττῃ. γείτων οὖν 17 ὤν, ἱκανώτατος ἔσται ὑμᾶς καὶ εὖ καὶ κακῶς ποιεῖν. ἢν οὖν σωφρονῆτε, τούτῳ δώσετε ὅ τι ἂν ἔχητε, καὶ ἄμεινον ὑμῖν διακείσεται ἢ ἐὰν Μηδόκῳ τῷ πρόσω οἰκοῦντι δῶτε. τούτους μὲν οὕτως ἔπειθεν. αὖθις δὲ 18 Τιμασίωνι τῷ Δαρδανεῖ προσελθών, ἐπεὶ ἤκουσεν αὐτῷ εἶναι καὶ ἐκπώματα καὶ τάπιδας βαρβαρικάς, ἔλεγεν, ὅτι νομίζοιτο, ὁπότε ἐπὶ δεῖπνον καλέσαι Σεύθης, δωρεῖσθαι αὐτῷ τοὺς κληθέντας. οὗτος δ' ἦν μέγας ἐνθάδε γένηται, ἱκανὸς ἔσται σε καὶ οἴκαδε καταγαγεῖν καὶ ἐνθάδε πλούσιον ποιῆσαι. τοιαῦτα προὐμνᾶτο ἑκάστῳ προσιών. προσελθὼν δὲ καὶ Ξενοφῶντι 19 ἔλεγε, Σὺ καὶ πόλεως μεγίστης εἶ καὶ παρὰ Σεύθῃ τὸ σὸν ὄνομα μέγιστόν ἐστι, καὶ ἐν τῇδε τῇ χώρᾳ ἴσως ἀξιώσεις καὶ τείχη λαμβάνειν, ὥσπερ καὶ ἄλλοι τῶν ὑμετέρων ἔλαβον, καὶ χώραν. ἄξιον οὖν σοι καὶ μεγαλοπρεπέστατα τιμῆσαι Σεύθην. εὔνους δέ σοι ὤν, πα- 20 ραινῶ· εὖ οἶδα γὰρ ὅτι, ὅσῳ ἂν μείζω τούτῳ δωρήσῃ, τοσούτῳ μείζω ὑπὸ τούτου ἀγαθὰ πείσῃ. ἀκούων ταῦτα Ξενοφῶν ἠπόρει· οὐ γὰρ διεβεβήκει ἔχων ἐκ Παρίου εἰ μὴ παῖδα καὶ ὅσον ἐφόδιον.

Ἐπεὶ δὲ εἰσῆλθον ἐπὶ τὸ δεῖπνον τῶν τε Θρᾳκῶν 21 οἱ κράτιστοι τῶν παρόντων καὶ οἱ στρατηγοὶ καὶ οἱ λοχαγοὶ τῶν Ἑλλήνων καὶ εἴ τις πρεσβεία παρῆν ἀπὸ πόλεως, τὸ δεῖπνον μὲν ἦν καθημένοις κύκλῳ· ἔπειτα δὲ τρίποδες εἰσηνέχθησαν πᾶσιν· οὗτοι δ' ἦσαν κρε-

§. 17. Καὶ ἄμεινον ὑμῖν διακείσεται] τοῦτο, τὸ ὑμᾶς δοῦναι τούτῳ ὅ τι ἂν ἄγησθε = Καὶ τοῦτο θὰ σᾶς ὠφελήσῃ περισσότερον παρὰ ἂν τὰ δώσητε κτλ.

§. 18. Νομίζοιτο] ἔθος ὑπῆρχε. Δ'. β'. 23.—Προὐμνᾶτο] συνίστα, ἐξ εὐνοίας, ὡς λέγει κατωτέρω, τοῖς συνεβούλευεν.

§. 19. Ἀξιώσεις καὶ τείχη λαμβάνειν] θὰ ἔχῃς τὴν ἀξίωσιν νὰ καταλάβῃς καὶ τετειχισμένας πόλεις. Α'. δ'. 4, Ζ'. β'. 36.

§. 20. Ἀγαθὰ πείσῃ] θὰ ἀνταμειφθῇς. Πείσῃ μέλλων τοῦ πάσχω. — Ὅσον ἐφόδιον] ὅσον ἀργύριον ἐξήρκει εἰς ὁδοιπορικὰ ἔξοδα. Ζ'. ή. 19. Ἔχοντες πρόβατα ὅσον θύματα = ὅσα ἐξήρκουν εἰς θυσίαν.

§. 21. Τὸ δεῖπνον ἦν (αὐτοῖς) καθημένοις κύκλῳ] ἐκάθησαν, ἵνα δειπνήσωσι, κύκλῳ. — Ἄρτοι ζυμῖται μεγάλοι] οὐχὶ ἄζυμοι, λι-

ὧν μεστοὶ νενεμημένων, καὶ ἄρτοι ζυμῖται μεγάλοι
22 προσπεπερονημένοι ἦσαν πρὸς τοῖς κρέασι. μάλιστα
δ' αἱ τράπεζαι κατὰ τοὺς ξένους ἀεὶ ἐτίθεντο· νόμος γὰρ ἦν. καὶ πρῶτος τοῦτο ἐποίει Σεύθης· ἀνελόμενος τοὺς ἑαυτῷ παρακειμένους ἄρτους διέκλα κατὰ μικρὸν καὶ ἐρρίπτει, οἷς αὐτῷ ἐδόκει, καὶ τὰ
23 κρέα ὡσαύτως, ὅσον μόνον γεύσασθαι ἑαυτῷ κατα-
λιπών. καὶ οἱ ἄλλοι δὲ κατὰ ταὐτὰ ἐποίουν, καθ' οὓς αἱ τράπεζαι ἔκειντο. Ἀρκὰς δέ τις Ἀρύστας ὄνομα, φαγεῖν δεινός, τὸ μὲν διαρρίπτειν εἴα χαίρειν, λαβὼν δὲ εἰς τὴν χεῖρα ὅσον τριχοίνικον ἄρτον καὶ κρέα θέμε-
24 νος ἐπὶ τὰ γόνατα ἐδείπνει. κέρατα δὲ οἴνου περιέφερον, καὶ πάντες ἐδέχοντο· ὁ δ' Ἀρύστας, ἐπεὶ παρ' αὐτὸν φέρων τὸ κέρας ὁ οἰνοχόος ἦκεν, εἶπεν ἰδὼν τὸν Ξενοφῶντα οὐκέτι δειπνοῦντα, Ἐκείνῳ, ἔφη, δός·
25 σχολάζει γὰρ ἤδη, ἐγὼ δὲ οὐδέπω. ἀκούσας Σεύθης τὴν φωνήν, ἠρώτα τὸν οἰνοχόον, τί λέγοι. ὁ δὲ οἰνοχόος εἶπεν· ἑλληνίζειν γὰρ ἠπίστατο. ἐνταῦθα μὲν δὴ γέλως ἐγένετο.

26 Ἐπεὶ δὲ προὐχώρει ὁ πότος, εἰσῆλθεν ἀνὴρ Θρᾷξ ἵππον ἔχων λευκόν, καὶ λαβὼν κέρας μεστὸν εἶπε, Προπίνω σοι, ὦ Σεύθη, καὶ τὸν ἵππον τοῦτον δωροῦμαι, ἐφ' οὗ καὶ διώκων, ὃν ἂν ἐθέλῃς, αἱρήσεις καὶ ἀπο-
27 χωρῶν οὐ μὴ δείσεις τὸν πολέμιον. ἄλλος παῖδα εἰσαγαγὼν οὕτως ἐδωρήσατο προπίνων, καὶ ἄλλος ἱμάτια τῇ γυναικί. καὶ Τιμασίων προπίνων ἐδωρήσατο φιάλην τε ἀργυρᾶν καὶ τάπιδα ἀξίαν δέκα μνῶν.

ψοί, καὶ μεγάλοι, τριῶν περίπου χοινίκων, ὡς λέγει κατωτέρω, §. 23. Περὶ χοινικος ἴδε Α'. ε. 7.

§. 22. *Μάλιστα δὲ αἱ τράπεζαι κτλ.*] πρὸ πάντων δὲ τὰ φαγητὰ παρετίθεντο ἑκάστοτε ὅπου ἑκαθηντο οἱ φιλοξενούμενοι. Τραπέζας δ' ἐκάλουν καὶ τὰ σιτία τὰ ἐπ' αὐτῶν τιθέμενα, Πολυδ. Ὀνομ. ΣΤ'. 84. — *Ὅσον μόνον γεύσασθαι*] ὅσον ἐξήρκει νὰ γευθῇ. Δ'. ά. 5.

§. 24. *Οὐκέτι... οὐδέπω*] Β'. β'. 12, Α'. ε. 12. — *Κέρατα οἴνου*] ποτήρια ἐκ κεράτων βοείων.

§. 26. *Οὐ μὴ δείσεις*] σὲ βεβαιῶ ὅτι δὲν θὰ φοβηθῇς. Δείσῃς ὑποτ. τοῦ δέδια = φοβοῦμαι. Περὶ τοῦ οὐμὴ ἴδε Δ'. ή. 13.

§. 27. *Τάπιδα*] τάπητα μικρόν. — *Ἀρχαῖος νόμος*] ἀρχαῖον ἔθος. Α'. β'. 15.

Γνήσιππος δέ τις Ἀθηναῖος ἀναστὰς εἶπεν, ὅτι ἀρχαῖος 28
εἴη νόμος κάλλιστος τοὺς μὲν ἔχοντας διδόναι τῷ βασιλεῖ τιμῆς ἕνεκα, τοῖς δὲ μὴ ἔχουσι διδόναι τὸν βασιλέα, ἵνα κἀγώ, ἔφη, ἔχω σοι δωρεῖσθαι καὶ τιμᾶν. ὁ δὲ Ξενοφῶν ἠπορεῖτο, τί ποιήσει· καὶ γὰρ ἐτύγχα- 29
νεν, ὡς τιμώμενος, ἐν τῷ πλησιαιτάτῳ δίφρῳ Σεύθῃ καθήμενος. ὁ δὲ Ἡρακλείδης ἐκέλευεν αὐτῷ τὸ κέρας ὀρέξαι τὸν οἰνοχόον. ὁ δὲ Ξενοφῶν—ἤδη γὰρ ὑποπεπωκὼς ἐτύγχανεν— ἀνέστη θαρραλέως δεξάμενος τὸ κέρας καὶ εἶπεν, Ἐγὼ δέ σοι, ὦ Σεύθη, δίδωμι ἐμαυτὸν 30
καὶ τοὺς ἐμοὺς τούτους ἑταίρους φίλους εἶναι πιστούς. καὶ οὐδένα ἄκοντα, ἀλλὰ πάντας μᾶλλον ἔτι ἐμοῦ σοι βουλομένους φίλους εἶναι. καὶ νῦν πάρεισιν οὐδέν 31
σε προσαιτοῦντες, ἀλλὰ καὶ προϊέμενοι καὶ πονεῖν ὑπὲρ σοῦ καὶ προκινδυνεύειν ἐθέλοντες· μεθ' ὧν, ἂν οἱ θεοὶ θέλωσι, πολλὴν χώραν τὴν μὲν ἀπολήψῃ πατρῴαν οὖσαν, τὴν δὲ κτήσῃ, πολλοὺς δὲ ἵππους, πολλοὺς δὲ ἄνδρας καὶ γυναικας κατακτήσῃ, οὓς οὐ λήζεσθαι δεήσει, ἀλλ' αὐτοὶ φέροντες παρέσονται πρὸς σὲ δῶρα. ἀναστὰς ὁ Σεύθης συνεξέπιε καὶ κατεσκε- 32
δάσατο μετὰ τούτου τὸ κέρας. μετὰ ταῦτα εἰσῆλθον κέρασί τε οἷοις σημαίνουσιν αὐλοῦντες καὶ σάλπιγξιν ὠμοβοείαις ῥυθμούς τε καὶ οἷον μαγάδι σαλπίζοντες. καὶ αὐτὸς Σεύθης ἀναστὰς ἀνέκραγέ τε πολεμικὸν καὶ 33
ἐξήλατο, ὥσπερ βέλος, φυλαττόμενος μάλα ἐλαφρῶς. εἰσῆσαν δὲ καὶ γελωτοποιοί.

§. 28. *Ἵνα καὶ ἐγώ, ἔφη, ἔχω σοὶ δωρεῖσθαι*] = Δος τοίνυν καὶ σύ, ὦ Ξενοφῶν, τῷ Σεύθῃ, ἵνα κἀκείνου ἐμοῦ δόντος, ἔχω σοι δωρεῖσθαι. Εὐάρεστος βραχυλογία.

§. 29. *Ὡς τιμώμενος*] ἵνα φαίνηται μεγάλης τιμῆς ἀπολαύων.

§. 30. *Ὑποπεπωκὼς*] ὀλίγον πεπωμένος ἢ μισουεθυσμένος, ὡς λέγει ἡ κοινή. Ἀσ. 639. 200. γ'.

§. 31. *Προϊέμενοι*] Α'. θ'. 9. — *Ἐθέλοντες*] ἑκόντες.

§. 32. *Κατεσκεδάσατο τὸ κέρας*] ἔχυσαν ἑκάτερος εἰς τὰ ἱμάτια ἑκατέρου τὸν ὑπολειπόμενον οἶνον, ἀφοῦ ἔπιον ἑκάτερος ὑπὲρ ἑκατέρου τὸ πλεῖστον αὐτοῦ. Τοῦτο δὲ ἦτο Θρᾳκικὸν ἔθος. Σουΐδας. — *Εἰσῆλθον κέρασιν... αὐλοῦντες*] εἰσῆλθον ἄνδρες κέρασιν αὐλοῦντες κτλ. — *Οἷον μαγάδι*] τοιοῦτό τι, ὁποῖον

34 Ὡς δ' ἦν ἥλιος ἐπὶ δυσμαῖς, ἀνέστησαν οἱ Ἕλληνες καὶ εἶπον, ὅτι ὥρα νυκτοφύλακας καθιστάναι καὶ σύνθημα παραδιδόναι. καὶ Σεύθην ἐκέλευον παραγγεῖλαι, ὅπως εἰς τὰ Ἑλληνικὰ στρατόπεδα μηδεὶς τῶν Θρᾳκῶν εἴσεισι νυκτός· οἵ τε γὰρ πολέμιοι Θρᾷκες
35 ὑμῖν καὶ ἡμῖν οἱ φίλοι. ὡς δ' ἐξῆσαν, συνανέστη ὁ Σεύθης οὐδέν τι μεθύοντι ἐοικώς. ἐξελθὼν δ' εἶπεν αὐτοὺς τοὺς στρατηγοὺς ἀποκαλέσας, Ὦ ἄνδρες, οἱ πολέμιοι ἡμῶν οὐκ ἴσασί πω τὴν ἡμετέραν συμμαχίαν. ἦν οὖν ἔλθωμεν ἐπ' αὐτούς, πρὶν φυλάξασθαι ὥστε μὴ ληφθῆναι, ἢ παρασκευάσασθαι ὥστε ἀμύνασθαι, μάλιστ' ἂν λάβοιμεν καὶ ἀνθρώπους καὶ χρήματα.
36 συνεπήνουν ταῦτα οἱ στρατηγοὶ καὶ ἡγεῖσθαι ἐκέλευον. ὁ δ' εἶπε, Παρασκευασάμενοι ἀναμένετε· ἐγὼ δέ, ὁπόταν καιρὸς ᾖ, ἥξω πρὸς ὑμᾶς, καὶ τοὺς πελταστὰς καὶ ὑμᾶς ἀναλαβὼν ἡγήσομαι σὺν τοῖς θεοῖς.
37 καὶ ὁ Ξενοφῶν εἶπε, Σκέψαι τοίνυν, εἴπερ νυκτὸς πορευσόμεθα, εἰ ὁ Ἑλληνικὸς νόμος κάλλιον ἔχει· μεθ' ἡμέραν μὲν γὰρ ἐν ταῖς πορείαις ἡγεῖται τοῦ στρατεύματος, ὁποῖον ἂν ἀεὶ πρὸς τὴν χώραν συμφέρῃ, ἐάν τε ὁπλιτικὸν ἐάν τε πελταστικὸν ἐάν τε ἱππικόν· νύκτωρ δὲ νόμος τοῖς Ἕλλησιν ἡγεῖσθαί ἐστι τὸ βρα-
38 δύτατον· οὕτω γὰρ ἥκιστα διασπᾶται τὰ στρατεύματα καὶ ἥκιστα λανθάνουσιν ἀποδιδράσκοντες ἀλλήλους· οἱ δὲ διασπασθέντες πολλάκις καὶ περιπίπτουσιν ἀλλήλοις καὶ ἀγνοοῦντες κακῶς ποιοῦσι καὶ πάσχουσιν.
39 εἶπεν οὖν Σεύθης, Ὀρθῶς λέγετε καὶ ἐγὼ τῷ νόμῳ

διὰ τῆς μαγαδίδος ἐπιτελεῖται, ἐναρμόνιον δηλαδὴ μέλος· ἦτο δὲ ἡ μαγαδὶς εἶδος σημερινῆς ἅρπης ὁμοία τὸ σχῆμα καὶ τὴν πληθὺν τῶν χορδῶν· εἶχε δὲ εἴκοσι χορδάς. Τὸ δὲ ὅλον, σαλπίζοντες οὐ μόνον ἁρμονίας τοιαύτας, ὁποῖαι εἰς διακανόνισιν τοῦ ἐναρμονίου βηματισμοῦ, ἀλλὰ καὶ μέλη ἐποῖα τὰ διὰ τῆς ἅρπης συντελούμενα.

§. 34. Σύνθημα] Α'. ή. 16.— Οἵ τε γὰρ κτλ.] διότι Θρᾷκες εἶναι καὶ οἱ ἐχθροί ὑμῶν καὶ οἱ ἡμέτεροι φίλοι, δηλαδὴ σεῖς, οἵτινες εἶσθε φίλοι ἡμῶν, καὶ οἱ ἐχθροί σας εἶσθε ἀμφότεροι Θρᾷκες.

§ 35. Οὐκ ἴσασί πω] οὔπω ἴσασι. Α'. έ. 12. — Ἢ παρασκευάσασθαι] ἢ πρὶν παρασκευάσασθαι, ὥστε ἀμύνασθαι=ἢ πρὶν παρασκευασθῶσιν εἰς ἄμυναν.

τῷ ὑμετέρῳ πείσομαι. καὶ ὑμῖν μὲν ἡγεμόνας δώσω τῶν πρεσβυτάτων τοὺς ἐμπειροτάτους τῆς χώρας, αὐτὸς δ' ἐφέψομαι τελευταῖος τοὺς ἵππους ἔχων· ταχὺ γὰρ πρῶτος, ἂν δέῃ, παρέσομαι. σύνθημα δ' εἶπον Ἀθηναίαν κατὰ τὴν συγγένειαν. ταῦτ' εἰπόντες ἀνεπαύοντο.

Ἡνίκα δ' ἦν ἀμφὶ μέσας νύκτας, παρῆν Σεύθης 40
ἔχων τοὺς ἱππέας τεθωρακισμένους καὶ τοὺς πελταστὰς σὺν τοῖς ὅπλοις. καὶ ἐπεὶ παρέδωκε τοὺς ἡγεμόνας, οἱ μὲν ὁπλῖται ἡγοῦντο, οἱ δὲ πελτασταὶ εἵποντο, οἱ δ' ἱππεῖς ὠπισθοφυλάκουν· ἐπεὶ δ' ἡμέρα ἦν, 41
ὁ Σεύθης παρήλαυνεν εἰς τὸ πρόσθεν καὶ ἐπήνεσε τὸν Ἑλληνικὸν νόμον· πολλάκις γὰρ ἔφη νύκτωρ αὐτὸς καὶ σὺν ὀλίγοις πορευόμενος ἀποσπασθῆναι σὺν τοῖς ἵπποις ἀπὸ τῶν πεζῶν· νῦν δ', ὥσπερ δεῖ, ἀθρόοι πάντες ἅμα τῇ ἡμέρᾳ φαινόμεθα. ἀλλὰ ὑμεῖς μὲν περιμένετε αὐτοῦ καὶ ἀναπαύεσθε, ἐγὼ δὲ σκεψάμενός τι ἥξω. ταῦτ' εἰπὼν ἤλαυνε, δι' ὄρους ὁδόν 42
τινα λαβών. ἐπεὶ δ' ἀφίκετο εἰς χιόνα πολλήν, ἐσκέψατο, εἰ εἴη ἴχνη ἀνθρώπων ἢ πρόσω ἠγούμενα ἢ ἐναντία. ἐπεὶ δὲ ἀτριβῆ ἑώρα τὴν ὁδόν, ἦκε ταχὺ πάλιν καὶ ἔλεγεν, Ἄνδρες, καλῶς ἔσται, ἦν θεὸς θέλῃ· 43
τοὺς γὰρ ἀνθρώπους λήσομεν ἐπιπεσόντες. ἀλλ' ἐγὼ μὲν ἡγήσομαι τοῖς ἵπποις, ὅπως ἄν τινα ἴδωμεν, μὴ διαφυγὼν σημήνῃ τοῖς πολεμίοις· ὑμεῖς δ' ἕπεσθε· κἂν λειφθῆτε, τῷ στίβῳ τῶν ἵππων ἕπεσθε. ὑπερβάντες δὲ τὰ ὄρη ἥξομεν εἰς κώμας πολλάς τε καὶ εὐδαίμονας.

Ἡνίκα δ' ἦν μέσον ἡμέρας, ἤδη τε ἦν ἐπὶ τοῖς 44
ἄκροις καὶ κατιδὼν τὰς κώμας ἦκεν ἐλαύνων πρὸς τοὺς ὁπλίτας καὶ ἔλεγεν, Ἀφήσω ἤδη καταθεῖν τοὺς

§. 41. Αὐτὸς καὶ σὺν ὀλίγοις πορευόμενος] ἐγὼ αὐτός, καίπερ μετὰ ὀλίγου στρατοῦ πορευόμενος.

§. 43. Λήσομεν ἐπιπεσόντες] λάθρα, χωρὶς νὰ μᾶς ἐννοήσωσι, θὰ ἐπιπέσωμεν. — Κἂν ἀπολειφθῆτε]= καὶ ἂν μείνητε ὀπίσω. Στίβῳ] Α'. στ'. 1.

§. 44. Ἐάν τις ὑφιστῆται, ἀλέξησθε] ἐάν τις ὑποστῇ κίνδυνον, τὸν βοηθήσητε.

μὲν ἱππέας εἰς τὸ πεδίον, τοὺς δὲ πελταστὰς ἐπὶ τὰς κώμας. ἀλλ' ἕπεσθε ὡς ἂν δύνησθε τάχιστα, ὅπως 45 ἐάν τις ὑφιστῆται, ἀλέξησθε. ἀκούσας ταῦτα ὁ Ξενοφῶν κατέβη ἀπὸ τοῦ ἵππου. καὶ ὃς ἤρετο, Τί καταβαίνεις, ἐπεὶ σπεύδειν δεῖ; Οἶδα, ἔφη, ὅτι οὐκ ἐμοῦ μόνου δέει· οἱ δ' ὁπλῖται θᾶττον δραμοῦνται καὶ 46 ἥδιον, ἐὰν καὶ ἐγὼ πεζὸς ἡγῶμαι. μετὰ ταῦτα ᾤχετο, καὶ Τιμασίωνα μετ' αὐτοῦ ἔχων ἱππέας ὡς τετταράκοντα τῶν Ἑλλήνων. Ξενοφῶν δὲ παρηγγύησε τοὺς εἰς τριάκοντα ἔτη παριέναι ἀπὸ τῶν λόχων εὐζώνους. καὶ αὐτὸς μὲν ἐτρόχαζε τούτους ἔχων, Κλεάνωρ δ' 47 ἡγεῖτο τῶν ἄλλων Ἑλλήνων. ἐπεὶ δ' ἐν ταῖς κώμαις ἦσαν, Σεύθης ἔχων ὅσον τριάκοντα ἱππέας προσελάσας εἶπε, Τάδε δή, ὦ Ξενοφῶν, ἃ σὺ ἔλεγες ἔχονται οἱ ἄνθρωποι· ἀλλὰ γὰρ ἔρημοι οἱ ἱππεῖς οἴχονταί μοι ἄλλος ἄλλῃ διώκων, καὶ δέδοικα μὴ συστάντες ἀθρόοι που κακόν τι ἐργάσωνται οἱ πολέμιοι. δεῖ δὲ καὶ ἐν ταῖς κώμαις καταμένειν τινὰς ἡμῶν· μεσταὶ γάρ εἰσιν 48 ἀνθρώπων. Ἀλλ' ἐγὼ μέν, ἔφη ὁ Ξενοφῶν, σὺν οἷς ἔχω τὰ ἄκρα καταλήψομαι· σὺ δὲ Κλεάνορα κέλευε διὰ τοῦ πεδίου παρατεῖναι τὴν φάλαγγα παρὰ τὰς κώμας. ἐπεὶ δὲ ταῦτα ἐποίησαν, συνηλίσθησαν ἀνδράποδα μὲν ὡς χίλια, βόες δὲ δισχίλιοι, πρόβατα ἄλλα μύρια. τότε μὲν δὴ αὐτοῦ ηὐλίσθησαν.

1 δ'. Τῇ δ' ὑστεραίᾳ κατακαύσας ὁ Σεύθης τὰς κώμας παντελῶς, καὶ οἰκίαν οὐδεμίαν λιπών, ὅπως φόβον ἐνθεὶη καὶ τοῖς ἄλλοις οἷα πείσονται, ἂν μὴ πείθωνται, 2 ἀπῆει πάλιν. καὶ τὴν μὲν λείαν ἀπέπεμψε διατίθεσθαι Ἡρακλείδην εἰς Πέρινθον, ὅπως ἂν μισθὸς γένοιτο τοῖς στρατιώταις· αὐτὸς δὲ καὶ οἱ Ἕλληνες ἐστρα-

§. 46. *Παρηγγύησε*] Α'. ἡ. 16. — *Τοὺς εἰς τριάκοντα ἔτη*] τοὺς μέχρι τριάκοντα ἐτῶν ἡλικίαν ἔχοντας. Α'. ά. 10.

§. 47. *Ὅσον τριάκοντα*] τριάκοντα περίπου, Α' ἡ. 6. — *Τάδε δή*] ἰδοὺ ἐκεῖνα. Ἀσ. 113. 60. — *Ἀλλὰ γὰρ*] ἀλλ' ὅμως. Γ'. β'. 25.

§. 48. *Συνηλίσθησαν*] συνηθροίσθησαν, ἠχμαλωτίσθησαν.

Κεφ. δ'. § 2. *Διατίθεσθαι*] νὰ πωλήσῃ. ΣΤ'. στ'. 37. — *Ἡρακλείδην*] Ζ'. γ'. 15. — *Πέρινθον*] Β'. στ'. 2. — *Ὅπως ἂν μισθὸς γένηται*] αὐτῷ, ἵνα ἔχῃ μισθόν.

§. 3. *Ψῦχος οὕτως, ὥστε*] ψῦχος τοσοῦτον, ὥστε. — *Ἀπεκάοντο*] Δ'. έ. 3.

§. 4. *Ἀλωπεκᾶς*] πίλους ἐκ δέρματος ἀλώπεκος, ὁποῖα τὰ καλπάκια τῶν βορείων κλιμάτων ἔτι καὶ νῦν. — *Ζειρὰς*] μανδύας παχεῖς καὶ μαλλίνους, ὁποῖοι καὶ οἱ τῶν βορείων κλιμάτων ἔτι καὶ νῦν.

§. 5. *Ἀφιεὶς τῶν αἰχμαλώτων*] τινάς. — *Ὅτι κατακαύσει*] πλεονάζει τὸ ὅ τι.

§. 7. *Ἐπισθένης*] Δὲν μοὶ φαίνεται ἄλλος παρὰ τὸν μνημονευθέντα ἐν Δ'. στ'. 1, εἰ καὶ λέγεται ἐκεῖνος Ἀμφιπολίτης· διότι ἀμφότεροι εἶναι παιδερασταὶ ἐξόχως.

§. 8. *Λόχον ποτὲ συνελέξατο*]

τοπεδεύοντο ἀνὰ τὸ Θυνῶν πεδίον. οἱ δ' ἐκλιπόντες ἔφευγον εἰς τὰ ὄρη. ἦν δὲ χιὼν πολλὴ καὶ ψῦχος οὕ- 3 τως, ὥστε τὸ ὕδωρ, ὃ ἐφέροντο ἐπὶ δεῖπνον, ἐπήγνυτο καὶ ὁ οἶνος ὁ ἐν τοῖς ἀγγείοις, καὶ τῶν Ἑλλήνων πολλῶν καὶ ῥῖνες ἀπεκάοντο καὶ ὦτα. καὶ τότε δῆλον 4 ἐγένετο, οὗ ἕνεκα οἱ Θρᾷκες τὰς ἀλωπεκᾶς ἐπὶ ταῖς κεφαλαῖς φοροῦσι καὶ τοῖς ὠσὶ καὶ χιτῶνας οὐ μόνον περὶ τοῖς στέρνοις, ἀλλὰ καὶ περὶ τοῖς μηροῖς, καὶ ζειρὰς μέχρι τῶν ποδῶν ἐπὶ τῶν ἵππων ἔχουσιν, ἀλλ' οὐ χλαμύδας. ἀφιεὶς δὲ τῶν αἰχμαλώτων ὁ Σεύθης εἰς 5 τὰ ὄρη ἔλεγεν, ὅτι, εἰ μὴ καταβήσονται οἰκήσοντες καὶ πείσονται, ὅτι κατακαύσει καὶ τούτων τὰς κώμας καὶ τὸν σῖτον καὶ ἀπολοῦνται τῷ λιμῷ. ἐκ τούτου κατέβαινον καὶ γυναῖκες καὶ παῖδες καὶ οἱ πρεσβύτεροι· οἱ δὲ νεώτεροι ἐν ταῖς ὑπὸ τὸ ὄρος κώμαις ηὐλίζοντο. καὶ ὁ Σεύθης καταμαθὼν ἐκέλευσε τὸν 6 Ξενοφῶντα τῶν ὁπλιτῶν τοὺς νεωτάτους λαβόντα συνεπισπέσθαι. καί, ἀναστάντες τῆς νυκτός, ἅμα τῇ ἡμέρᾳ παρῆσαν εἰς τὰς κώμας. καὶ οἱ μὲν πλεῖστοι ἐξέφυγον—πλησίον γὰρ ἦν τὸ ὄρος—ὅσους δὲ ἔλαβε κατηκόντισεν ἀφειδῶς Σεύθης.

Ἐπισθένης δ' ἦν τις Ὀλύνθιος παιδεραστής, ὃς 7 ἰδὼν παῖδα καλὸν ἡβάσκοντα ἄρτι πέλτην ἔχοντα μέλλοντα ἀποθνήσκειν, προσδραμὼν Ξενοφῶντι ἱκέτευε βοηθῆσαι παιδὶ καλῷ. καὶ ὃς προσελθὼν τῷ Σεύθῃ 8 δεῖται μὴ ἀποκτεῖναι τὸν παῖδα καὶ τοῦ Ἐπισθένους διηγεῖται τὸν τρόπον, καὶ ὅτι λόχον ποτὲ συν-

ελέξατο σκοπῶν οὐδὲν ἄλλο ἢ εἴ τινες εἶεν καλοί,
9 καὶ μετὰ τούτων ἦν ἀνὴρ ἀγαθός. ὁ δὲ Σεύθης
ἤρετο, Ἦ καὶ ἐθέλοις ἄν, ὦ Ἐπίσθενες, ὑπὲρ τούτου
ἀποθανεῖν; ὁ δ' ὑπερανατείνας τὸν τράχηλον, Παῖε,
10 ἔφη, εἰ κελεύει ὁ παῖς καὶ μέλλει χάριν εἰδέναι. ἐπή-
ρετο ὁ Σεύθης τὸν παῖδα, εἰ παίσειεν αὐτὸν ἀντ' ἐκεί-
νου. οὐκ εἴα ἡ παῖς, ἀλλ' ἱκέτευε μηδέτερον κατακαί-
νειν. ἐνταῦθα ὁ Ἐπισθένης περιλαβὼν τὸν παῖδα εἶ-
πεν, Ὥρα σοι, ὦ Σεύθη, περὶ τοῦδέ μοι διαμάχεσθαι·
11 οὐ γὰρ μεθήσω τὸν παῖδα. ὁ δὲ Σεύθης γελῶν ταῦτα
μὲν εἴα· ἔδοξε δὲ αὐτῷ αὐτοῦ αὐλισθῆναι, ἵνα μηδ' ἐκ
τούτων τῶν κωμῶν οἱ ἐπὶ τοῦ ὄρους τρέφοιντο. καὶ
αὐτὸς μὲν ἐν τῷ πεδίῳ ὑποκαταβὰς ἐσκήνου, ὁ δὲ Ξε-
νοφῶν ἔχων τοὺς ἐπιλέκτους ἐν τῇ ὑπὸ τὸ ὄρος ἀνω-
τάτω κώμῃ, καὶ οἱ ἄλλοι Ἕλληνες ἐν τοῖς ὀρείοις
καλουμένοις Θρᾳξὶ πλησίον κατεσκήνησαν.
12 Ἐκ τούτου ἡμέραι τ' οὐ πολλαὶ διετρίβοντο καὶ οἱ
ἐκ τοῦ ὄρους Θρᾷκες καταβαίνοντες πρὸς τὸν Σεύθην
περὶ σπονδῶν καὶ ὁμήρων διεπράττοντο. καὶ ὁ Ξενο-
φῶν ἐλθὼν ἔλεγε τῷ Σεύθῃ, ὅτι ἐν πονηροῖς τόποις
σκηνοῖεν καὶ πλησίον εἶεν οἱ πολέμιοι, ἥδιόν τ' ἂν
ἔξω αὐλίζεσθαι ἔφη ἐν ἐχυροῖς χωρίοις μᾶλλον ἢ ἐν
τοῖς στεγνοῖς, ὥστε ἀπολέσθαι. ὁ δὲ θαρρεῖν ἐκέλευε
13 καὶ ἔδειξεν ὁμήρους παόντας αὐτῶν. ἐδέοντο δὲ καὶ
αὐτοῦ Ξενοφῶντος καταβαίνοντές τινες τῶν ἐκ τοῦ
ὄρους συμπρᾶξαί σφισι τὰς σπονδάς. ὁ δ' ὡμολόγει
καὶ θαρρεῖν ἐκέλευε καὶ ἠγγυᾶτο μηδὲν αὐτοὺς κακὸν

ἀπήρτισε λόχον ἐξ ὡραίων νέων. — Σκοπῶν κτλ.] εἰς οὐδὲν ἄλλο ἀφορῶν ἢ εἰς τὸ κάλλος.

§. 9. Ἦ καὶ θέλοις ἄν;] Εἰπέ μοι τὴν ἀλήθειαν, θὰ προύτίμας κτλ.

§. 10. Εἰ παίσειεν] ἂν ἐγκρίνει νὰ πλήξῃ αὐτὸν (τὸν Ἐπισθένη). — Ὥρα σοι διαμάχεσθαι] εἶναι καιρὸς νὰ διαγωνισθῇς πρὸς ἐμὲ ὑπὲρ τοῦ παιδός.

§. 12. Διεπράττοντο] διεπραγματεύοντο. Δ'. β'. 22. — Ἐν πονηροῖς τόποις] εἰς τόπους δυναμένους νὰ ἐμποιήσωσιν εἰς αὐτοὺς πολλοὺς μόχθους ἢ κινδύνους.

§. 13. Συμπρᾶξαί σφισι] νὰ συνεργήσῃ εἰς ἐπίτευξιν τῶν σπονδῶν. — Οἱ δ' ἄρα ταῦτα ἔλεγον] οὗτοι δὲ ἔλεγον ταῦτα, ὡς φαίνεται. Ἀσ. 497. §. 21.

πείσεσθαι πειθομένους Σεύθῃ. οἱ δ' ἄρα ταῦτ' ἔλεγον κατασκοπῆς ἕνεκα.
Ταῦτα μὲν τῆς ἡμέρας ἐγένετο· εἰς δὲ τὴν ἐπιοῦ- 14
σαν νύκτα ἐπιτίθενται ἐλθόντες ἐκ τοῦ ὄρους οἱ
Θυνοί. καὶ ἡγεμὼν μὲν ἦν ὁ δεσπότης ἑκάστης τῆς
οἰκίας· χαλεπὸν γὰρ ἦν ἄλλως τὰς οἰκίας σκότους
ὄντος ἀνευρίσκειν ἐν ταῖς κώμαις· καὶ γὰρ αἱ οἰκίαι
κύκλῳ περιεσταύρωντο μεγάλοις σταυροῖς τῶν προ-
βάτων ἕνεκα. ἐπεὶ δ' ἐγένοντο κατὰ τὰς θύρας ἑκά- 15
στου τοῦ οἰκήματος, οἱ μὲν εἰσηκόντιζον, οἱ δὲ τοῖς
σκυτάλοις ἔβαλλον, ἃ ἔχειν ἔφασαν ὡς ἀποκόψοντες
τῶν δοράτων τὰς λόγχας, οἱ δ' ἐνεπίμπρασαν, καὶ
Ξενοφῶντα ὀνομαστὶ καλοῦντες ἐξιόντα ἐκέλευον ἀ-
ποθνήσκειν, ἢ αὐτοῦ ἔφασαν κατακαυθήσεσθαι αὐ-
τόν. καὶ ἤδη τε διὰ τοῦ ὀρόφου ἐφαίνετο πῦρ, καὶ 16
ἐντεθωρακισμένοι οἱ περὶ τὸν Ξενοφῶντα ἔνδον ἦσαν
ἀσπίδας καὶ μαχαίρας καὶ κράνη ἔχοντες, καὶ Σιλανὸς
Μακίστιος ἐτῶν ἤδη ὡς ὀκτωκαίδεκα σημαίνει τῇ
σάλπιγγι· καὶ εὐθὺς ἐκπηδῶσιν ἐσπασμένοι τὰ ξίφη
καὶ οἱ ἐκ τῶν ἄλλων σκηνωμάτων. οἱ δὲ Θρᾷκες 17
φεύγουσιν, ὥσπερ δὴ τρόπος ἦν αὐτοῖς, ὄπισθεν περι-
βαλλόμενοι τὰς πέλτας· καὶ αὐτῶν ἱ περαλλομένων
τοὺς σταυροὺς ἐλήφθησάν τινες κρεμασθέντες, ἐνεχο-
μένων τῶν πελτῶν τοῖς σταυροῖς· οἱ δὲ καὶ ἀπέθανον
ἁμαρτόντες τῶν ἐξόδων· οἱ δὲ Ἕλληνες ἐδίωκον ἔξω
τῆς κώμης. τῶν δὲ Θυνῶν ὑποστραφέντες τινὲς ἐν τῷ 18
σκότει τοὺς παρατρέχοντας παρ' οἰκίαν καομένην ἠ-
κόντιζον εἰς τὸ φῶς ἐκ τοῦ σκότους· καὶ ἔτρωσαν

§. 14. Ἡγεμὼν] ὁδηγός. Β'. δ'. 10. — Σταυροῖς] Ε'. β'. 21.

§. 15. Σκυτάλοις] ῥοπάλοις. —Ὡς ἀποκόψαντες] μὲ τὴν πρόθεσιν ν' ἀποκόψωσι.

§. 16. Μακίστιος] ἐκ Μακίστου πόλεως τῆς Τριφυλίας. — Καὶ οἱ ἐκ τῶν ἄλλων σκηνωμάτων] οἵ τε περὶ Ξενοφῶντα καὶ οἱ ἐν τοῖς ἄλλοις σκηνώμασιν.

§. 17. Ὄπισθεν περιβαλλόμενοι τὰς πέλτας] σκεπάζοντες τὰ νῶτά των διὰ τῶν πελτῶν. Τοῦτο ἐπεξηγεῖ τὴν ἀμέσως προηγουμένην πρότασιν.

§. 18. Τοὺς παρατρέχοντας παρ' οἰκίαν] τοὺς τρέχοντας παραλλήλως οἰκίας καιομένης. Ἀσ. 628. 166.

Ἱερώνυμόν τε Εὐοδέα λοχαγὸν καὶ Θεογένην Λοκρὸν λοχαγόν· ἀπέθανε δὲ οὐδείς· κατεκαύθη μέντοι καὶ
19 ἐσθής τινων καὶ σκεύη. Σεύθης δὲ ἦκε βοηθῶν σὺν ἑπτὰ ἱππεῦσι τοῖς πρώτοις καὶ τὸν σαλπιγκτὴν ἔχων τον Θρᾴκιον. καὶ ἐπείπερ ἤσθετο, ὅσονπερ χρόνον ἐβοήθει, τοσοῦτον καὶ τὸ κέρας ἐφθέγγετο αὐτῷ· ὥστε καὶ τοῦτο φόβον συμπαρέσχε τοῖς πολεμίοις. ἐπεὶ δ' ἦλθεν, ἐδεξιοῦτό τε καὶ ἔλεγεν, ὅτι οἴοιτο τε-
20 θνεῶτας πολλοὺς εὑρήσειν. Ἐκ τούτου ὁ Ξενοφῶν δεῖται τους ἐμήρους τε αὐτῷ παραδοῦναι καὶ ἐπὶ τὸ ὄρος, εἰ βούλεται, συν-
21 στρατεύεσθαι. εἰ δὲ μή, αὐτὸν ἐᾶσαι. τῇ οὖν ὑστεραίᾳ παραδίδωσιν ὁ Σεύθης τοὺς ὁμήρους, πρεσβυτέρους ἄνδρας ἤδη, τοὺς κρατίστους, ὡς ἔφασαν, τῶν ὀρεί-ων, καὶ αὐτὸς ἔρχεται σὺν τῇ δυνάμει. ἤδη δὲ εἶχε καὶ τριπλασίαν δύναμιν ὁ Σεύθης· ἐκ γὰρ τῶν Ὀδρυσῶν ἀκοΐοντες, ἃ πράττοι ὁ Σεύθης, πολλοὶ κατέβαι-
22 νον συστρατευσόμενοι. οἱ δὲ Θυνοί, ἐπεὶ εἶδον ἀπὸ τοῦ ὄρους πολλοὺς μὲν ὁπλίτας, πολλοὺς δὲ πελτα-στάς, πολλοὺς δὲ ἱππέας, καταβάντες ἱκέτευον σπεί-σασθαι, καὶ πάντα ὡμολόγουν ποιήσειν καὶ πιστὰ
23 λαμβάνειν ἐκέλευον. ὁ δὲ Σεύθης καλέσας τὸν Ξενο-φῶντα ἐπεδείκνυεν, ἃ λέγοιεν, καὶ οἰκ ἔφη σπείσε-σθαι, εἰ Ξενοφῶν βούλοιτο τιμωρήσασθαι αὐτοὺς τῆς
24 ἐπιθέσεως. ὁ δ' εἶπεν, Ἀλλ' ἔγωγε ἱκανὴν νομίζω καὶ νῦν δίκην ἔχειν, εἰ οὗτοι δοῦλοι ἔσονται ἀντ' ἐλευθέ-ρων· συμβουλεύειν μέντοι ἔφη αὐτῷ τὸ λοιπὸν ὁμή-ρους λαμβάνειν τοὺς δυνατωτάτους κακόν τι ποιεῖν,

§. 20. *Εἰ δὲ μή, αὐτὸν ἐᾶσαι]* εἰ δὲ μὴ βούλεται (Σευθης) συστρατεύεσθαι τῷ Ξενοφῶντι, αὐτὸν (τὸν Ξενοφῶντα) ἐᾶσαι στρατεύεσθαι ἐπὶ τὸ ὄρος.

§. 22. *Πιστὰ λαμβάνειν]* Β'. γ'. 25.

§. 23. *Τιμωρήσασθαι τῆς ἐπιθέσεως]* νὰ τοὺς τιμωρήσῃ διὰ τὴν ἐπίθεσιν. Γ'. ά. 25.

§. 24. *Καὶ νῦν δίκην ἔχειν]* παρ' αὐτῶν = θὰ ἱκανοποιηθῶ ἢ εἶμαι ἱκανοποιημένος. — *Οἱ μὲν οὖν ταύτῃ πάντες δὴ προσωμολόγουν]* ἀλλ' ὅπως καὶ ἂν ἔχωσι ταῦτα, πάντες, ὅσοι δὴ ἐν ταύτῃ τῇ χώρᾳ κατῴκουν, προσωμολόγουν ὅτι θὰ πράττωσι πᾶν τὸ προστασσόμενον. Α'. β'. 12.

τοὺς δὲ γέροντας οἵκοι ἐᾶν. οἱ μὲν οὖν ταύτῃ πάντες δὴ προσωμολόγουν.

ε'. Ὑπερβάλλουσι δὲ πρὸς τοὺς ὑπὲρ Βυζαντίου 1 Θρᾷκας εἰς τὸ Δέλτα καλούμενον· αὕτη δ' ἦν οἰκέτι ἀρχὴ Μαισάδου, ἀλλὰ Τήρους τοῦ Ὀδρύσου [ἀρχαίου τινός]. καὶ ὁ Ἡρακλείδης ἐνταῦθα ἔχων τὴν τιμὴν 2 τῆς λείας παρῆν. καὶ Σεύθης ἐξαγαγὼν ζεύγη ἡμιονικὰ τρία—οὐ γὰρ ἦν πλείω—τὰ δ' ἄλλα βοεικά, καλέσας Ξενοφῶντα ἐκέλευε λαβεῖν, τὰ δὲ ἄλλα διανεῖμαι τοῖς στρατηγοῖς καὶ λοχαγοῖς. Ξενοφῶν δὲ εἶπεν, 3 Ἐμοὶ μὲν τοίνυν ἀρκεῖ καὶ αὖθις λαβεῖν· τούτοις δὲ τοῖς στρατηγοῖς δωροῦ, οἳ σὺν ἐμοὶ ἠκολούθησαν, καὶ λοχαγοῖς. καὶ τῶν ζευγῶν λαμβάνει ἓν μὲν Τιμασίων 4 ὁ Δαρδανεύς, ἓν δὲ Κλεάνωρ ὁ Ὀρχομένιος, ἓν δὲ Φρυνίσκος ὁ Ἀχαιός· τὰ δὲ βοεικὰ ζεύγη τοῖς λοχα-γοῖς κατεμερίσθη. τὸν δὲ μισθὸν ἀποδίδωσιν, ἐξελη-λυθότος ἤδη τοῦ μηνός, εἴκοσι μόνον ἡμερῶν· ὁ γὰρ Ἡρακλείδης ἔλεγεν, ὅτι οὐ πλεῖον ἐμπολήσαι. ὁ οὖν 5 Ξενοφῶν ἀχθεσθεὶς εἶπεν ἐπομόσας, Δοκεῖς μοι, ὦ Ἡρακλείδη, οὐχ ὡς δεῖ κήδεσθαι Σεύθου· εἰ γὰρ ἐκήδου, ἦκες ἂν φέρων πλήρη τὸν μισθὸν καὶ προσδα-νεισάμενος, εἰ μὴ ἄλλως ἐδύνω, καὶ ἀποδόμενος τὰ σαυτοῦ ἱμάτια.

Ἐντεῦθεν ὁ Ἡρακλείδης ἠχθέσθη τε καὶ ἔδεισε μὴ 6 ἐκ τῆς Σεύθου φιλίας ἐκβληθείη, καὶ ἅ τι ἐδύνατο ἀπὸ ταύτης τῆς ἡμέρας Ξενοφῶντα διέβαλλε πρὸς

Κεφ. ε'. §. 1. Ὑπερβάλλουσι δὲ... Ἡρακλείδης... παρῆν] κακῶς τινες λαμβάνοντες τὸ ὑπερβάλλουσι μετοχὴν ἑρμηνεύουσιν, ὅταν ὑπερβάλλοντες τὰ ὄρη ἐπορεύοντο πρὸς τοὺς ὑπὲρ Βυζαντίου Θρᾷκας... παρεγένετο ἢ ἦλθεν ὁ Ἡρακλείδης. — *Δέλτα]* τὸ μεταξὺ Βυζαντίου [καὶ Σαλμυδησσοῦ. — *Μαισάδου]* Ζ'. β'. 32. — *Τήρους]* Ζ'. β'. 2. — *Τὴν τιμὴν της λείας]* τὸ ἀντίτιμον τῆς λείας. Ζ'. δ'. 2.

§. 3. *Ἐμοὶ τοίνυν]* ἐμοί τοι=ἐμοὶ πάντως. — *Καὶ αὖθις λαβεῖν]* καὶ ἄλλοτε, ὅταν πάλιν θὰ ἐγκρίνῃς νὰ δώσῃς μισθόν. Ἴδε καὶ Ε'. δ'. 20.

§. 4. *Ἐξεληλυθότος ἤδη τοῦ μηνὸς]* ἂν καὶ εἶχε παρέλθει ὁ μήν.

§. 5. *Καὶ προσδανεισάμενος... καὶ ἀποδόμενος τὰ ἱμάτια]* οὐ μόνον δανεισθεὶς ὅσα περιπλέον ἐχρειάζοντο, ἀλλὰ καὶ τὸ ὑποκάμισόν σου πωλῶν, ὡς λέγει ἡ κοινή.

7 Σεύθην. οἱ μὲν δὴ στρατιῶται Ξενοφῶντι ἐνεκάλουν, ὅτι οὐκ εἶχον τὸν μισθόν· Σεύθης δὲ ἤχθετο αὐτῷ,
8 ὅτι ἐντόνως τοῖς στρατιώταις ἀπῄτει τὸν μισθόν. καὶ τέως μὲν ἀεὶ ἐμέμνητο ὡς, ἐπειδὰν ἐπὶ θάλατταν ἀπέλθῃ, παραδώσοι αὐτῷ Βισάνθην καὶ Γάνος καὶ Νέον τεῖχος· ἀπὸ δὲ τούτου τοῦ χρόνου οὐδενὸς ἔτι τούτων ἐμέμνητο· ὁ γὰρ Ἡρακλείδης καὶ τοῦτο διεβεβλήκει, ὡς οὐκ ἀσφαλὲς εἴη τείχη παραδιδόναι ἀνδρὶ δύναμιν ἔχοντι.

9 Ἐκ τούτου ὁ μὲν Ξενοφῶν ἐβουλεύετο, τί χρὴ ποιεῖν περὶ τοῦ ἔτι ἄνω στρατεύεσθαι· ὁ δ' Ἡρακλείδης εἰσαγαγὼν τοὺς ἄλλους στρατηγοὺς πρὸς Σεύθην λέγειν τε ἐκέλευεν αὐτούς, ὅτι οὐδὲν ἂν ἧττον ὀφεῖς ἀγάγοιεν τὴν στρατιὰν ἢ Ξενοφῶν, τόν τε μισθὸν ὑπισχνεῖτο αὐτοῖς ἐντὸς ὀλίγων ἡμερῶν ἔκπλεων παρέσεσθαι δυοῖν μηνοῖν, καὶ συστρατεύεσθαι ἐκέλευε.
10 καὶ ὁ Τιμασίων εἶπεν, Ἐγὼ μὲν τοίνυν, οὐδ' ἂν πέντε μηνῶν μισθὸς μέλλῃ εἶναι, στρατευσαίμην ἂν ἄνευ Ξενοφῶντος. καὶ ὁ Φρυνίσκος καὶ ὁ Κλεάνωρ συνω-
11 μολόγουν τῷ Τιμασίωνι. ἐντεῦθεν ὁ Σεύθης ἐλοιδόρει τὸν Ἡρακλείδην, ὅτι οὐ παρεκάλει καὶ Ξενοφῶντα. ἐκ δὲ τούτου παρακαλοῦσιν αὐτὸν μόνον. ὁ δὲ γνοὺς τοῦ Ἡρακλείδου τὴν πανουργίαν, ὅτι βούλοιτο αὐτὸν διαβάλλειν πρὸς τοὺς ἄλλους στρατηγούς, παρέρχεται λαβὼν τούς τε στρατηγοὺς πάντας καὶ
12 τοὺς λοχαγούς. καὶ ἐπεὶ πάντες ἐπείσθησαν, συνεστρατεύοντο καὶ ἀφικνοῦνται ἐν δεξιᾷ ἔχοντες τὸν

§. 7. Ὅτι ἐντόνως τοῖς στρατιώταις ἀπῄτει τὸν μισθόν] διότι ἰσχυρογνωμόνως ἀπῄτει ὑπὲρ τῶν στρατιωτῶν τὸν μισθόν, τὸν ὡρισμένον.

§. 8. Καὶ τέως μὲν] καὶ μέχρι μὲν ἐκείνου τοῦ χρόνου. — Ἀεὶ ἐμέμνητο] ἀνέφερεν ἑκάστοτε. — Τείχη] Ζ'. β'. 36.

§. 9. Τόν τε μισθὸν ὑπισχνεῖτο κτλ.] = ὑπισχνεῖτό τε παρέσεσθαι αὐτοῖς (ὅτι θὰ ἔχωσιν) ὀλίγων ἡμερῶν (ἐντὸς ὀλίγων ἡμερῶν) ἔκπλεων τὸν μισθὸν δυοῖν μηνοῖν (πλήρη τὸν μισθὸν δύο μηνῶν).

§. 12. Καὶ ἐπεὶ πάντες ἐπείσθησαν] συστρατεύεσθαι Σεύθῃ ἔτι ἄνω (ἀκόμη ἐνδοτέρω, βορειότερον). — Εἰς τὸν Σαλμυδησσὸν] Ὑπέρκειται τοῦ Βυζαντίου τὸ ἔθνος τῶν Ἀστῶν, ἐν ᾧ Καλύβη πόλις· τοὺς Ἀστοὺς τούτους ὑποθέτουσί τινες ὅτι εἶναι οἱ Μελινοφάγοι τοῦ Ξενοφῶντος· ὑπὸ τούτων δὲ διηρπάζοντο οἱ κατὰ τὸν Σαλμυδησσὸν ναυαγοῦντες κατὰ Στράβ. Ζ'. 438. Εἶναι δὲ οὗτος κατὰ τὸν αὐτὸν αἰγιαλὸς ἔρημος, λιθώδης, ἀλίμενος, ἑπτακοσίων σταδίων τὸ μῆκος μέχρι τῶν Κυανέων πετρῶν.

Πόντον διὰ τῶν Μελινοφάγων καλουμένων Θρᾳκῶν εἰς τὸν Σαλμυδησσόν, ἔνθα τῶν εἰς τὸν Πόντον πλεουσῶν νεῶν πολλαὶ ὀκέλλουσι καὶ ἐκπίπτουσι· τέναγος γάρ ἐστιν ἐπὶ πάμπολυ τῆς θαλάττης. καὶ οἱ 13 Θρᾷκες οἱ κατὰ ταῦτα οἰκοῦντες, στήλας ὁρισάμενοι, τὰ καθ' αὑτοὺς ἐκπίπτοντα ἕκαστοι λήζονται· τέως δὲ ἔλεγον, πρὶν ὁρίσασθαι, ἁρπάζοντας πολλοὺς ὑπ' ἀλλήλων ἀποθνήσκειν. ἐνταῦθα ηὑρίσκοντο πολλαὶ μὲν 14 κλῖναι, πολλὰ δὲ κιβώτια, πολλαὶ δὲ βίβλοι γεγραμμέναι, καὶ τἆλλα πολλά, ὅσα ἐν ξυλίνοις τεύχεσι ναύκληροι ἄγουσιν. ἐντεῦθεν ταῦτα καταστρεψάμε- 15 νοι ἀπῆσαν πάλιν. ἔνθα δὴ Σεύθης εἶχε στράτευμα ἤδη πλέον τοῦ Ἑλληνικοῦ· ἔκ τε γὰρ Ὀδρυσῶν πολὺ ἔτι πλείους κατεβεβήκεσαν καὶ οἱ ἀεὶ πειθόμενοι συνεστρατεύοντο. κατηυλίσθησαν δ' ἐν τῷ πεδίῳ τῷ ὑπὲρ Σηλυβρίας, ὅσον τριάκοντα σταδίους ἀπέχοντες τῆς θαλάττης. καὶ μισθὸς μὲν οὐδείς πω ἐφαίνετο· πρὸς 16 δὲ τὸν Ξενοφῶντα οἵ τε στρατιῶται παγχαλέπως εἶχον ὅ τε Σεύθης οὐκέτι οἰκείως διέκειτο, ἀλλ' ὁπότε συγγενέσθαι αὐτῷ βουλόμενος ἔλθοι, πολλαὶ ἤδη ἀσχολίαι ἐφαίνοντο.

στ'. Ἐν τούτῳ τῷ χρόνῳ, σχεδὸν ἤδη δύο μηνῶν ὄν- 1 των, ἀφικνεῖται Χαρμῖνός τε ὁ Λάκων καὶ Πολύνικος παρὰ Θίβρωνος καὶ λέγουσιν, ὅτι Λακεδαιμονίοις δοκεῖ στρατεύεσθαι ἐπὶ Τισσαφέρνην, καὶ Θίβρων ἐκπέπλευκεν ὡς πολεμήσων, καὶ δεῖται ταύτης τῆς στρατιᾶς καὶ λέγει, ὅτι δαρεικὸς ἑκάστῳ ἔσται μισθὸς τοῦ μηνὸς καὶ τοῖς λοχαγοῖς διμοιρία, τοῖς δὲ στρατηγοῖς

§. 13. Τέως δὲ] μέχρι μέν τινος χρόνου, πρὶν δηλαδὴ διὰ στηλῶν ὁρίσωσιν ἕκαστος τὸ ἑαυτοῦ.

§. 15. Ταῦτα καταστρεψάμενοι] ἀφοῦ κατέστρεψαν τὰ εἰς τοῦτον τὸν τόπον χωρία.

§. 16. Ὁπότε... ἔλθοι] ὁσάκις ἤρχετο. Α'. β'. 7.

2 τετραμοιρία. ἐπεὶ δ' ἦλθον οἱ Λακεδαιμόνιοι, εὐθὺς
ὁ Ἡρακλείδης, πυθόμενος ὅτι ἐπὶ τὸ στράτευμα ἥκουσι,
λέγει τῷ Σεύθῃ, ὅτι κάλλιστον γεγένηται· οἱ μὲν γὰρ
Λακεδαιμόνιοι δέονται τοῦ στρατεύματος, σὺ δὲ οὐκέτι
δέῃ· ἀποδιδοὺς δὲ τὸ στράτευμα χαριεῖ αὐτοῖς, σὲ δὲ
3 οὐκέτι ἀπαιτήσουσι τὸν μισθόν, ἀλλ' ἀπαλλάξονται
ἐκ τῆς χώρας. ἀκούσας ταῦτα ὁ Σεύθης κελεύει παρ-
άγειν· καὶ ἐπεὶ εἶπον, ὅτι ἐπὶ τὸ στράτευμα ἥκουσιν,
ἔλεγεν ὅτι τὸ στράτευμα ἀποδίδωσι, φίλος τε καὶ σύμ-
μαχος εἶναι βούλεται, καλεῖ τε αὐτοὺς ἐπὶ ξενίᾳ· καὶ
ἐξένιζε μεγαλοπρεπῶς. Ξενοφῶντα δὲ οὐκ ἐκάλει, οὐ-
4 δὲ τῶν ἄλλων στρατηγῶν οὐδένα. ἐρωτώντων δὲ τῶν
Λακεδαιμονίων, τίς ἀνὴρ εἴη Ξενοφῶν, ἀπεκρίνατο,
ὅτι τὰ μὲν ἄλλα εἴη οὐ κακός, φιλοστρατιώτης δέ· καὶ
διὰ τοῦτο χεῖρόν ἐστιν αὐτῷ. καὶ οἳ εἶπον, Ἀλλ' ἦ
δημαγωγεῖ ὁ ἀνὴρ τοὺς ἄνδρας; καὶ ὁ Ἡρακλείδης,
5 Πάνυ μὲν οὖν, ἔφη. Ἆρ' οὖν, ἔφασαν, μὴ καὶ ἡμῖν
ἐναντιώσεται τῆς ἀπαγωγῆς; Ἀλλ' ἦν ὑμεῖς, ἔφη ὁ
Ἡρακλείδης, συλλέξαντες αὐτοὺς ὑπόσχησθε τὸν μι-
σθὸν ὀλίγον ἐκείνῳ προσχόντες, ἀποδραμοῦνται σὺν
6 ὑμῖν. Πῶς οὖν ἄν, ἔφασαν, ἡμῖν συλλεγεῖεν; Αὔριον
ὑμᾶς, ἔφη ὁ Ἡρακλείδης, πρῳ ἄξομεν πρὸς αὐτούς·
καὶ οἶδα, ἔφη, ὅτι, ἐπειδὰν ὑμᾶς ἴδωσιν, ἅσμενοι συν-
δραμοῦνται. αὕτη μὲν ἡ ἡμέρα οὕτως ἔληξε.
7 Τῇ δ' ὑστεραίᾳ ἄγουσιν ἐπὶ τὸ στράτευμα τοὺς
Λάκωνας Σεύθης τε καὶ Ἡρακλείδης, καὶ συλλέγεται
ἡ στρατιά. τῷ δὲ Λάκωνε ἐλεγέτην, ὅτι Λακεδαιμο-
νίοις δοκεῖ πολεμεῖν Τισσαφέρνει τῷ ὑμᾶς ἀδικήσ-
αντι· ἦν οὖν ἴητε σὺν ἡμῖν, τόν τε ἐχθρὸν τιμω-

Κεφ. στ'. §. 2. *Κάλλιστον γεγένηται*] τὸ γεγενημένον κάλλιστόν ἐστιν, ἡ ἄφιξις δηλαδὴ τῶν Λακεδαιμονίων, ἵνα αἰτήσωνται τὸ Ἑλληνικὸν στράτευμα.

§. 3. *Κελεύει παράγειν*] νὰ ἀγάγωσι πρὸς αὐτὸν τοὺς πρέσβεις τῶν Λακεδαιμονίων. — *Ἐπὶ ξενίᾳ*] ΣΤ'. ά. 3.

§. 4. *Τίς ἀνὴρ*] = ὁποῖός τις ἀνήρ. — *Ἀλλ' ἦ δημαγωγεῖ;*] Ἀλλὰ μήπως δημαγωγεῖ ἤ, ὡς λέγει ἡ κοινή, Μπᾶς καὶ δημαγωγεῖ; — *Ἆρ' οὖν μὴ καὶ ἡμῖν ἐναντιώσεται;*] μήπως λοιπὸν ἐναντιωθῇ καὶ εἰς ἡμᾶς ὡς πρὸς τὴν ἀπαγωγήν;

§. 7. *Τῷ Λάκωνε*] Χαρμῖνος καὶ Πολύνικος. Ζ'. στ'. 1.

ρήσεσθε καὶ δαρεικὸν ἕκαστος οἴσει τοῦ μηνὸς ὑμῶν,
λοχαγὸς δὲ τὸ διπλοῦν, στρατηγὸς δὲ τὸ τετραπλοῦν.
καὶ οἱ στρατιῶται ἅσμενοί τε ἤκουσαν καὶ εὐθὺς ἀνί- 8
σταταί τις τῶν Ἀρκάδων τοῦ Ξενοφῶντος κατηγο-
ρήσων. παρῆν δὲ καὶ Σεύθης βουλόμενος εἰδέναι, τί
πραχθήσεται, καὶ ἐν ἐπηκόῳ εἱστήκει ἔχων ἑρμηνέα·
συνίει δὲ καὶ αὐτὸς ἑλληνιστὶ τὰ πλεῖστα. ἔνθα δή 9
λέγει ὁ Ἀρκάς, Ἀλλ' ἡμεῖς μέν, ὦ Λακεδαιμόνιοι, καὶ
πάλαι ἂν ἦμεν παρ' ὑμῖν, εἰ μὴ Ξενοφῶν ἡμᾶς δεῦρο
πείσας ἀπήγαγεν, ἔνθα δὴ ἡμεῖς μὲν τὸν δεινὸν χει-
μῶνα στρατευόμενοι καὶ νύκτα καὶ ἡμέραν οὐδὲν
πεπαύμεθα, ὁ δὲ τοὺς ἡμετέρους πόνους ἔχει· καὶ
Σεύθης ἐκεῖνον μὲν ἰδίᾳ πεπλούτικεν, ἡμᾶς δὲ ἀπο-
στερεῖ τὸν μισθόν. ὥστε ὅ γε πρῶτος λέγων ἐγὼ μέν, 10
εἰ τοῦτον ἴδοιμι καταλευσθέντα καὶ δόντα δίκην ὧν
ἡμᾶς περιεῖλκε, καὶ τὸν μισθὸν ἄν μοι δοκῶ ἔχειν καὶ
οὐδὲν ἐπὶ τοῖς πεπονημένοις ἄχθεσθαι. μετὰ τοῦτον
ἄλλος ἀνέστη ὁμοίως καὶ ἄλλος. ἐκ δὲ τούτου Ξενο-
φῶν ἔλεξεν ὧδε.

Ἀλλὰ πάντα μὲν ἄρα ἄνθρωπον ὄντα προσδοκᾶν 11
δεῖ, ὁπότε γε καὶ ἐγὼ νῦν ὑφ' ὑμῶν αἰτίας ἔχω, ἐν ᾧ
πλείστην προθυμίαν ἐμαυτῷ γε δοκῶ συνειδέναι περὶ
ὑμᾶς παρεσχημένος. ἀπετραπόμην μέν γε ἤδη οἴκαδε

§. 8. *Ἐν ἐπηκόῳ*] Β'. ε. 38. — *Ξυνίει*] ἐνόει. Συνίημι = νοῶ. — *Ὁ Ἀρκάς*] ὁ ἀναστάς, τις τῶν Ἀρκάδων, ὡς εἶπεν ἀνωτέρω.

§. 9. *Ὁ δὲ τοὺς ἡμετέρους πόνους ἔχει*] ὁ δὲ Ξενοφῶν τρώγει τοὺς κόπους μας ἢ τὴν δουλευσίν μας, λέγει ἡ κοινὴ = ἐσφετεριόθη τοὺς μισθοὺς μας.

§. 10. *Ὥστε ὅ γε πρῶτος κτλ.*] = ὥστε ἐγὼ μέν, ὁ πρῶτος λαβὼν τὸν λόγον, κτλ. — *Καταλευσθέντα*] λιθοβοληθέντα. — *Δόντα δίκην ὧν περιεῖλκε*] τιμωρημένον διότι μᾶς ἔφερεν ὅπου ἤθελεν ἕλκων ἀπὸ τῆς ρινός.

§. 11. *Ἀλλὰ πάντα μὲν ἄρα ἄνθρωπον ὄντα προσδοκᾶν δεῖ*] Τῇ ἀληθείᾳ τὰ πάντα, ὡς φαίνεται, πρέπει νὰ προσδοκᾷ τις, ἅμα εἶναι ἄνθρωπος. *Ἴδε Α'. ἡ.* 17, *Β'. β'.* 3. *Ὅτι δὲ πάντα* = τὰ πάντα. *Ἴδε Γ'. ά.* 36. — *Ἐν ᾧ*] χρόνῳ = ὅτε. — *Ἐμαυτῷ γε δοκῶ συνειδέναι παρεσχημένος*] φρονῶ ὅτι ἐν ἀληθείᾳ συνειδήσει κατέβαλον ὑπὲρ ὑμῶν πλείστην προθυμίαν. — *Ἀπετραπόμην μέν γε*] ἀπετραπόμην μὲν γάρ. Φαίνεται ὁ γε ἐπεξηγηματικὸς ἀντὶ τοῦ συνηθεστέρου τιθεμένου γάρ· ἐπεξηγεῖ δὲ τὰ προ-

ὡρμημένος, οὐ μὰ τὸν Δία οὕτοι πυνθανόμενος ὑμᾶς εὖ πράττειν, ἀλλὰ μᾶλλον ἀκούων ἐν ἀπόροις εἶναι, 12 ὡς ὠφελήσων, εἴ τι δυναίμην. ἐπεὶ δὲ ἦλθον, Σεύθου τουτουὶ πολλοὺς ἀγγέλους πρὸς ἐμὲ πέμποντος καὶ πολλὰ ὑπισχνουμένου μοι, εἰ πείσαιμι ὑμᾶς πρὸς αὐτὸν ἐλθεῖν, τοῦτο μὲν οὐκ ἐπεχείρησα ποιεῖν, ὡς αὐτοὶ ὑμεῖς ἐπίστασθε· ἦγον δέ, ὅθεν ᾤμην τάχιστ' ἂν ὑμᾶς εἰς τὴν Ἀσίαν διαβῆναι· ταῦτα γὰρ καὶ βέλτιστα 13 ἐνόμιζον ὑμῖν εἶναι καὶ ὑμᾶς ᾔδειν βουλομένους. ἐπεὶ δ' Ἀρίσταρχος ἐλθὼν σὺν τριήρεσιν ἐκώλυε διαπλεῖν ἡμᾶς, ἐκ τούτου, ὅπερ εἰκὸς δήπου ἦν, συνέλεξα ὑμᾶς, 14 ὅπως βουλευσαίμεθα ὅ τι χρὴ ποιεῖν. οὐκοῦν ὑμεῖς ἀκούοντες μὲν Ἀριστάρχου ἐπιτάττοντος ὑμῖν εἰς Χερρόνησον πορεύεσθαι, ἀκούοντες δὲ Σεύθου πείθοντος ἑαυτῷ συστρατεύεσθαι, πάντες μὲν ἐλέγετε σὺν Σεύθῃ εἶναι, πάντες δ' ἐψηφίσασθε ταῦτα. τί οὖν ἐγὼ ἐνταῦθα ἠδίκησα ἀγαγὼν ὑμᾶς, ἔνθα πᾶσιν ὑμῖν 15 ἐδόκει; ἐπεί γε μὴν ψεύδεσθαι ἤρξατο Σεύθης περὶ τοῦ μισθοῦ, εἰ μὲν ἐπαινῶ αὐτόν, δικαίως ἄν με καὶ αἰτιῷσθε καὶ μισοῖτε· εἰ δέ, πρόσθεν αὐτῷ πάντων μάλιστα φίλος ὤν, νῦν πάντων διαφορώτατός εἰμι, πῶς ἂν ἔτι δικαίως ὑμᾶς αἱρούμενος ἀντὶ Σεύθου ὑφ' ὑμῶν αἰτίαν ἔχοιμι περὶ ὧν πρὸς τοῦτον διαφέρομαι; 16 ἀλλ' εἰποιτ' ἄν, ὅτι ἔξεστι καὶ τὰ ὑμέτερα ἔχοντα παρὰ Σεύθου τεχνάζειν. οὐκοῦν δῆλον τουτό γε ἐστιν, εἴπερ

ηγούμενα. Τὸ δὲ ὅλον, Ἥλλαξα μὲν διεύθυνσιν, ἐν ᾧ ἤδη ἤμην ἕτοιμος νὰ ἀναχωρήσω εἰς τὴν πατρίδα μου, ἵνα σᾶς ὠφελήσω ὅ τι ἤθελον δυνηθῆ, ὄχι μὰ τὸν Δία διότι ἐπληροφορούμην ὅτι ηὐτυχεῖτε, ἀλλὰ μᾶλλον διότι ἤκουσα ὅτι εὑρίσκεσθε ἐν ἀμηχανίᾳ. Τὸ οὕτοι μετὰ τὸ οὐ μὰ Δία τίθεται ὅπως τὸ μέντοι μετὰ τὸ Ναὶ μὰ Δία. Ἴδε κατωτέρω, §. 21.

§. 14. *Οὔκουν ὑμεῖς... πάντες μὲν ἐλέγετε;*] Δὲν εἶναι ἀληθὲς ὅτι πάντες ὑμεῖς ἐλέγετε μὲν... ἐψηφίσασθε δέ; Β'. ἐ. 24.—Ἔνθα πᾶσιν ὑμῖν ἐδόκει] ὅπου ἅπαντες ὑμεῖς ἐθεωρεῖτε καλὸν νὰ ἔλθωμεν.

§. 15. *Διαφορώτατος*] καθ' ὁλοκληρίαν διάφορος, ἔχθιστος — *Πῶς ἂν ὑφ' ὑμῶν αἰτίαν ἔχοιμι;*] πῶς εἶναι δυνατὸν νὰ κατηγορηθῶ ὑφ' ὑμῶν ἕνεκα ἐκείνων, περὶ ὧν πρὸς τοῦτον ἐρίζω;

§. 16. *Τὰ ὑμέτερα παρὰ Σεύθου ἔχοντα*] ἂν καὶ ἔλαβον παρὰ Σεύθου τὰ ὀφειλόμενα εἰς

ἐμοὶ ἐτέλει τι Σεύθης, οὐχ οὕτως ἐτέλει δήπου, ὡς ὧν τε ἐμοὶ δοίη στέροιτο καὶ ἄλλα ὑμῖν ἀποτίσειεν, ἀλλ', οἶμαι, εἰ ἐδίδου, ἐπὶ τούτῳ ἂν ἐδίδου, ὅπως, ἐμοὶ δοὺς μεῖον, μὴ ἀποδοίη ὑμῖν τὸ πλεῖον. εἰ τοίνυν οὕτως 17 ἔχειν οἴεσθε, ἔξεστιν ὑμῖν αὐτίκα μάλα ματαίαν ταύτην τὴν πρᾶξιν ἀμφοτέροις ἡμῖν ποιῆσαι, ἐὰν πράττητε αὐτὸν τὰ χρήματα· δῆλον γὰρ ὅτι Σεύθης, εἰ ἔχω τι παρ' αὐτοῦ, ἀπαιτήσει με, καὶ ἀπαιτήσει μέντοι δικαίως, ἐὰν μὴ βεβαιῶ τὴν πρᾶξιν αὐτῷ, ἐφ' ᾗ ἐδωροδόκουν. ἀλλὰ πολλοῦ μοι δοκῶ δεῖν τὰ ὑμέτερα 18 ἔχειν· ὀμνύω γὰρ ὑμῖν θεοὺς πάντας καὶ πάσας μηδ' ἃ ἐμοὶ ἰδίᾳ ὑπέσχετο Σεύθης ἔχειν· πάρεστι δὲ καὶ αὐτὸς καὶ ἀκούων σύνοιδέ μοι, εἰ ἐπιορκῶ· ἵνα δὲ 19 μᾶλλον θαυμάσητε, συνεπόμνυμι μηδὲ ἃ οἱ ἄλλοι στρατηγοὶ ἔλαβον εἰληφέναι, μὴ τοίνυν μηδὲ ὅσα τῶν λοχαγῶν ἔνιοι. καὶ τί δὴ ταῦτ' ἐποίουν; ᾤμην, ἄν- 20 δρες, ὅσῳ μᾶλλον συμφέροιμι τούτῳ τὴν τότε πενίαν, τοσούτῳ μᾶλλον αὐτὸν φίλον ποιήσεσθαι, ὁπότε δυνασθείη. ἐγὼ δὲ ἅμα τε αὐτὸν ὁρῶ εὖ πράττοντα καὶ γιγνώσκω δὴ αὐτοῦ τὴν γνώμην. εἴποι δή τις ἄν, 21 Οὔκουν αἰσχύνῃ οὕτω μώρως ἐξαπατώμενος; ναὶ μὰ Δία ᾐσχυνόμην μέντοι, εἰ ὑπὸ πολεμίου γε ὄντος ἐξηπατήθην· φίλῳ δὲ ὄντι ἐξαπατᾶν αἴσχιόν μοι δοκεῖ

ὑμᾶς. — *Τεχνάζειν*] σᾶς ἀπατῶ. = *Κυρίως πανούργως φέρομαι.*— *Οὔκουν δῆλον τοῦτο*] δὲν εἶναι φανερὸν τοῦτο, ὅτι δηλαδή, εἴπερ ἐμοί κτλ. — *Ἐπὶ τούτῳ ἂν ἐδίδου*] μὲ ταύτην τὴν συμφωνίαν θὰ ἔδιδε.

§. 17. *Ταύτην τὴν πρᾶξιν*] τὸ κακούργημα τοῦτο, τὸ διδόναι δηλαδὴ ἐμοὶ ὀλιγώτερα, ἵνα μὴ ἀποδώσῃ εἰς ὑμᾶς τὰ περισσότερα. — *Ἂν πράττητε αὐτὸν τὰ χρήματα*] ἂν ζητήσητε νὰ λάβητε παρ' αὐτοῦ τὰ χρήματα.

§. 18. *Ἀλλὰ πολλοῦ μοι δοκῶ δεῖν*] ἀλλὰ μοὶ φαίνεται ὅτι ἀπέχω πολὺ ἀπὸ τοῦ νὰ ἔχω τὰ ὑμέτερα. — *Σύνοιδέ μοι*] γνωρίζει μετ' ἐμοῦ = δύναται νὰ ὁμολογήσῃ.

§. 19. *Μηδὲ ἃ*] = μηδὲ ὅσα, ὡς λέγει μικρὸν ἔπειτα. — *Μὴ τοίνυν*] = μή τοι = ἀλλ' οὔτε σᾶς βεβαιῶ ὅσα κτλ.

§. 20. *Καὶ τί δή*] καὶ διατί; — *Τούτῳ*] τῷ Σεύθῃ. Τὸ δὲ ὅλον = ὅσῳ περισσότερον ἤθελον ὑποφέρει μετὰ τούτου τὴν πενίαν.

§. 21. *Ἠσχυνόμην μέντοι*] θὰ ᾐσχυνόμην οὐδὲν ἧττον. Α'. ἡ 20. *Καὶ οὐδὲν μέντοι. Περὶ τῆς παραλείψεως τοῦ ἄν ἴδε Ζ'. ζ' 40.*

εἶναι ἢ ἐξαπατᾶσθαι. ἐπεὶ εἴ γε πρὸς φίλους ἐστὶ φυ- 22
λακή, πᾶσαν οἶδα ἡμᾶς φυλαξαμένους ὡς μὴ παρα-
σχεῖν τούτῳ πρόφασιν δικαίαν μὴ ἀποδιδόναι ἡμῖν, ἃ
ὑπέσχετο· οὔτε γὰρ ἠδικήσαμεν τοῦτον οὐδὲν οὔτε
κατεβλακεύσαμεν τὰ τούτου οὐδὲ μὴν κατεδειλιάσα- 23
μεν οὐδὲν ἐφ' ὅ τι ἡμᾶς οὗτος παρεκάλεσεν. ἀλλά,
φαίητε ἄν, ἔδει τὰ ἐνέχυρα τότε λαβεῖν, ὡς, μηδ' εἰ
ἐβούλετο, ἐδύνατο ἐξαπατᾶν. πρὸς ταῦτα δὴ ἀκούσατε,
ἃ ἐγὼ οὐκ ἄν ποτε εἶπον τούτου ἐναντίον, εἰ μή μοι
παντάπασιν ἀγνώμονες ἐδοκεῖτε εἶναι ἢ λίαν εἰς ἐμὲ
ἀχάριστοι· ἀναμνήσθητε γὰρ ἐν ποίοις τισὶ πράγμα- 24
σιν ὄντες ἐτυγχάνετε, ἐξ ὧν ὑμᾶς ἐγὼ ἀνήγαγον πρὸς
Σεύθην. οὐκ εἰς μὲν Πέρινθον, εἰ προσῇτε τῇ πό-
λει, Ἀρίσταρχος ὑμᾶς ὁ Λακεδαιμόνιος οὐκ εἴα εἰσιέ-
ναι ἀποκλείσας τὰς πύλας, ὑπαίθριοι δ' ἔξω ἐστρα-
τοπεδεύετε, μέσος δὲ χειμὼν ἦν, ἀγορᾷ δὲ ἐχρῆσθε
σπάνια μὲν ὁρῶντες τὰ ὤνια, σπάνια δ' ἔχοντες ὅτων 25
ὠνοῖσθε, ἀνάγκη δὲ ἦν μένειν ἐπὶ Θράκης; τριήρεις
γὰρ ἐφορμοῦσαι ἐκώλυον διαπλεῖν· εἰ δὲ μένοι τις,
ἐν πολεμίᾳ εἶναι, ἔνθα πολλοὶ μὲν ἱππεῖς ἦσαν ἐναν- 26
τίοι, πολλοὶ δὲ πελτασταί, ἡμῖν δὲ ὁπλιτικὸν μὲν ἦν,
ᾧ ἀθρόοι μὲν ἰόντες ἐπὶ τὰς κώμας, ἴσως ἂν ἐδυνάμεθα
σῖτον λαμβάνειν οὐδέν τι ἄφθονον, ὅτῳ δὲ διώκοντες
ἂν ἢ ἀνδράποδα ἢ πρόβατα κατελαμβάνομεν, οὐκ ἦν
ἡμῖν· οὔτε γὰρ ἱππικὸν οὔτε πελταστικὸν ἔτι ἐγὼ συν-

§. 22 *Εἴ γε πρὸς φίλους ἐστὶ φυλακὴ κτλ.*] ἂν πρέπει φίλοι νὰ προσέχωσι φίλους, γνωρίζω ὅτι τὰ μάλιστα ἐπροσέξατε. — *Οὔτε κατεβλακεύσαμεν*] οὔτε βλακωδῶς ἢ ὀκνηρῶς διεξήγομεν τὰς ὑποθέσεις του, Β'. γ'. 11. — *Κατεδειλιάσαμεν οὐδὲν*] οὔτε ὑπὸ δειλίας παρημελήσαμεν οὐδὲν ἐξ ἐκείνων, δι' ἃ μᾶς εἶχε προσκαλέσει. Α'. θ'. 9

§. 24 *Ἀναμνήσθητε γάρ*] ἀναμνήσθητε λοιπόν. Γ'. β'. 29.— *Πράγμασι*] ἀμηχανίαις. Δ'. ά. 22. — *Σπάνια... ὅτων ὠνοῖσθε*] σπάνια δ' ἔχοντες τὰ χρήματα, ἀνθ' ὧν ἦτο δυνατὸν νὰ ταγοράσητε; Ἴδε καὶ Ζ'. β'. 15.

§. 26. *Ὅτῳ δὲ διώκοιτες*] δύναμιν δὲ ἢ στρατιωτικὸν σῶμα (ἱππικὸν ἢ πελταστικόν), δι' οὗ καταδιώκοντες — *Ἔτι ἐγὼ συνεστηκὼς κατέλαβον*] (ὅτε ἐγὼ ἐπανῆλθον πρὸς ὑμᾶς) δὲν εὗρον πλέον οὔτε ἱππικὸν οὔτε πελταστικὸν συγκεκροτημένον. Ἐκ τούτου δῆλον γίγνεται ὅτι πρὸς τοῖς ἄλλοις καὶ τοὺς ἵππους εἶχον πωλήσει οἱ ἱππεῖς κατὰ τὴν μικρὰν τοῦ Ξενοφῶντος ἀπουσίαν. Ἴδε Ζ'. ά. 3. κτλ.

§. 27. *Ἢ κακῶς ἂν ἐδόκουν βεβουλεῦσθαι πρὸ ὑμῶν*] ἆρά γε θὰ ἠδυνασθε τότε νὰ νομίσητε ὅτι κακῶς εἶχον σκεφθῆ ὑπὲρ ὑμῶν;

§. 28. *Μᾶλλον φεύγειν... μᾶλλον μετέσχετε*] εὐκολώτερον ἔφευγον... εὐκολώτερον μετέσχετε, χωρὶς δηλαδὴ νὰ μοχθήσητε σεῖς τόσον πολύ Γ'. β'. 19.

§. 29. *Τέως δὲ*] ἕως τούτου δὲ τοῦ χρόνου, πρὸ δηλαδὴ τῆς ἠμετέρας μετὰ τοῦ Κύρου συμμαχίας. Ζ'. ἐ. 8. — *Κωλύοντες μηδαμῇ πορίζεσθαι*] οὐδαμοῦ ἐῶντες νὰ πορίζωμεθα.

§. 31. *Περιττὸν δ' ἔχοντες τοῦτο, εἴ τι*] κέρδος δ' ἔχοντες ἐκεῖνα, ὅσα ἐλάβετε παρὰ Σεύθου; *Περιττὸν τὸ νῦν λεγόμενον περίσσευμα.* — *Ἐπείδετε ὑμῶν αὐτῶν ἀποθανόντας*] ἔσχετε τὴν δυστυχίαν νὰ ἴδητε ζῶντες τινὰς ἐξ ὑμῶν αὐτῶν ἀποθανόντας. Ζ'. ά. 30.

§. 32. *Ἄλλην εὔκλειαν*] τὸ κρατῆσαι καὶ τοὺς ἐν Εὐρώπῃ Θρᾷ-

εστηκὼς κατέλαβον παρ' ὑμῖν. εἰ οὖν, ἐν τοιαύτῃ ἀ- 27
νάγκῃ ὄντων ὑμῶν, μηδ' ὁντιναοῦν μισθὸν προσαι-
τήσας Σεύθην σύμμαχον ὑμῖν προσέλαβον, ἔχοντα καὶ
ἱππέας καὶ πελταστάς, ὧν ὑμεῖς προσεδεῖσθε, ἢ κακῶς
ἂν ἐδόκουν ὑμῖν βεβουλεῦσθαι πρὸ ὑμῶν; τούτων 28
γὰρ δήπου κοινωνήσαντες, καὶ σῖτον ἀφθονώτερον ἐν
ταῖς κώμαις ηὑρίσκετε διὰ τὸ ἀναγκάζεσθαι τοὺς Θρᾷ-
κας κατὰ σπουδὴν μᾶλλον φεύγειν, καὶ προβάτων καὶ
ἀνδραποδων μᾶλλον μετέσχετε· καὶ πολέμιον οὐκέτι 29
οὐδένα ἑωρῶμεν, ἐπειδὴ τὸ ἱππικὸν ἡμῖν προσεγένετο·
τέως δὲ θαρραλέως ἡμῖν ἐφείποντο οἱ πολέμιοι καὶ
ἱππικῷ καὶ πελταστικῷ κωλύοντες μηδαμῇ κατ' ὀλί-
γους ἀποσκεδαννυμένους τὰ ἐπιτήδεια ἀφθονώτερα
ἡμᾶς πορίζεσθαι. εἰ δὲ δὴ ὁ συμπαρέχων ὑμῖν ταύτην 30
τὴν ἀσφάλειαν μὴ πάνυ πολὺν μισθὸν προσετέλει τῆς
ἀσφαλείας, τοῦτο δὴ τὸ σχέτλιον πάθημα; καὶ διὰ τοῦτο
οὐδαμῇ οἴεσθε χρῆναι ζῶντα ἐμὲ ἀνεῖναι; νῦν δὲ δὴ 31
πῶς ἀπέρχεσθε; οὐ διαχειμάσαντες μὲν ἐν ἀφθόνοις
τοῖς ἐπιτηδείοις, περιττὸν δ' ἔχοντες τοῦτο, εἴ τι ἐλά-
βετε παρὰ Σεύθου; τὰ γὰρ τῶν πολεμίων ἐδαπανᾶτε.
καὶ ταῦτα πράττοντες οὔτε ἄνδρας ἐπείδετε ὑμῶν αὐ-
τῶν ἀποθανόντας οὔτε ζῶντας ἀπεβάλετε. εἰ δέ τι 32
καλὸν πρὸς τοὺς ἐν τῇ Ἀσίᾳ βαρβάρους ἐπέπρακτο
ὑμῖν, οὐ κἀκεῖνο σῶν ἔχετε καὶ πρὸς ἐκείνοις νῦν

ἄλλην εὔκλειαν προσειλήφατε καὶ τοὺς ἐν τῇ Εὐρώπῃ Θρᾷκας, ἐφ' οὓς ἐστρατεύσασθε, κρατήσαντες; ἐγὼ μὲν ὑμᾶς φημι δικαίως ἄν, ὧν ἐμοὶ χαλεπαίνετε, τούτων
33 τοῖς θεοῖς χάριν εἰδέναι ὡς ἀγαθῶν. καὶ τὰ μὲν δὴ ὑμέτερα τοιαῦτα. ἄγετε δὴ πρὸς θεῶν καὶ τὰ ἐμὰ σκέψασθε ὡς ἔχει· ἐγὼ γάρ, ὅτε μὲν πρότερον ἀπῆρα οἴκαδε, ἔχων μὲν ἔπαινον πολὺν πρὸς ὑμῶν ἀπεπορευόμην, ἔχων δὲ δι' ὑμᾶς καὶ ὑπὸ τῶν ἄλλων Ἑλλήνων εὔκλειαν, ἐπιστευόμην δὲ ὑπὸ Λακεδαιμονίων·
34 οὐ γὰρ ἄν με ἔπεμπον πάλιν πρὸς ὑμᾶς. νῦν δὲ ἀπέρχομαι πρὸς μὲν Λακεδαιμονίους ὑφ' ὑμῶν διαβεβλημένος, Σεύθῃ δὲ ἀπηχθημένος ὑπὲρ ὑμῶν, ὃν ἤλπιζον εὖ ποιήσας μεθ' ὑμῶν ἀποστροφὴν καὶ ἐμοὶ καλὴν καὶ
35 παισίν, εἰ γένοιτο, καταθήσεσθαι. ὑμεῖς δ', ὑπὲρ ὧν ἐγὼ ἀπήχθημαί τε πλεῖστα καὶ ταῦτα πολὺ κρείττοσιν ἐμαυτοῦ, πραγματευόμενός τε οὐδὲ νῦν πω πέπαυμαι ὅ τι δύναμαι ἀγαθὸν ὑμῖν, τοιαύτην ἔχετε
36 γνώμην περὶ ἐμοῦ. ἀλλ' ἔχετέ μέν με οὔτε φεύγοντα λαβόντες οὔτε ἀποδιδράσκοντα· ἢν δὲ ποιήσητε, ἃ λέγετε, ἴστε ὅτι ἄνδρα κατακεκονότες ἕσεσθε πολλὰ μὲν δὴ πρὸ ὑμῶν ἀγρυπνήσαντα, πολλὰ δὲ σὺν ὑμῖν πονήσαντα καὶ κινδυνεύσαντα καὶ ἐν τῷ μέρει καὶ παρὰ τὸ μέρος, θεῶν δ' ἴλεων ὄντων, καὶ τρόπαια βαρβάρων πολλὰ δὴ σὺν ὑμῖν στησάμενον, ὅπως δέ γε μη-

κας. Χαριέστερον ὅμως τοῦτο ἐξήνεγκε μετοχικῶς.

§. 33. Ἄγετε... σκέψασθε] Β'. β'. 10. — Ἀπῆρα] ἀνῆχθην. Κυρίως ἀπῆρα τὴν ἄγκυραν.

§. 34. Ἀποστροφὴν] καταφύγιον. Β'. δ'. 22. — Εἰ γένοιτο] ἂν ἡ τύχη ἤθελε μ' ἀναγκάσει.

§. 35. Ὑμεῖς δὲ κτλ.] = ὑμεῖς δὲ ἔχετε περὶ ἐμοῦ τοιαύτην (τόσον κακὴν) γνώμην περὶ ἐμοῦ τούτων ἕνεκα, ὑπὲρ ὧν ἐγὼ ἀπῆχθημαί τε πλεῖστα, καὶ ταῦτα ἀνδράσι πολὺ κρείττοσιν ἐμαυτοῦ (τοῖς περὶ τὸν Σεύθην δη-

λονότι) νῦν τε οὐδέπω πέπαυμαι πραγματευόμενος ὅ τι ἀγαθὸν ὑμῖν δύναμαι. — Καὶ ταῦτα πολὺ κρειττοσιν ἐμαυτοῦ] οὗσιν = ἐν ᾧ μάλιστα εἶναι ἰσχυρότεροί μου Α'. δ'. 12.

§. 36. Φεύγοντα... ἀποδιδράσκοντα] Α'. δ'. 8. — Κατακεκονότες ἔσεσθε] Θὰ ἔχητε φονευμένον. Μετ' ὀλίγον μέλλων. — Καὶ ἐν τῷ μέρει καὶ παρὰ τὸ μέρος] καὶ ὅτε ἡ ὑπηρεσία μου τὸ ἀπῃτει καὶ ὅτε μή. — Πᾶν... πρὸς ὑμᾶς διατεινάμενον] μεθ' ὅσης ἐγὼ ἠδυνάμην προθυμίας

δεν τῶν Ἑλλήνων πολέμιοι γένοισθε, πᾶν ὅσον ἐγὼ ἐδυνάμην πρὸς ὑμᾶς διατεινάμενον. καὶ γὰρ οὖν νῦν 37
ὑμῖν ἔξεστιν ἀνεπιλήπτως πορεύεσθαι, ὅπῃ ἂν ἕλησθε, καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν. ὑμεῖς δέ, ὅτε πολλὴ ὑμῖν εὐπορία φαίνεται, καὶ πλεῖτε ἔνθα δὴ ἐπεθυμεῖτε πάλαι, δέονταί τε ὑμῶν οἱ μέγιστον δυνάμενοι, μισθὸς δὲ φαίνεται, ἡγεμόνες δὲ ἥκουσι Λακεδαιμόνιοι οἱ κράτιστοι νομιζόμενοι εἶναι, νῦν δὴ καιρὸς ὑμῖν δοκεῖ εἶναι ὡς τάχιστα ἐμὲ κατακανεῖν; οὐ μὴν 38
ὅτε γε ἐν τοῖς ἀπόροις ἦμεν, ὦ πάντων μνημονικώτατοι! ἀλλὰ καὶ πατέρα ἐμὲ ἐκαλεῖτε καὶ ἀεὶ ὡς εὐεργέτου μεμνήσεσθαι ὑπισχνεῖσθε. οὐ μέντοι ἀγνώμονες οὐδὲ οὗτοί εἰσιν οἱ νῦν ἥκοντες ἐφ' ὑμᾶς. ὥστε, ὡς ἐγὼ οἶμαι, οὐδὲ τούτοις δοκεῖτε βελτίονες εἶναι τοιοῦτοι ὄντες περὶ ἐμέ. ταῦτ' εἰπὼν ἐπαύσατο.

Χαρμῖνος δὲ ὁ Λακεδαιμόνιος ἀναστὰς εἶπεν, οἱ 39
τωσί, Ἀλλ' ἐμοὶ μέντοι οὐ δικαίως δοκεῖτε τῷ ἀνδρὶ τούτῳ χαλεπαίνειν· ἔχω γὰρ καὶ αὐτὸς αὐτῷ μαρτυρῆσαι. Σεύθης γάρ, ἐρωτῶντος ἐμοῦ καὶ Πολυνίκου περὶ Ξενοφῶντος, τίς ἀνὴρ εἴη, ἄλλο μὲν οὐδὲν εἶχε μέμψασθαι, ἄγαν δὲ φιλοστρατιώτην ἔφη αὐτὸν εἶναι· διὸ καὶ χεῖρον αὐτῷ εἶναι πρὸς ἡμῶν τε τῶν Λακεδαιμονίων καὶ πρὸς αὐτοῦ. ἀναστὰς ἐπὶ 40

ῆρισα ἢ ἀντέτεινα πρὸς ὑμᾶς.

§. 37. Ἀνεπιλήπτως] χωρὶς νὰ δύναταί τις νὰ σᾶς μεμφθῇ δι' ἀδικίαν προσγιγνομένην εἰς αὐτόν. — Ὑμεῖς δέ... νῦν δὴ καιρὸς ὑμῖν δοκεῖ εἶναι] ἀνακολούθως, ἀντί, ὑμεῖς δὲ... νῦν δὴ καιρὸν νομίζετε ὑμῖν αὐτοῖς εἶναι = νομίζετε ὅτι τώρα εἶναι καιρὸς νὰ μὲ φονεύσητε, ὅτε.

§. 38. Οὐ μὴν ὅτε] = οὐ μὴν ἐνομίζετε καιρὸν εἶναι ἀποκτεῖναί με, ὅτε γε ἐν τοῖς ἀπόροις ἦμεν. — Ὦ πάντων μνημονικώτατοι!] μετὰ πικρᾶς εἰρωνείας λέγει ταῦτα ὁ χρηστότατος Ξενοφῶν. — Ἀγνώμονες] ἄδικοι. Κυρίως οὐκ ἀγνώμονές εἰσιν = ἔχουσί τινα περὶ ἐμοῦ γνώμην ἐσχηματισμένην (ἀγαθήν, ἐνταῦθα). Ἴδε ἀνωτέρω, §. 4. Περὶ τοῦ ἀγνώμονες ἴδε καὶ §. 23. καὶ Β'. ε'. 6. — Οὐδὲ οὗτοι] ὁ Χαρμῖνος καὶ ὁ Πολυνίκης.

§. 39. Διὸ καὶ χεῖρον αὐτῷ εἶναι] ἔφη Σεύθης = καὶ διὰ τοῦτο εἶναι ὀλιγώτερον ἀγαπητός. — Πρὸς ἡμῶν καὶ πρὸς αὐτοῦ] ὅσον ἀφορᾷ καὶ ἡμᾶς καὶ αὐτὸν (τὸν Σεύθην).

§. 40. Λουσιάτης] Α'. β'. 21. — Τοῦτο πρῶτον ἡμῶν στρατη-

τούτῳ Εὐρύλοχος Λουσιάτης Ἀρκὰς εἶπε, Καὶ δοκεῖ γέ μοι, ἄνδρες Λακεδαιμόνιοι, τοῦτο ὑμᾶς πρῶτον ἡμῶν στρατηγῆσαι, παρὰ Σεύθου ἡμῖν τὸν μισθὸν ἀναπρᾶξαι ἢ ἑκόντος ἢ ἄκοντος, καὶ μὴ πρότερον ἡμᾶς
41 ἀπαγαγεῖν. Πολυκράτης δὲ Ἀθηναῖος εἶπεν ἐνετὸς ὑπὸ Ξενοφῶντος, Ὁρῶ γε μήν, ἔφη, ὦ ἄνδρες, καὶ Ἡρακλείδην ἐνταῦθα παρόντα, ὃς παραλαβὼν τὰ χρήματα, ἃ ἡμεῖς ἐπονήσαμεν, ταῦτα ἀποδόμενος, οὔτε Σεύθῃ ἀπέδωκεν οὔτε ἡμῖν τὰ γιγνόμενα, ἀλλ' αὐτὸς κλέψας πέπαται. ἢν οὖν σωφρονῶμεν, ἐξόμεθα αὐτοῦ· οὐ γὰρ δὴ οὗτός γε, ἔφη, Θρᾷξ ἐστιν, ἀλλ', Ἕλλην ὤν, Ἕλληνας ἀδικεῖ.
42 Ταῦτα ἀκούσας ὁ Ἡρακλείδης μᾶλλον ἐξεπλάγη· καὶ προσελθὼν τῷ Σεύθῃ λέγει, Ἡμεῖς, ἢν σωφρονῶμεν, ἄπιμεν ἐντεῦθεν ἐκ τῆς τούτων ἐπικρατείας. καὶ ἀναβάντες ἐπὶ τοὺς ἵππους ᾤχοντο ἀπελαύνοντες εἰς
43 τὸ ἑαυτῶν στρατόπεδον. καὶ ἐντεῦθεν Σεύθης πέμπει Ἀβροζέλμην τὸν ἑαυτοῦ ἑρμηνέα πρὸς Ξενοφῶντα καὶ κελεύει αὐτὸν καταμεῖναι παρ' ἑαυτῷ ἔχοντα χιλίους ὁπλίτας, καὶ ὑπισχνεῖται αὐτῷ ἀποδώσειν τά τε χωρία τὰ ἐπὶ θαλάττῃ καὶ τἆλλα, ἃ ὑπέσχετο. καὶ ἐν ἀπορρήτῳ ποιησάμενος λέγει, ὅτι ἀκήκοε Πολυνίκου ὡς, εἰ ὑποχείριος ἔσται Λακεδαιμονίοις, σαφῶς ἀποθανοῖτο
44 ὑπὸ Θίβρωνος. ἐπέστελλον δὲ ταῦτα καὶ ἄλλοι πολλοὶ τῷ Ξενοφῶντι, ὡς διαβεβλημένος εἴη, καὶ φυλάττεσθαι

γῆσαι] ὡς πρὸς τοῦτο ν' ἀναδειχθῆτε ἄξιοι ἡμῶν στρατηγοί. Ἀναπρᾶξαι] εἰσπρᾶξαι.

§. 41. Ἐνετὸς] παρεσκευασμένος. — Ὁρῶ γε μήν] βλέπω τοὐλάχιστον. Ἡ δ' ἔννοια, Ἂν μὴ δυνώμεθα παρὰ Σεύθου λαβεῖν τὰ ὀφειλόμενα, ὡς μὴ ξεκολλήσωμεν τοὐλάχιστον ἀπὸ τοῦ Ἡρακλείδου = ὡς μὴ παύσωμεν ἀπαιτοῦντες αὐτὰ παρὰ τοῦ Ἡρακλείδου. — Ἃ ἡμεῖς ἐπονήσαμεν] ἅτινα ἀντὶ πόνων πολλῶν δικαιούμεθα νὰ λάβωμεν.

§. 42. Μᾶλλον ἐξεπλάγη] τότε μᾶλλον ἢ ὅτε ἤκουσε τὰ παρὰ Ξενοφῶντος καὶ Εὐρυλόχου ρηθέντα ἐταράχθη. — Ἐπικρατείας] ΣΤ'. δ'. 4

§. 43. Ἃ ὑπέσχετο] Ζ'. β'. 36. — Ἐν ἀπορρήτῳ ποιησάμενος] ὡς ἀπηγορευμένον δῆθεν πρᾶγμα. — Πολυνίκου] τοῦ παρὰ Θίμβρωνος πεμφθέντος πρεσβευτοῦ. Ζ'. στ'. 1.

§. 44. Ἐπέστελλον δὲ ταῦτα.., ὡς διαβεβλημένος εἴη] δι' ἐπιστολῶν ἀνεκοίνουν ταῦτα,... ὅτι

δέοι. ὁ δέ, ἀκούων ταῦτα, δύο ἱερεῖα λαβὼν ἐθύετο τῷ Διὶ τῷ βασιλεῖ, πότερά οἱ λῷον καὶ ἄμεινον εἴη μένειν παρὰ Σεύθῃ, ἐφ' οἷς Σεύθης λέγει, ἢ ἀπιέναι σὺν τῷ στρατεύματι. ἀναιρεῖ αὐτῷ ἀπιέναι.

ζ'. Ἐντεῦθεν Σεύθης μὲν ἀπεστρατοπεδεύσατο προ- 1
σωτέρω· οἱ δὲ Ἕλληνες ἐσκήνησαν εἰς κώμας, ὅθεν ἔμελλον πλεῖστα ἐπισιτισάμενοι ἐπὶ θάλατταν ἥξειν. αἱ δὲ κῶμαι αὗται ἦσαν δεδομέναι ὑπὸ Σεύθου Μηδοσάδῃ. ὁρῶν οὖν ὁ Μηδοσάδης δαπανώμενα τὰ 2
ἑαυτοῦ ἐν ταῖς κώμαις ὑπὸ τῶν Ἑλλήνων, χαλεπῶς ἔφερε· καὶ λαβὼν ἄνδρα Ὀδρύσην δυνατώτατον τῶν ἄνωθεν καταβεβηκότων καὶ ἱππέας ὅσον τριάκοντα ἔρχεται καὶ προκαλεῖται Ξενοφῶντα ἐκ τοῦ Ἑλληνικοῦ στρατεύματος. καὶ ὅς, λαβών τινας τῶν λοχαγῶν καὶ ἄλλους τῶν ἐπιτηδείων, προσέρχεται. ἔνθα δὴ λέγει 3
Μηδοσάδης, Ἀδικεῖτε, ὦ Ξενοφῶν, τὰς ἡμετέρας κώμας πορθοῦντες. προλέγομεν οὖν ὑμῖν, ἐγώ τε ὑπὲρ Σεύθου καὶ ὅδε ἀνὴρ παρὰ Μηδόκου ἥκων τοῦ ἄνω βασιλέως, ἀπιέναι ἐκ τῆς χώρας· εἰ δὲ μή, οὐκ ἐπιτρέψομεν ὑμῖν, ἀλλ' ἐὰν ποιῆτε κακῶς τὴν ἡμετέραν χώραν, ὡς πολεμίους ἀλεξόμεθα.

Ὁ δὲ Ξενοφῶν ἀκούσας ταῦτα εἶπεν, Ἀλλὰ σοὶ 4
μὲν τοιαῦτα λέγοντι καὶ ἀποκρίνασθαι χαλεπόν· τούτου δ' ἕνεκα τοῦ νεανίσκου λέξω, ἵν' εἰδῇ, οἷοί τε ὑμεῖς ἐστε καὶ οἷοι ἡμεῖς· ἡμεῖς μὲν γάρ, ἔφη, πρὶν ὑμῖν 5
φίλοι γενέσθαι, ἐπορευόμεθα διὰ ταύτης τῆς χώρας, ὅποι ἐβουλόμεθα, ἦν μὲν ἐθέλοιμεν πορθοῦντες, ἦν

δηλαδὴ ἦτο διαβεβλημένος. — Διὶ βασιλεῖ] Γ'. β'. 9. — Λῷον καὶ ἄμεινον] ΣΤ'. β'. 12. — Ἀναιρεῖ] Γ'. ά. 6.

Κεφ. ζ'. §. 1. Μηδοσάδῃ] Α'. β'. 10. — Πλεῖστα ἐπισιτισάμενοι] ὡς οἷόν τε πλεῖστα.

§. 2. Χαλεπῶς ἔφερον] Α'. δ'. 12. — Τῶν ἄνωθεν] τῶν ἐκ τοῦ βορειοτέρου. — Καὶ ὅς] Α'. η'. 16. — Ἐπιτηδείων] Α'. γ'. 18.

§. 3. Τὰς ἡμετέρας] τὰς ἐμάς. — Ὅδε ἀνὴρ] οὗτος ὁ ἀνήρ. — Μηδόκου] τοῦ τῶν Ὀδρυσσῶν βασιλέως. Ζ'. γ'. 16. — Ἀλεξόμεθα] Θ' ἀποκρούσωμεν.

§ 4. Καὶ ἀποκρίνασθαι] καὶ οἱαδηποτε ἀπόκρισις μοὶ ἐμποιεῖ ἀγανάκτησιν. Ἀσ. 666. 26. — Τοῦ νεανίσκου] τοῦ παρὰ Μηδόκου ἥκοντος. §. 2 καὶ 3. — Ὁπότε ἔλθοις] ὁσάκις ἤρχεσο. Ἴδε Ζ'.

6 δ' ἐθέλοιμεν κάοντες, καὶ σύ, ὁπότε πρὸς ἡμᾶς ἔλθοις
πρεσβεύων, ηὐλίζου τότε παρ' ἡμῖν οὐδένα φοβού-
μενος τῶν πολεμίων· ὑμεῖς δὲ οὐκ ἦτε εἰς τήνδε τὴν
χώραν, ἢ εἴ ποτε ἔλθοιτε, ὡς ἐν κρειττόνων χώρᾳ·
7 ηὐλίζεσθε ἐγκεχαλινωμένοις τοῖς ἵπποις. ἐπεὶ δὲ ἡμῖν
φίλοι ἐγένεσθε καὶ δι' ἡμᾶς σὺν θεοῖς ἔχετε τήνδε τὴν
χώραν, νῦν δὴ ἐξελαύνετε ἡμᾶς ἐκ τῆσδε τῆς χώρας,
ἣν παρ' ἡμῶν ἐχόντων κατὰ κράτος παρελάβετε· ὡς
γὰρ αὐτὸς οἶσθα, οἱ πολέμιοι οὐχ ἱκανοὶ ἦσαν ἡμᾶς
8 ἐξελαύνειν. καὶ οὐχ ὅπως δῶρα δοὺς καὶ εὖ ποιήσας,
ἀνθ' ὧν εὖ ἔπαθες, ἀξιοῖς ἡμᾶς ἀποπέμψασθαι, ἀλλ'
ἀποπορευομένους ἡμᾶς οὐδ' ἐναυλισθῆναι ὅσον δύ-
9 ναδαι ἐπιτρέπεις. καὶ ταῦτα λέγων οὔτε θεοὺς αἰ-
σχύνῃ οὔτε τόνδε τὸν ἄνδρα, ὃς νῦν μέν σε ὁρᾷ πλου-
τοῦντα, πρὶν δὲ ἡμῖν φίλον γενέσθαι ἀπὸ ληστείας
10 τὸν βίον ἔχοντα, ὡς αὐτὸς ἔφησθα. ἀτὰρ τί καὶ πρὸς
ἐμὲ λέγεις ταῦτα; ἔφη· οὐ γὰρ ἔγωγ' ἔτι ἄρχω, ἀλλὰ
Λακεδαιμόνιοι, οἷς ὑμεῖς παρεδώκατε τὸ στράτευμα
ἀπαγαγεῖν, οὐδὲν ἐμὲ παρακαλέσαντες, ὦ θαυμαστό-
τατοι, ὅπως, ὥσπερ ἀπηχθανόμην αὐτοῖς, ὅτε πρὸς
ὑμᾶς ἦγον, οὕτω καὶ χαρισαίμην νῦν ἀποδιδούς.

β'. 10. — *Οὐκ ἦτε εἰς τήνδε τὴν χώραν*] δὲν ἤρχεσθε ἐδῶ. — *Ὡς ἐν κρειττόνων χώρᾳ*] ὡς ἐν ἰσχυροτέρων χώρᾳ. — *Ἐγκεχαλινωμένοις*] Ζ'. β'. 21.

§. 7. *Νῦν δὲ*] νῦν δή. — *Παρ' ἡμῶν ἐχόντων κατὰ κράτος*] παρ' ἡμῶν, οἵτινες τὴν κατείχομεν πάσῃ δυνάμει ἢ ἰσχυρῶς. Α'. ἰ. 15.

§. 8. *Οὐχ ὅπως... ἀξιοῖς ἡμᾶς ἀποπέμψασθαι, ἀλλὰ... οὐδὲ ναυλισθῆναι ἐπιτρέπεις*] οὐ μόνον οὐκ ἀξιοῖς... ἀλλ' οὐδὲ ναυλισθῆναι ἐπιτρέπεις. Ἀσ. 579. 81.—*Ἀνθ' ὧν εὖ ἔπαθες*] Α'. γ'. 4. — *Τὸν βίον ἔχοντα*] = ἐώρα τὸν βίον ἔχοντα. — *Ὡς αὐτὸς ἔφησθα*] ὡς ὡμολόγεις σὺ αὐτός. *Ὁμολογία τοιαύτη ἐγένετο, φαίνεται, δὲν ἀναφέρεται ὅμως ἐν τοῖς ἔμπροσθεν, ἴσως διότι δὲν ἐδόθη ἀφορμὴ τῷ Ξενοφῶντι. Ἀναφέρεται ὅμως τοιαύτη ὁμολογία τοῦ Σεύθου, ἀφορῶσα πάντως καὶ εἰς τὸν Μηδοσάδην. Ἴδε Ζ'. β'. 34.*

§. 10. *Ἀτὰρ*] Ἀλλά. Ποιητικὴ ἡ λέξις. — *Τί καὶ πρὸς ἐμὲ λέγεις ταῦτα;*] Διατί οὐ μόνον τόσον ἀχάριστος δείκνυσαι, ἀλλὰ καὶ πρὸς ἐμὲ λέγεις ταῦτα; Γ'. ἐ. 18. — *Οὐ γὰρ ἔγωγε ἔτι*] = οὐκέτι γὰρ ἔγωγε. Α'. ἐ. 12. — *Οὐδὲν ἐμὲ παρακαλέσαντες*] οὐδαμῶς παραινέσαντές με.—*Ὦ θαυμαστότατοι*] μετ' ἀγανακτήσεως ἀντί, ὦ ἀναισχυντότατοι.—*Ὅπως... χαρισαίμην*] ἵνα ἐδυνάμην νὰ καταστῶ ἄξιος χάριτος τοῖς Λακεδαιμονίοις.

§. 11. *Κατὰ γῆς καταδύομαι*] Μὲ καταπίνει ἡ γῆ, λέγει ἡ κοινή.

§. 12. *Τῷ Λακεδαιμονίῳ*] Χαρμῖνον καὶ Πολυνίκην. Ζ'. στ'. 1.

§. 13. *Προερῶν*] ἵνα προειδοποιήσῃ.

§. 14. *Ἀπολαβεῖν*] ἀντίθετον τοῦ ἀποδιδόναι. — *Συναναπρᾶξαι*] νὰ καταβάλητε πολλὴν ἐπιμέλειαν ἵνα εἰσπραχθῶσι. Ζ'. στ'. 41. — *Καὶ... φασι*] καὶ ὅτι λέγουσιν (οἱ στρατιῶται).

§. 15. *Καὶ ἄλλα*] καθὼς καὶ ἄλλα. — *Τοὺς ἐπικαιρίους*] Ζ'. ά. 6. — *Εἰ μὲν σύ τι ἔχεις.. πρὸς ἡμᾶς λέγειν*] λέγε. Ἀσ. 865. 13. — *Ἡμεῖς πρὸς σὲ ἔχομεν*] εἰπεῖν. — *Ὑφειμένως*] χαλαρῶς, μετὰ συστολῆς πολλῆς.

Ἐπεὶ ταῦτα ἤκουσεν ὁ Ὀδρύσης, εἶπεν, Ἐγὼ μέν, 11
ὦ Μηδόσαδες, κατὰ [τῆς] γῆς καταδύομαι ὑπὸ τῆς
αἰσχύνης ἀκούων ταῦτα. καὶ εἰ μὲν πρόσθεν ἠπιστά-
μην, οὐδ' ἂν συνηκολούθησά σοι· καὶ νῦν ἄπειμι·
οὐδὲ γὰρ ἂν Μήδοκός με ὁ βασιλεὺς ἐπαινοίη, εἰ ἐξε-
λαύνοιμι τοὺς εὐεργέτας. ταῦτ' εἰπὼν ἀναβὰς ἐπὶ 12
τὸν ἵππον ἀπήλαυνε καὶ σὺν αὐτῷ οἱ ἄλλοι ἱππεῖς
πλὴν τεττάρων ἢ πέντε. ὁ δὲ Μηδοσάδης—ἐλύπει γὰρ
αὐτὸν ἡ χώρα πορθουμένη—ἐκέλευε τὸν Ξενοφῶντα
καλέσαι τῷ Λακεδαιμονίῳ· καὶ ὃς λαβὼν τοὺς ἐπιτη- 13
δειοτάτους προσῆλθε τῷ Χαρμίνῳ καὶ Πολυνίκῳ καὶ
ἔλεξεν, ὅτι καλεῖ αὐτοὺς Μηδοσάδης προερῶν, ἅπερ
αὐτῷ, ἀπιέναι ἐκ τῆς χώρας. οἶμαι ἂν οὖν, ἔφη, ὑμᾶς 14
ἀπολαβεῖν τῇ στρατιᾷ τὸν ὀφειλόμενον μισθόν, εἰ
εἴποιτε, ὅτι δεδέηται ὑμῶν ἡ στρατιὰ συναναπρᾶξαι
τὸν μισθὸν ἢ παρ' ἑκόντος ἢ παρ' ἄκοντος Σεύθου
καὶ ὅτι, τούτων τυχόντες, προθύμως ἂν συνέπεσθαι
ὑμῖν φασι· καὶ ὅτι δίκαια ὑμῖν δοκοῦσι λέγειν· καὶ
ὅτι ὑπέσχεσθε αὐτοῖς τότε ἀπιέναι, ὅταν τὰ δίκαια
ἔχωσιν οἱ στρατιῶται. ἀκούσαντες οἱ Λάκωνες, ταῦτα 15
ἔφασαν ἐρεῖν καὶ ἄλλα ὁποῖα ἂν δύνωνται κράτιστα·
καὶ εὐθὺς ἐπορεύοντο ἔχοντες πάντας τοὺς ἐπικαι-
ρίους. ἐλθὼν δὲ ἔλεξε Χαρμῖνος, Εἰ μὲν σύ τι ἔχεις,
ὦ Μηδόσαδες, πρὸς ἡμᾶς λέγειν—εἰ δὲ μή, ἡμεῖς πρὸς
σὲ ἔχομεν. ὁ δὲ Μηδοσάδης μάλα δὴ ὑφειμένως, Ἀλλ' 16
ἐγὼ μὲν λέγω, ἔφη, καὶ Σεύθης ταὐτά, ὅτι ἀξιοῦμεν
τοὺς φίλους ἡμῖν γεγενημένους μὴ κακῶς πάσχειν ὑφ'

ὑμῶν· ὅ τι γὰρ ἂν τούτους κακῶς ποιῆτε, ἡμᾶς ἤδη
17 ποιεῖτε· ἡμέτεροι γάρ εἰσιν. Ἡμεῖς τοίνυν, ἔφασαν
οἱ Λάκωνες, ἀπίοιμεν ἄν, ὁπότε τὸν μισθὸν ἔχοιεν οἱ
ταῦτα ὑμῖν καταπράξαντες· εἰ δὲ μή, ἐρχόμεθα μὲν
καὶ νῦν βοηθήσοντες τούτοις καὶ τιμωρησόμενοι ἄν-
δρας, οἳ τούτους παρὰ τοὺς ὅρκους ἠδίκησαν. ἦν δὲ δὴ
καὶ ὑμεῖς τοιοῦτοι ἦτε, ἐνθένδε ἀρξόμεθα τὰ δίκαια
18 λαμβάνειν. ὁ δὲ Ξενοφῶν εἶπεν, Ἐθέλοιτε δ' ἂν τού-
τοις, ὦ Μηδόσαδες, ἐπιτρέψαι, ἐπειδὴ φίλους ἔφατε
εἶναι ὑμῖν, ἐν ὧν τῇ χώρᾳ ἐσμέν, ὁπότερ' ἂν ψηφί-
σωνται, εἴθ' ὑμᾶς προσῆκεν ἐκ τῆς χώρας ἀπιέναι εἴθ'
19 ἡμᾶς; ὁ δὲ ταῦτα μὲν οὐκ ἔφη· ἐκέλευε δὲ μάλιστα
μὲν αὐτὸν τὸν Λάκωνα ἐλθεῖν παρὰ Σεύθην περὶ τοῦ
μισθοῦ, καὶ οἴεσθαι ἂν Σεύθην πεῖσαι· εἰ δὲ μή, Ξε-
νοφῶντα σὺν αὐτῷ πέμπειν, καὶ συμπράξειν ὑπισ-
χνεῖτο. ἐδεῖτο δὲ τὰς κώμας μὴ κάειν.
20 Ἐντεῦθεν πέμπουσι Ξενοφῶντα καὶ σὺν αὐτῷ, οἳ
ἐδόκουν ἐπιτηδειότατοι εἶναι. ὁ δὲ ἐλθὼν λέγει πρὸς
Σεύθην, Οὐδὲν ἀπαιτήσων, ὦ Σεύθη, πάρειμι, ἀλλὰ
21 διδάξων, ἢν δύνωμαι, ὡς οὐ δικαίως μοι ἠχθέσθης, ὅτι
ὑπὲρ τῶν στρατιωτῶν ἀπῄτουν σε προθύμως, ἃ ὑπέ-
σχου αὐτοῖς· σοὶ γὰρ ἔγωγε οὐχ ἧττον ἐνόμιζον σύμφο-
22 ρον εἶναι ἀποδοῦναι ἢ ἐκείνοις ἀπολαβεῖν· πρῶτον
μὲν γὰρ οἶδα μετὰ τοὺς θεοὺς εἰς τὸ φανερόν σε τού-
τους καταστήσαντας, ἐπεί γε βασιλέα σε ἐποίησαν πολ-

§. 17. *Οἱ ταῦτα ὑμῖν καταπράξαντες*] οἱ ἐπιτελέσαντες ἢ κατορθώσαντες ταῦτα πάντα (σύμπασαν τὴν παροῦσαν ὑμῖν κατάστασιν) ὑπὲρ ὑμῶν. — *Ἐνθένδε*] ἀπὸ ὑμῶν τὰ δίκαια λαμβάνειν = ὑμᾶς πρώτους τιμωροῦντες θ' ἀρχίσωμεν.

§. 18. *Τούτοις ἐπιτρέψαι κτλ.*] νὰ ἐρωτήσωμεν τούτους (διὰ γενικῆς ψηφοφορίας, ὡς λέγομεν ἤδη).

§. 19. *Οὐκ ἔφη*] ἀπεδοκίμασε. — *Συμπράξειν ὑπισχνεῖτο*] ὅτι θὰ συνεργήσῃ ὑπισχνεῖτο (ὁ Μηδοσάδης).

§. 20. *Ἐπιτηδειότατοι*] Ζ'. ζ'. 2.

§. 21. *Οὐδὲν ἀπαιτήσων πάρειμι ἢ διδάξων*] ἦλθον οὐχὶ ἵνα ἀπαιτήσω τι παρὰ σοῦ, ἀλλ' ἵνα σοὶ ἐξηγήσω, ὅτι κτλ. — *Ὅτι ὑπὲρ τῶν στρατιωτῶν*] διότι ὑπὲρ τῶν στρατιωτῶν. — *Προθύμως ἃ ὑπέσχου*] ὅσα προθύμως ὑπεσχέθης.

§. 22. *Εἰς τὸ φανερόν σε τούτους καταστήσαντας*] ὅτι σὲ κατέστησαν φανερόν, ἐπιφανῆ. — *Ἐπεί γε βασιλέα*] βασιλέα γάρ σε.

§. 23. *Εὖ ἀκούειν*] ἐπαινεῖσθαι. — *Ὅ τι ἂν λέγοις*] ὅσον ἀφορᾷ πᾶν ὅ τι ἤθελες λέγει. — *Ἀλήθειαν ἀσκοῦντες*] φιλαλήθεις. Β'. στ'. 25. — *Οὐδὲν μεῖον*] μᾶλλον, ὅπως καὶ τὸ μικρὸν κατωτέρω οὐχ ἧττον, τὸ δὲ μετὰ τοῦτο οὐδὲν μείω = μείζονα.

§. 25. *Τί προτελέσας*] τίνα προκαταβολὴν ἢ ἐγγύησιν δοὺς εἰς ἡμᾶς. — *Ἐπῆρας*] κατέστησας ἐπηρμένους, θερμούς.

§. 26. *Τὸ καὶ τὴν βασιλείαν σοι κατεργασάμενον*] ὅπερ καὶ τὴν βασιλείαν σου ἐπετέλεσε. — *Τούτων τῶν χρημάτων πιπράσκεται;*] μὲ αὐτὰ τὰ χρήματα ἀγοράζεται; δηλαδὴ μὲ χρήματα, τὰ ὁποῖα ἀπαξιοῖς νὰ δώσῃς, ἂν καὶ τὰ ὑπεσχέθης, μὲ αὐτὰ ἀγοράζεται ποτε ἡ πίστις, ἣν ἀπεδώκαμεν εἰς σέ, πρὶν ἔλθωμεν;

§. 27. *Πῶς μέγα ἡγοῦ τότε*] πόσον μέγα πρᾶγμα ἐθεώρεις τότε τὴν ἐπίτευξιν ἐκείνων κτλ. Οὕτω καὶ τὸ ἀναφορικόν του ὡς = τόσον μετὰ ἐπιθέτων καὶ ἐπιρ-

λῆς χώρας καὶ πολλῶν ἀνθρώπων. ὥστε οὐχ οἷόν τέ
σοι λανθάνειν οὔτε ἦν τι καλὸν οὔτε ἦν τι αἰσχρὸν
ποιήσῃς. τοιούτῳ δὲ ὄντι ἀνδρὶ μέγα μέν μοι ἐδόκει 23
εἶναι μὴ δοκεῖν ἀχαρίστως ἀποπέμψασθαι ἄνδρας εὐ-
εργέτας, μέγα δὲ εὖ ἀκούειν ὑπὸ ἑξακισχιλίων ἀνθρώ-
πων, τὸ δὲ μέγιστον μηδαμῶς ἄπιστον σαυτὸν κατα-
στῆσαι ὅ τι λέγοις· ὁρῶ γὰρ τῶν μὲν ἀπίστων ματαίους 24
καὶ ἀδυνάτους καὶ ἀτίμους τοὺς λόγους πλανωμένους·
οἳ δ' ἂν φανεροὶ ὦσιν ἀλήθειαν ἀσκοῦντες, τούτων
οἱ λόγοι, ἤν τι δέωνται, οὐδὲν μεῖον δύνανται ἀνύ-
τεσθαι ἢ ἄλλων ἡ βία· ἤν τέ τινας σωφρονίζειν βού-
λωνται, γιγνώσκω τὰς τούτων ἀπειλὰς οὐχ ἧττον σω-
φρονιζούσας ἢ ἄλλων τὸ ἤδη κολάζειν· ἤν τέ τῳ τι
ὑπισχνῶνται οἱ τοιοῦτοι ἄνδρες, οὐδὲν μεῖον διαπράτ-
τονται ἢ ἄλλοι παραχρῆμα διδόντες. ἀναμνήσθητι δὲ 25
καὶ σύ, τί προτελέσας ἡμῖν συμμάχους ἡμᾶς ἔλαβες.
οἶσθ' ὅτι οὐδέν· ἀλλὰ πιστευθεὶς ἀληθεύσειν, ἃ ἔλε-
γες, ἐπῆρας τοσούτους ἀνθρώπους συστρατεύεσθαί τε
καὶ κατεργάσασθαί σοι ἀρχὴν οὐ τριάκοντα μόνον
ἀξίαν ταλάντων, ὅσα οἴονται δεῖν οὗτοι νῦν ἀπολα-
βεῖν, ἀλλὰ πολλαπλασίων. οὐκοῦν τοῦτο μὲν πρῶ- 26
τον, τὸ πιστεύεσθαί σε, τὸ καὶ τὴν βασιλείαν σοι
κατεργασάμενον τούτων τῶν χρημάτων πιπράσκε-
ται; ἴθι δὴ ἀναμνήσθητι, πῶς μέγα ἡγοῦ τότε κα- 27
ταπρᾶξαι, ἃ νῦν καταστρεψάμενος ἔχεις. ἐγὼ μὲν

εὖ οἶδ' ὅτι ηὖξω ἂν τὰ νῦν πεπραγμένα μᾶλλόν
σοι καταπραχθῆναι ἢ πολλαπλάσια τούτων τῶν χρη-
28 μάτων γενέσθαι. ἐμοὶ τοίνυν μεῖζον βλάβος καὶ αἴ-
σχιον δοκεῖ εἶναι τὸ ταῦτα νῦν μὴ κατασχεῖν ἢ τότε
μὴ λαβεῖν, ὅσῳπερ χαλεπώτερον ἐκ πλουσίου πένητα
γενέσθαι ἢ ἀρχὴν μὴ πλουτῆσαι, καὶ ὅσῳ λυπηρότε-
ρον ἐκ βασιλέως ἰδιώτην φανῆναι ἢ ἀρχὴν μὴ βασιλεῦ-
29 σαι. οὐκοῦν ἐπίσταμαι μέν, ὅτι οἱ νῦν σοι ὑπήκοοι
γενόμενοι οὐ φιλίᾳ τῇ σῇ ἐπείσθησαν ὑπὸ σοῦ ἄρχε-
σθαι, ἀλλ' ἀνάγκῃ, καὶ ὅτι ἐπιχειροῖεν ἂν πάλιν ἐλεύ-
30 θεροι γίγνεσθαι, εἰ μή τις αὐτοὺς φόβος κατέχοι.
ποτέρως οὖν οἴει μᾶλλον ἂν φοβεῖσθαί τε αὐτοὺς καὶ
σωφρονεῖν τὰ πρὸς σέ, εἰ ὁρῷέν σοι τοὺς στρατιώτας
οὕτω διακειμένους, ὡς νῦν τε μένοντας ἄν, εἰ σὺ κε-
λεύοις, αὖθίς τ' ἂν ταχὺ ἐλθόντας, εἰ δέοι, ἄλλους τε
τούτων, περὶ σοῦ ἀκούοντας πολλὰ ἀγαθά, ταχὺ ἄν σοι,
ὁπότε βούλοιο, παραγενέσθαι, ἢ εἰ καταδοξάσειαν μήτ'
ἂν ἄλλους σοι ἐλθεῖν δι' ἀπιστίαν ἐκ τῶν νῦν γεγενη-
μένων, τούτους τε αὐτοῖς εὐνουστέρους εἶναι ἢ σοί;

ρημάτων συνηθέστατα. Ἴδε Γ. ά. 16. — *Πολλαπλάσια γενέσθαι*] σοι = πολλαπλάσια νὰ κερδίσῃς.

§. 28. *Ἐμοὶ τοίνυν*] = ἐμοί τοι, ἐμοὶ δὲ πάντως. Ζ'. στ'. 19. Ἡ δὲ ἔννοια εἶναι, Ἐγὼ θεωρῶ μεγαλειτέραν μου ζημίαν καὶ αἰσχύνην νὰ μὴ λάβω τώρα ὅσα ὠφέλεις νὰ μᾶς δώσῃς παρὰ ἂν δὲν ἐλάμβανον πρὸ τῆς ἐκστρατείας· διότι τώρα νομίζω ὅτι χάνω πλούτη, τὰ ὁποῖα ἔχω, ἐν ᾧ τότε θὰ ἔχανα ὅ τι δὲν εἶχον.— *Ἀρχὴν μὴ πλουτῆσαι*] ἀνέκαθεν νὰ εἶναί τις πένης ἤ, ὡς λέγει ἡ κοινή, ἀπ' ἀρχῆς νὰ μὴ πλουτήσῃ τις.

§. 30. *Ποτέρως*] διὰ τίνος μέσου (ἐκ τῶν δύο),..εἰ ὁρῷεν σοι τοὺς στρατιώτας... ἢ εἰ καταδοξάσειαν; — *Οἴει μᾶλλον ἂν φοβεῖσθαι*... ἄλλους τε τούτων... παραγενέσθαι] νομίζεις ὅτι (οἵ τε νέοι σου ὑπήκοοι) θὰ σ' ἐφοβοῦντο... καὶ ἄλλοι τούτων (τῶν Ἑλλήνων στρατιωτῶν) θὰ ἤρχοντο. — *Οὕτω διακειμένους, ὡς νῦν τε μένοντας ἄν*... αὖθίς τ' ἂν ταχὺ ἐλθόντας] οὕτω προδιατεθειμένους ἢ νομιζομένους, δηλαδὴ ὅτι καὶ τώρα θὰ ἔμενον... καὶ ταχέως θὰ ἐπανήρχοντο. — *Καταδοξάσειαν*] σχηματίσωσι κατὰ σοῦ τὴν ἰδέαν (οἱ ὑπήκοοί σου) ὅτι οὔτε ἄλλοι ἐκ τῶν νῦν ἐλθόντων παρὰ σοὶ Ἑλλήνων ἤθελον ἐλθεῖ ἕνεκα τῆς ἀπιστίας σου καὶ οὗτοι (οἱ μετ' ἐμοῦ Ἕλληνες) διάκεινται εὐνοϊκώτερον πρὸς αὐτοὺς μᾶλλον (τοὺς νέους ὑπηκόους σου) παρὰ πρὸς σέ;

ἀλλὰ μὴν οὐδὲν πλήθει γε ἡμῶν λειφθέντες ὑπεῖξάν 31
σοι, ἀλλὰ προστατῶν ἀπορίᾳ. οὐκοῦν νῦν καὶ τοῦτο
κίνδυνος, μὴ λάβωσι προστάτας αὐτῶν τινας τούτων,
οἳ νομίζουσιν ὑπὸ σοῦ ἀδικεῖσθαι, ἢ καὶ τούτων
κρείττονας, τοὺς Λακεδαιμονίους, ἐὰν οἱ μὲν στρατιῶ-
ται ὑπισχνῶνται προθυμότερον αὐτοῖς συστρατεύσε-
σθαι, ἂν τὰ παρὰ σοῦ νῦν ἀναπράξωσιν, οἱ δὲ Λακε-
δαιμόνιοι διὰ τὸ δεῖσθαι τῆς στρατιᾶς συναινέσωσιν
αὐτοῖς ταῦτα. ὅτι γε μὴν οἱ νῦν ὑπὸ σοὶ Θρᾷκες γενό- 32
μενοι πολὺ ἂν προθυμότερον ἴοιεν ἐπί σε ἢ σύν σοι,
οὐκ ἄδηλον· σοῦ μὲν γὰρ κρατοῦντος, δουλεία ὑπάρχει
αὐτοῖς· κρατουμένου δέ σου, ἐλευθερία. εἰ δὲ καὶ τῆς 33
χώρας προνοεῖσθαι ἤδη τι δεῖ ὡς σῆς οὔσης, ποτέρως
ἂν οἴει ἀπαθῆ κακῶν μᾶλλον αὐτὴν εἶναι, εἰ οὗτοι οἱ
στρατιῶται ἀπολαβόντες, ἃ ἐγκαλοῦσιν, εἰρήνην κατα-
λιπόντες οἴχοιντο, ἢ εἰ οὗτοί τε μένοιεν ὡς ἐν πολεμίᾳ
σί τε ἄλλους πειρῷο πλείονας τούτων ἔχων ἀντιστρα-
τοπεδεύεσθαι δεομένους τῶν ἐπιτηδείων; ἀργύριον 34
δὲ ποτέρως ἂν πλέον ἀναλωθείη, εἰ τούτοις τὸ ὀφει-
λόμενον ἀποδοθείη, ἢ εἰ ταῦτά τε ὀφείλοιτο ἄλλους
τε κρείττονας τούτων δέοι σε μισθοῦσθαι; ἀλλὰ γὰρ 35
Ἡρακλείδῃ, ὡς πρὸς ἐμὲ ἐδήλου, πάμπολυ δοκεῖ τοῦτο
τὸ ἀργύριον εἶναι. ἢ μὴν πολύ γέ ἐστιν ἔλαττον νῦν
σοι καὶ λαβεῖν τοῦτο καὶ ἀποδοῦναι ἢ πρὶν ἡμᾶς ἐλ-

§. 31. *Ἀλλὰ μὴν... γε*] ὁμολογουμένως ὅμως. Τὸ δὲ ὅλον, ὑπεῖξάν σοι (ὑπεταγησαν) λειφθέντες ἡμῶν (καταδεέστεροι ἡμῶν γενόμενοι) οὐχὶ τῷ πλήθει, ἀλλὰ τῇ ἀπορίᾳ προστατῶν (στρατηγῶν). — *Ὑπισχνῶνται κτλ.*] = ὑπισχνῶνται ὅτι, ἂν (οἱ Λακεδαιμόνιοι) ἀναπράξωσι νῦν (βίᾳ) τὰ παρὰ σοῦ (ὀφειλόμενα) συστρατεύσονται αὐτοῖς προθυμότερον.

§. 32. *Ἐπί σε ἢ σύν σοι*] κατὰ σοῦ μᾶλλον ἢ μετὰ σοῦ πολεμοῦντες. — *Κρατοῦντος*.. κρατουμένου] ὅταν σὺ ἔχῃς τὴν δυναστείαν... ὅταν σὺ εἶσαι ὑπεξούσιος.

§. 33. *Προνοεῖσθαί τι δεῖ*] σέ = ἂν ἤδη καὶ πρόνοιάν τινα εἶναι ἀνάγκη νὰ λάβῃς περὶ τῆς χώρας. — *Ὡς σῆς οὔσης*] διότι τὴν νομίζεις ἰδικήν σου. — *Ποτέρως*] εἰ οἱ στρατιῶται... οἴχοιντο ἢ εἰ αὐτοί τε μένοιεν.— *Δεομένους*] τοὺς ἄλλους, οὓς ἔχων πειρῷο ἀντιστρατοπεδεύεσθαι.

§. 35. *Ἡ μὴν*] Β'. γ'. 26. — *Πολύ γέ ἐστιν ἔλαττον*] πολὺ εὐκολώτερον σοὶ εἶναι.

36 θεῖν πρὸς σὲ δέκατον τούτου μέρος· οὐ γὰρ ἀριθμός
ἐστιν ὁ ὁρίζων τὸ πολὺ καὶ ὀλίγον, ἀλλ' ἡ δύναμις
τοῦ τε ἀποδιδόντος καὶ τοῦ λαμβάνοντος. σοὶ δὲ νῦν
ἡ κατ' ἐνιαυτὸν πρόσοδος πλείων ἔσται ἢ ἔμπροσθεν
37 τὰ παρόντα πάντα, ἃ ἐκέκτησο. ἐγὼ μέν, ὦ Σεύθη,
ταῦτα ὡς φίλου ὄντος σου προὐνοούμην, ὅπως σύ τε
ἄξιος δοκοίης εἶναι, ὧν οἱ θεοί σοι ἔδωκαν ἀγαθῶν,
38 ἐγώ τε μὴ διαφθαρείην ἐν τῇ στρατιᾷ· εὖ γὰρ ἴσθι,
ὅτι νῦν ἐγὼ οὔτ' ἂν ἐχθρὸν βουλόμενος κακῶς ποιῆ-
σαι δυνηθείην σὺν ταύτῃ τῇ στρατιᾷ οὔτ' ἄν, εἴ σοι
πάλιν βουλοίμην βοηθῆσαι, ἱκανὸς ἂν γενοίμην· οὕτω
39 γὰρ πρός με ἡ στρατιὰ διάκειται. καίτοι αὐτόν σε
μάρτυρα σὺν θεοῖς εἰδόσι ποιοῦμαι, ὅτι οὔτε ἔχω παρὰ
σοῦ ἐπὶ τοῖς στρατιώταις οὐδὲν οὔτε ᾔτησα πώποτε
εἰς τὸ ἴδιον τὰ ἐκείνων οὔτε, ἃ ὑπέσχου μοι, ἀπήτησα·
40 ὄμνυμι δέ σοι μηδὲ ἀποδιδόντος δέξασθαι ἄν, εἰ μὴ
καὶ οἱ στρατιῶται ἔμελλον τὰ ἑαυτῶν συναπολαμβά-
νειν· αἰσχρὸν γὰρ ἦν τὰ μὲν ἐμὰ διαπεπρᾶχθαι, τὰ
δ' ἐκείνων περιιδεῖν ἐμὲ κακῶς ἔχοντα, ἄλλως τε καὶ
41 τιμώμενον ὑπ' ἐκείνων. καίτοι Ἡρακλείδῃ γε λῆρος
πάντα δοκεῖ εἶναι πρὸς τὸ ἀργύριον ἔχειν ἐκ παντὸς
τρόπου· ἐγὼ δέ, ὦ Σεύθη, οὐδὲν νομίζω ἀνδρί, ἄλλως
τε καὶ ἄρχοντι, κάλλιον εἶναι κτῆμα οὐδὲ λαμπρότερον
42 ἀρετῆς καὶ δικαιοσύνης καὶ γενναιότητος· ὁ γὰρ ταῦτα

§. 36. Ἀριθμὸς] ποσόν. — Δύναμις] ἡ εὐπορία. Οὕτω καὶ ἡ κοινὴ λέγει, Δὲν ἔχω δύναμιν = εἶμαι ἄπορος.

§. 37. Ὡς φίλου ὄντος προὐνοούμην] ἐλάμβανον πρόνοιαν ὑπὲρ σοῦ, διότι σὲ ἐθεώρουν φίλον.

§. 38. Οὕτω... ἡ στρατιὰ διάκειται] Τόσον κακῶς διάκειται πρὸς ἐμὲ ἡ στρατιά.

§. 39. Ἔχω παρὰ σοῦ ἐπὶ τοῖς στρατιώταις] ἔλαβον παρὰ σοῦ ἵνα παραπείσω τοὺς στρατιώτας, ἵνα μὴ σ' ἀπαιτῶσι. — Ἤτησα εἰς τὸ ἴδιον τὰ ἐκείνων] οὔτε ἀπήτησα τὰ ἐκείνων, ἵνα τὰ μεταχειρισθῶ εἰς ἰδίαν μου χρῆσιν.

§. 40. Τὰ δὲ ἐκείνων περιιδεῖν κακῶς ἔχοντα] Β'. γ'. 3. — Ἄλλως τε καὶ τιμώμενον] Ε'. στ'. 9.

§. 41. Καίτοι Ἡρακλείδῃ λῆρος πάντα δοκεῖ εἶναι] ἂν καὶ ὁ Ἡρακλείδης νομίζει ὅτι πάντα ὅσα λέγω εἶναι φλυαρία ἢ φλύαρος πρόφασις. — Πρὸς τὸ ἀργύριον κτλ.] = πρὸς τὸ ἔχειν ἐκ παντὸς τρόπου ἀργύριον = ἵνα λάβω κατὰ πάντα τρόπον ἀργύρια.

§. 42. Πλουτεῖ μὲν κτλ.] εἶναι πλούσιος διότι ἔχει φίλους, πλουτεῖ δὲ καὶ διότι πολλοὶ ἄλλοι ἐπιθυμοῦσι νὰ γείνωσι φίλοι του. Ἔχεις φίλους; Ἔχεις πλούτη, λέγει παροιμία κοινή. — Τοὺς συνηθησομένους] ἔχει ἀνθρώπους, οἵτινες εἰλικρινῶς θὰ χαίρωσι μετ' αὐτοῦ.

§. 43. Ἀλλὰ γάρ] Γ'. β'. 25. — Ἀλλὰ τοὺς τῶν στρατιωτῶν λόγους] τουλάχιστον τοὺς λόγους τῶν στρατιωτῶν. Ζ'. ά. 31.

§. 45. Τὰ δῶρα ταῦτα κτλ.] = οἴει αἰτιᾶσθαί με τὰ δῶρα ταῦτα ἔχειν παρὰ σοῦ πότερον ἐνιδόντας μοι κακόνοιάν τινα (πρὸς αὐτούς) ἢ κατανοήσαντας πολλὴν μου περὶ σὲ προθυμίαν.

§. 46. Καὶ ὅσα ἔσοιτο] μοι = καὶ ὅσα ἔμελλον νὰ λάβω παρὰ σοῦ — Ὑπισχνούμενος οὐκ ἐνεπίμπλασο] δὲν ἐχόρτανες νὰ μοὶ ὑπόσχησαι, λέγει ἡ κοινή.

§. 47. Πιστεύω καὶ τὸν χρόνον διδάξειν σε] = πιστεύω ὅτι καὶ ὁ χρόνος θὰ σὲ διδάξῃ ὅτι πρέπει ν' ἀποφασίσῃς ν' ἀποδώσῃς τὰ ὀφειλόμενα, καὶ σὺ αὐ-

ἔχων πλουτεῖ μέν, ὄντων φίλων πολλῶν, πλουτεῖ δὲ
καὶ ἄλλων βουλομένων γενέσθαι, καὶ εὖ μὲν πράττων
ἔχει τοὺς συνησθησομένους, ἐὰν δέ τι σφαλῇ, οὐ σπα-
νίζει τῶν βοηθησόντων. ἀλλὰ γάρ, εἰ μήτε ἐκ τῶν 43
ἔργων κατέμαθες, ὅτι σοι ἐκ τῆς ψυχῆς φίλος ἦν,
μήτε ἐκ τῶν ἐμῶν λόγων δύνασαι τοῦτο γνῶναι, ἀλλὰ
τοὺς τῶν στρατιωτῶν λόγους πάντως κατανόησον·
παρῆσθα γὰρ καὶ ἤκουες, ἃ ἔλεγον οἱ ψέγειν ἐμὲ
βουλόμενοι· κατηγόρουν γάρ μου πρὸς Λακεδαιμονί- 44
ους, ὡς σὲ περὶ πλείονος ποιούμην ἢ Λακεδαιμονίους.
αὐτοὶ δ' ἐνεκάλουν ἐμοί, ὡς μᾶλλον μέλοι μοι, ὅπως τὰ
σὰ καλῶς ἔχοι ἢ ὅπως τὰ ἑαυτῶν· ἔφασαν δέ με καὶ
δῶρα ἔχειν παρὰ σοῦ. καίτοι τὰ δῶρα ταῦτα πότερον 45
οἴει αὐτοὺς κακόνοιάν τινα ἐνιδόντας μοι πρὸς σὲ αἰ-
τιᾶσθαί με ἔχειν παρὰ σοῦ ἢ προθυμίαν πολλὴν περὶ
σὲ κατανοήσαντας; ἐγὼ μὲν οἶμαι πάντας ἀνθρώπους 46
νομίζειν εὔνοιαν δεῖν ἀποκεῖσθαι τούτῳ, παρ' οὗ ἂν
δῶρά τις λαμβάνῃ. σὺ δὲ πρὶν μὲν ὑπηρετῆσαί τί σοι
ἐμὲ ἐδέξω ἡδέως καὶ ὄμμασι καὶ φωνῇ καὶ ξενίοις
καὶ ὅσα ἔσοιτο ὑπισχνούμενος οὐκ ἐνεπίμπλασο· ἐπεὶ
δὲ κατέπραξας, ἃ ἐβούλου, καὶ γεγένησαι, ὅσον ἐγὼ
ἐδυνάμην, μέγιστος, νῦν οὕτω με ἄτιμον ὄντα ἐν τοῖς
στρατιώταις τολμᾷς περιορᾶν; ἀλλὰ μήν, ὅτι σοι δόξει 47
ἀποδοῦναι, πιστεύω καὶ τὸν χρόνον διδάξειν σε καὶ
αὐτόν γέ σε οὐχὶ ἀνέξεσθαι τοὺς σοὶ προεμένους

εὐεργεσίαν ὀρῶντά σοι ἐγκαλοῦντας. δέομαι οὖν σου, ὅταν ἀποδιδῷς, προθυμεῖσθαι ἐμὲ παρὰ τοῖς στρατιώταις τοιοῦτον ποιῆσαι, οἷόνπερ καὶ παρέλαβες.

48 Ἀκούσας ταῦτα ὁ Σεύθης κατηράσατο τῷ αἰτίῳ τοῦ μὴ πάλαι ἀποδεδόσθαι τὸν μισθόν· καὶ πάντες Ἡρακλείδην τοῦτον ὑπώπτευσαν εἶναι· ἐγὼ γάρ, ἔφη,
49 οὔτε διενοήθην πώποτε ἀποστερῆσαι, ἀποδώσω τε. ἐντεῦθεν πάλιν εἶπεν ὁ Ξενοφῶν, Ἐπεὶ τοίνυν διανοῇ ἀποδιδόναι, νῦν ἐγώ σου δέομαι δι' ἐμοῦ ἀποδοῦναι, καὶ μὴ περιιδεῖν με διὰ σὲ ἀνομοίως ἔχοντα ἐν τῇ στρα-
50 τιᾷ νῦν τε καὶ ὅτε πρὸς σὲ ἀφικόμεθα. ὁ δ' εἶπεν, Ἀλλ' οὔτ' ἐν τοῖς στρατιώταις ἔσῃ δι' ἐμὲ ἀτιμότερος, ἄν τε μένῃς παρ' ἐμοὶ χιλίους μόνους ὁπλίτας ἔχων,
51 ἐγώ σοι τά τε χωρία ἀποδώσω καὶ τἆλλα, ἃ ὑπεσχόμην. ὁ δὲ πάλιν εἶπε, Ταῦτα μὲν ἔχειν οὕτως οὐχ οἷόν τε· ἀπόπεμπε δὲ ἡμᾶς. Καὶ μήν, ἔφη ὁ Σεύθης, καὶ ἀ-
52 σφαλέστερόν γέ σοι οἶδα ὂν παρ' ἐμοὶ μένειν ἢ ἀπιέναι. ὁ δὲ πάλιν εἶπεν, Ἀλλὰ τὴν μὲν σὴν πρόνοιαν ἐπαινῶ· ἐμοὶ δὲ μένειν οὐχ οἷόν τε· ὅπου δ' ἂν ἐγὼ
53 ἐντιμότερος ὦ, νόμιζε καὶ σοὶ τοῦτο ἀγαθὸν ἔσεσθαι. ἐντεῦθεν λέγει Σεύθης, Ἀργύριον μὲν οὐκ ἔχω ἀλλ' ἢ μικρόν τι, καὶ τοῦτό σοι δίδωμι, τάλαντον· βοῦς δὲ ἑξακοσίους καὶ πρόβατα εἰς τετρακισχίλια καὶ ἀνδράποδα εἰς εἴκοσι καὶ ἑκατόν. ταῦτα λαβὼν καὶ τοὺς τῶν ἀδικησάντων σε ὁμήρους προσλαβὼν ἄπιθι. γε-

τὸς δὲν θ' ἀνεχθῇς βλέπων τοὺς παραδῶσαντας ἑαυτοὺς εἰς σὲ νὰ σ' ἐγκαλῶσι. — Τοιοῦτον ποιῆσαι] νὰ μέ καταστήσῃς τοιοῦτον πρὸς τοὺς στρατιώτας, ὁποῖος ἤμην καὶ ὅτε μὲ παρέλαβες εἰς τὴν ὑπηρεσίαν σου, δηλαδὴ τιμώμενον καὶ ἀγαπώμενον ὑπ' αὐτῶν. Ἴδε ἀνωτέρω, §. 40 καὶ 46.

§. 49. Ἀνομοίως ἔχοντα] ἄλλως παρ' ὅπως ὅτε πρὸς σὲ ἀφικόμεθα θεωρούμενον ὑπὸ τῶν στρατιωτῶν.

§. 51. Ἀπόπεμπε δὲ ἡμᾶς] = ἐμέ· ἄφες δὲ ν' ἀπέλθω. — Καὶ μήν] καὶ ὅμως. — Καὶ ἀσφαλέστερον] οὐ μόνον ὠφελιμώτερον, ἀλλὰ καὶ ἀσφαλέστερον. Ἴδε καὶ Ζ'. στ'. 43 καὶ 44.

§. 52. Ὅπου δ' ἂν ἐγὼ... ὦ] τὸ γενέσθαι ἐμέ ἐντιμότερον ἢ ὅσον τὰ νῦν θεωροῦμαι, ἢ ὅταν ἐγὼ γείνω ἐντιμότερος, ὅπου δήποτε καὶ ἂν εἶμαι, πίστευε ὅτι τοῦτο κτλ.

§. 53. Εἰς τετρακισχίλια] ὡς τετρακισχίλια. Α'. ά. 10. — Ὁμήρους] Ζ'. 4. 13, 20 καὶ 21.

λάσας ὁ Ξενοφῶν εἶπεν, Ἢν οὖν μὴ ἐξικνῆται ταῦτα 54
εἰς τὸν μισθόν, τίνος τάλαντον φήσω ἔχειν; ἆρ' οὐκ, ἐπειδὴ καὶ ἐπικίνδυνόν μοί ἐστιν, ἀπιόντά γε ἄμεινον φυλάττεσθαι πέτρους; ἤκουες δὲ τὰς ἀπειλάς. τότε μὲν δὴ αὐτοῦ ἔμεινε.

Τῇ δ' ὑστεραίᾳ ἀπέδωκέ τε αὐτοῖς, ἃ ὑπέσχετο, 55
καὶ τοὺς ἑλῶντας συνέπεμψεν. οἱ δὲ στρατιῶται τέως μὲν ἔλεγον, ὡς ὁ Ξενοφῶν οἴχοιτο ὡς Σεύθην οἰκήσων καί, ἃ ὑπέσχετο αὐτῷ, ληψόμενος· ἐπεὶ δὲ εἶδον, ἤσθησαν καὶ προσέθεον. Ξενοφῶν 56
δ' ἐπεὶ εἶδε Χαρμῖνόν τε καὶ Πολύνικον, Ταῦτα, ἔφη, σέσωται δι' ὑμᾶς τῇ στρατιᾷ καὶ παραδίδωμι αὐτὰ ἐγὼ ὑμῖν· ὑμεῖς δὲ διαθέμενοι διάδοτε τῇ στρατιᾷ. οἱ μὲν οὖν παραλαβόντες καὶ λαφυροπώλας καταστήσαντες ἐπώλουν, καὶ πολλὴν εἶχον αἰτίαν. Ξενοφῶν δὲ οὐ προσῄει, ἀλλὰ φανερὸς ἦν οἰκαδε 57
παρασκευαζόμενος· οὐ γάρ πω ψῆφος αὐτῷ ἐπῆκτο Ἀθήνησι περὶ φυγῆς. προσελθόντες δὲ αὐτῷ οἱ ἐπιτήδειοι ἐν τῷ στρατοπέδῳ ἐδέοντο μὴ ἀπελθεῖν, πρὶν ἀπαγάγοι τὸ στράτευμα καὶ Θίβρωνι παραδοίη.

ή. Ἐντεῦθεν διέπλευσαν εἰς Λάμψακον, καὶ ἅπαντᾷ 1
τῷ Ξενοφῶντι Εὐκλείδης μάντις Φλιάσιος ὁ Κλεαγόρου

§. 54. Τίνος τάλαντον φήσω ἔχειν] εἰς τίνα πρέπει νὰ εἴπω ὅτι ἀνήκει τὸ τάλαντον, ὅπερ θὰ ἔχω;

§. 55. Τοὺς ἑλῶντας] τοὺς καταλλήλους νὰ ἐλάσωσι τὰ κτήνη. §. 53. — Τέως μὲν] Ζ'. ε'. 8. — Οἴχοιτο ὡς Σεύθην οἰκήσων καὶ ληψόμενος] ἀπῆλθε πρὸς τὸν Σεύθην ἵνα οἰκήσῃ παρ' αὐτῷ, ἐν τῇ ἐπικρατείᾳ αὐτοῦ, καὶ λάβῃ. Ὡς=πρὸς, Β'. γ'. 29. — Ἥσθησαν] ἀόρ. τοῦ ἥδομαι = χαίρω.

§. 56. Σέσωται δι' ὑμᾶς τῇ στρατιᾷ] καὶ σῶα ἀπεδόθησαν ἕνεκα αὐτὰ καὶ ἐγὼ ὑμῶν παραδίδωμι ὑμῖν. — Διαθέμενοι] πωλήσαντες. ΣΤ'. στ'. 37. — Πολλὴν εἶχον αἰτίαν] καὶ πολὺ ἐκατηγοροῦντο (ὁ Χαρμῖνος καὶ Πολύνικος, ὡς καταχρώμενοι τἀργύριον).

§. 57. Οὐ προσῄει] πρὸς Χαρμῖνον καὶ Πολύνικον, ἵνα μὴ συγκατηγορηθῇ ὡς συνένοχος. — Φανερὸς ἦν] Α'. θ'. 11. — Οἰκαδε παρασκευαζόμενος] ὅτι παρεσκευάζετο, ἵνα ἀπέλθῃ εἰς τὴν πατρίδα του. — Ψῆφος αὐτῷ ἐπῆκτο... περὶ φυγῆς] δὲν εἶχε καταδικασθῇ εἰς ἀειφυγίαν ἢ ἐξορίαν. Ἴδε Ε'. γ'. 7. καὶ Βίον Ξενοφῶντος. — Οἱ ἐπιτήδειοι] Α'. γ'. 18.

Κεφ. ή. §. 1. Λάμψακον] πόλιν τῆς παρὰ τὸν Ἑλλήσποντον

υἱὸς τοῦ τὰ ἐνύπνια ἐν Λυκείῳ γεγραφότος. οὗτος
συνήδετο τῷ Ξενοφῶντι, ὅτι ἐσέσωτο, καὶ ἠρώτα αὐ-
2τόν, πόσον χρυσίον ἔχοι. ὁ δ' αὐτῷ ἐπομόσας εἶπεν
ἢ μὴν ἔσεσθαι μηδὲ ἐφόδιον ἱκανὸν οἴκαδε ἀπιόντι,
εἰ μὴ ἀπόδοιτο τὸν ἵππον καὶ ἃ ἀμφ' αὐτὸν εἶχεν. ὁ
3δ' αὐτῷ οὐκ ἐπίστευεν. ἐπεὶ δ' ἔπεμψαν Λαμψακηνοὶ
ξένια τῷ Ξενοφῶντι καὶ ἔθυε τῷ Ἀπόλλωνι, παρεστή-
σατο τὸν Εὐκλείδην· ἰδὼν δὲ τὰ ἱερὰ ὁ Εὐκλείδης
εἶπεν, ὅτι πείθοιτο αὐτῷ μὴ εἶναι χρήματα. Ἀλλ' οἶδα,
ἔφη, ὅτι κἂν μέλλῃ ποτὲ ἔσεσθαι, φαίνεταί τι ἐμπό-
διον, ἂν μηδὲν ἄλλο, σὺ σαυτῷ. συνωμολόγει ταῦτα
4ὁ Ξενοφῶν. ὁ δὲ εἶπεν, Ἐμπόδιος γάρ σοι ὁ Ζεὺς ὁ
μειλίχιός ἐστι, καὶ ἐπήρετο, εἰ ἤδη θύσειεν, ὥσπερ
οἶκοι, ἔφη, εἰώθειν ἐγὼ ὑμῖν θύεσθαι καὶ ὁλοκαυ-
τεῖν. ὁ δ' οὐκ ἔφη ἐξ ὅτου ἀπεδήμησε τεθυκέναι
τούτῳ τῷ θεῷ. συνεβούλευσεν οὖν αὐτῷ θύεσθαι,
5καθὰ εἰώθει, καὶ ἔφη συνοίσειν ἐπὶ τὸ βέλτιον. τῇ
δὲ ὑστεραίᾳ ὁ Ξενοφῶν προελθὼν εἰς Ὀφρύνιον ἐ-

Μυσίας, ἀποικίαν Φωκαέων καὶ Μιλησίων παρ' αὐτὴν κεῖται τὸ νῦν Τσανὰκ Καλεσί. — Φλιάσιος] ἐκ Φλιοῦντος, πόλεως τῆς Ἀχαΐας μεταξὺ Σικυῶνος καὶ Ἀργολίδος. — Τοῦ τὰ ἐνύπνια ἐν Λυκείῳ γεγραφότος] ἐκείνου, ὅστις εἶχε γράψει βιβλίον ἐπιγραφόμενον, Ἐνύπνια ἐν Λυκείῳ. — Συνήδετο] συνεχαίρε, ὡς λέγομεν σήμερον.

§. 2. Ἢ μὴν] Β'. γ'. 26.—Ἐφόδιον] ὁδοιπορικὰ ἔξοδα. — Ἀπέδοτο] ἐπώλει.

§. 3. Ἐμπόδιον, ἐὰν μηδὲν ἄλλο, ου σαυτῷ] ἂν ὄχι ἄλλο ἐμπόδιον, τοὐλάχιστον οὐ φαίνεσαι πρὸς σεαυτὸν (πρὸς πλουτισμὸν) δηλαδὴ σαυτοῦ) ἐμπόδιον. Ἐννοεῖ δὲ τὴν μεγαλοψυχίαν καὶ ἐλευθεριότητα τοῦ Ξενοφῶντος, ἕνεκα τῆς ὁποίας ἐδαπάνα τὰ ἀργύριά του ὑπὲρ ἄλλων.

§. 4. Ζεὺς ὁ Μειλίχιος] ὃν ἐώρταζον ἐν Ἀθήναις. Σχολ. Ἀριστοφ. Νεφ. 407.—Εἰ ἤδη ποτε] ἂν ποτε μέχρι τοῦ νῦν. Ταύτην την σημασίαν ἔχει τὸ ἤδη μετὰ παρῳχημένου. — Ὥσπερ οἶκοι εἰώθειν ἐγὼ ὑμῖν θύεσθαι] καθὼς ἐγὼ ἐν τῇ πατριδι σου (ταῖς Ἀθήναις) συνήθως προσέφερον ὑπὲρ ὑμῶν (τῶν Ἀθηναίων) θυσίας καὶ ὁλοκαυτώματα. ὁλοκαυτώματα δὲ λέγονται αἱ θυσίαι αἱ διὰ τοῦ πυρὸς γενόμεναι. — Καὶ ἃ εἰώθει] οὐ μόνον ὁποῖαι τῷ Μειλιχίῳ Διὶ ἁρμόζουσιν, ἀλλὰ καὶ ὁποίας αὐτὸς συνήθως προσφέρει θυσίας.

§. 5. Ὀφρύνιον] πόλιν τῆς Τρῳάδος παρὰ τὴν Δάρδανον. — Τῷ πατρίῳ νόμῳ] ὅπως ἐν τῇ πατριδι του συνήθεια ὑπῆρχε (καὶ ὄχι δηλαδὴ ὅπως αὐτὸς ἐσυνείθιζε νὰ τελῇ τὰς θυσίας

θύετο καὶ ὁλοκαύτει χοίρους τῷ πατρίῳ νόμῳ, καὶ
ἐκαλλιέρει. καὶ ταύτῃ τῇ ἡμέρᾳ ἀφικνεῖται Βίων καὶ 6
Ναυσικλείδης χρήματα δώσοντες τῷ στρατεύματι, καὶ
ξενοῦνται τῷ Ξενοφῶντι, καὶ ἵππον, ὃν ἐν Λαμψάκῳ ἀπέδοτο πεντήκοντα δαρεικῶν, ὑποπτεύοντες αὐτὸν δι' ἐνδειαν πεπρακέναι, ὅτι ἤκουον αὐτὸν ἤδεσθαι τῷ ἵππῳ, λυσάμενοι ἀπέδοσαν καὶ τὴν τιμὴν οὐκ ἤθελον ἀπολαβεῖν.

Ἐντεῦθεν ἐπορεύοντο διὰ τῆς Τρῳάδος, καὶ ὑπερ- 7
βάντες τὴν Ἴδην εἰς Ἄντανδρον ἀφικνοῦνται πρῶτον εἶτα παρὰ θάλατταν πορευόμενοι τῆς Μυσίας εἰς Θήβης πεδίον. ἐντεῦθεν δι' Ἀτραμυτείου καὶ Κυτωνίου 8
ὁδεύσαντες παρ' Ἀταρνέα εἰς Καΐκου πεδίον ἐλθόντες Πέργαμον καταλαμβάνουσι τῆς Μυσίας.

Ἐνταῦθα δὴ ξενοῦται Ξενοφῶν παρ' Ἑλλάδι τῇ Γογγύλου τοῦ Ἐρετριέως γυναικὶ καὶ Γοργίωνος καὶ Γογγύλου μητρί. αὕτη δ' αὐτῷ φράζει, ὅτι Ἀσιδάτης 9
ἐστὶν ἐν τῷ πεδίῳ ἀνὴρ Πέρσης· τοῦτον ἔφη αὐτόν,

του ἐν τῇ ἐκστρατείᾳ). — Ἐκαλλιέρει] Β'. β'. 3.

§. 6. Ξενοῦνται] ξενίαν, δηλαδὴ φιλίαν μετὰ τοῦ Ξενοφῶντος συνάπτουσι.—Ἀπέδοτο] Ἴδε § 2.

§. 7. Ἄντανδρον] πόλιν παράλιον τῆς Τρῳάδος. — Θήβης] βορειότερον τοῦ Ἑλαιατικοῦ κόλπου· ἀνῆκε δὲ κατ' ἄλλους μὲν εἰς τὴν Λυδίαν, κατ' ἄλλους δέ, ὅπερ φαίνεται πιθανώτερον, εἰς τὴν Μυσίαν. Ἴδ. Ἡροδ. Ζ'. 42, ΣΤ'. 28, Στραβ. ΙΓ'. 4. 150. 151 καὶ δὴ 129.

§. 8. Κυτωνίου] ἄλλοι ἔχουσι Κερτωνοῦ· ἄλλοι δὲ Καρίνης κατὰ τὰ λεγόμενα ὑπὸ Ἡροδότου, ἐν Ζ'. 42. Εἶναι δὲ τὸ Κυτώνιον πόλις μεταξὺ Λυδίας καὶ Μυσίας κατὰ Θεόπομπον παρὰ Στέφανῳ τῷ Βυζαντίῳ. — Ἀταρνέα] πολίχνιον Ἑλαιατικόν, παράλιον, ἀπέναντι τῆς Λέσβου παρὰ τὴν νῦν Δεκέλειαν, νεύκτιστον πολίχνην, ἥτις θεωρεῖται ἐπίνειον Περγάμου. — Καΐκου] ποταμοῦ, ἐξ οὗ ἡ πεδιὰς Καΐκου πεδίον. — Πέργαμον] ἐπισημοτάτη πόλις, πρωτεύουσα τῆς Μυσίας παρὰ τὸν Κάϊκον ποταμόν. — Ξενοῦται] φιλοξενεῖται. Διάφορον τοῖς ἀνωτέρω, § 6, σημασίαν ἔχει. — Παρ' Ἑλλάδι] γυναικὶ οὕτω ἐπονομαζομένῃ. — Γογγύλου] ἀπογόνου ὁμωνύμου τινος, ὅστις μετασχὼν τῆς τοῦ Παυσανίου συνωμοσίας ἐξωρίσθη, τοῦτῳ δὲ ὡς Μηδίζοντι ἔδωκε Ξέρξης πόλεις τινάς, ἐν αἷς καὶ τὸ Πέργαμον. Ἴδε Θουκιδ. Α'. 128, Διόδ. ΙΑ'. 44, Nepos v. Pausaniæ. Σ. Ἑλλ. Γ'. ά. 6.

§. 9. Τοῦτον αὐτὸν]-τὸν Γογγύλον. — Λαβεῖν ἂν αὐτὸν] ἢ-

εἰ ἔλθοι τῆς νυκτὸς σὺν τριακοσίοις ἀνδράσι, λαβεῖν
ἂν καὶ αὐτὸν καὶ γυναῖκα καὶ παῖδας καὶ τὰ χρήματα·
εἶναι δὲ πολλά. ταῦτα δὲ καθηγησομένους ἔπεμψε
τόν τε αὑτῆς ἀνεψιὸν καὶ Δαφναγόραν, ὃν περὶ πλεί-
10 στου ἐποιεῖτο. ἔχων οὖν ὁ Ξενοφῶν τούτους παρ'
ἑαυτῷ ἐθύετο. καὶ Βασίας ὁ Ἠλεῖος μάντις παρὼν
εἶπεν, ὅτι κάλλιστα εἴη τὰ ἱερὰ αὐτῷ καὶ ὁ ἀνὴρ ἁλώ-
11 σιμος εἴη. δειπνήσας οὖν ἐπορεύετο τούς τε λοχαγοὺς
τοὺς μάλιστα φίλους λαβὼν καὶ πιστοὺς γεγενημένους
διὰ παντός, ὅπως εὖ ποιήσαι αὐτούς. συνεξέρχονται
δὲ αὐτῷ καὶ ἄλλοι βιασάμενοι εἰς ἑξακοσίους· οἱ δὲ
λοχαγοὶ ἀπήλαυνον, ἵνα μὴ μεταδοῖεν τὸ μέρος, ὡς
ἑτοίμων δὴ χρημάτων.

12 Ἐπεὶ δὲ ἀφίκοντο περὶ μέσας νύκτας, τὰ μὲν πέ-
ριξ ὄντα ἀνδράποδα τῆς τύρσιος καὶ χρήματα τὰ πλεῖ-
στα ἀπέδρα αὐτοὺς παραμελοῦντας, ὡς τὸν Ἀσιδάτην
13 αὐτὸν λάβοιεν καὶ τὰ ἐκείνου. πυργομαχοῦντες δέ,
ἐπεὶ οὐκ ἐδύναντο λαβεῖν τὴν τύρσιν — ὑψηλὴ γὰρ ἦν
καὶ μεγάλη καὶ προμαχεῶνας καὶ ἄνδρας πολλοὺς καὶ
μαχίμους ἔχουσα — διορύττειν ἐπεχείρησαν τὸν πύργον.
14 ὁ δὲ τοῖχος ἦν ἐπ' ὀκτὼ πλίνθων γηίνων τὸ εὖρος.
ἅμα δὲ τῇ ἡμέρᾳ διωρώρυκτο· καὶ ὡς τὸ πρῶτον διε-
φάνη, ἐπάταξεν ἔνδοθεν βουπόρῳ τις ὀβελίσκῳ διαμ-
περὲς τὸν μηρὸν τοῦ ἐγγυτάτω· τὸ δὲ λοιπὸν ἐκτο-
ξεύοντες ἐποίουν μηδὲ παριέναι ἔτι ἀσφαλὲς εἶναι.

θελε συλλάβει αὐτὸς (ὁ Ξενοφῶν). — *Καθηγησομένους*] ἵνα τοὺς ὁδηγήσωσιν ἀσφαλῶς. — *Περὶ πλείστου ἐποιεῖτο*] Α'. θ'. 7.

§. 11. *Βιασάμενοι*] ἄκοντος τοῦ Ξενοφῶντος. — *Ἀπήλαυνον*] τούτους, τοὺς βίᾳ ἐθέλοντας μετασχεῖν τῆς στρατείας. — *Ὡς ἑτοίμων δὴ χρημάτων*] τὸ ἀνάλογον χρημάτων, ἅτινα ἤδη ἐθεώρουν ἕτοιμα.

§. 12. *Τύρσιος*] Δ'. δ'. 2. — *Ἀνδράποδα... καὶ χρήματα .. ἀπέδρα*] τὰ μὲν ἀνδράποδα ἀπέδρα, τὰ δὲ χρήματα (χρήσιμα πράγματα) διεσώθησαν ἄλλοθι. — *Παραμελοῦντας*] διότι δὲν κατέβαλον τὴν προσήκουσαν ἐπιμέλειαν, προσέχοντες ἵνα κτλ.

§. 14. *Ὡς τὸ πρῶτον διεφάνη*] ἅμα διῃλθε τὴν ὀπὴν ἡ πρωτη τοῦ φωτος ἀκτίς. — *Βουπόρῳ ὀβελίσκῳ*] μὲ ὀβελίσκον, δι' οὗ ἔψηνον βόας διαπεπαρμένους ἐν αὐτῷ· σοῦβλα γιὰ σφακτὸ βόδι, λέγει ἡ κοινή. ἐπομένως μακρὸς ὀβελός. — *Διαμπερὲς*] πέρα καὶ πέρα, λέγει ἡ κοινή. — *Ἐποίουν μηδὲ... ἀσφαλὲς εἶναι*] κατώρθωναν νὰ μὴ εἶναι ἀσφαλὴς μήτε ἡ προσέγγισις. Α'. ζ'. 4.

κεκραγότων δὲ αὐτῶν καὶ πυρσευόντων, ἐκβοηθοῦσιν 15
Ἰταμένης μὲν ἔχων τὴν ἑαυτοῦ δύναμιν, ἐκ Κομανίας
δὲ ὁπλῖται Ἀσσύριοι καὶ Ὑρκάνιοι ἱππεῖς καὶ οὗτοι βα-
σιλέως μισθοφόροι ὡς ὀγδοήκοντα, καὶ ἄλλοι πελτα-
σταὶ εἰς ὀκτακοσίους, ἄλλοι δ' ἐκ Παρθενίου, ἄλλοι
δ' ἐξ Ἀπολλωνίας καὶ ἐκ τῶν πλησίον χωρίων καὶ
ἱππεῖς.

Ἐνταῦθα δὴ ὥρα ἦν σκοπεῖν, πῶς ἔσται ἡ ἄφοδος· 16
καί, λαβόντες ὅσοι ἦσαν βόες καὶ πρόβατα, ἤλαυνον
καὶ ἀνδράποδα ἐντὸς πλαισίου ποιησάμενοι, οὐ τοῖς
χρήμασιν ἔτι προσέχοντες τὸν νοῦν, ἀλλὰ μὴ φυγὴ
εἴη ἡ ἄφοδος, εἰ καταλιπόντες τὰ χρήματα ἀπίοιεν,
καὶ οἵ τε πολέμιοι θρασύτεροι εἶεν καὶ οἱ στρατιῶ-
ται ἀθυμότεροι· νῦν δὲ ἀπῆσαν ὡς περὶ τῶν χρη-
μάτων μαχούμενοι. ἐπεὶ δὲ ἑώρα Γογγύλος ὀλίγους 17
μὲν τοὺς Ἕλληνας, πολλοὺς δὲ τοὺς ἐπικειμένους,
ἐξέρχεται καὶ αὐτὸς βίᾳ τῆς μητρὸς ἔχων τὴν ἑαυτοῦ
δύναμιν, βουλόμενος μετασχεῖν τοῦ ἔργου· συνεβοή-
θει δὲ καὶ Προκλῆς ἐξ Ἀλισάρνης καὶ Τευθρανίας ὁ
ἀπὸ Δαμαράτου. οἱ δὲ περὶ Ξενοφῶντα, ἐπεὶ πάνυ 18
ἤδη ἐπίεζοντο ὑπὸ τῶν τοξευμάτων καὶ σφενδονῶν,

§. 15. *Πυρσευόντων*] διὰ πυρῶν εἰδοποιούντων τοὺς φίλους. — *Κομανίας*] φαίνεται ὅτι αὕτη ἦτο φρούριον ὄχι μακρὰν τοῦ Περγάμου. — *Ἀσσύριοι καὶ Ὑρκάνιοι*] λαὸς ἱππικός, οὓς οἱ Πέρσαι λίαν ἐκτιμῶντες καθίστων φρουροὺς μισθοφόρους. — *Παρθενίου*] πόλισμα παρὰ τὸ Πέργαμον. Ἴδε §. 21. — *Ἀπολλωνίας*] πόλεως τῆς Τρῳάδος. Στράβ. ΙΓ'. 625.

§. 16. *Ἐνταῦθα δή*] Α'. ή. 19. — *Ἄφοδος*] Γ'. δ'. 41. ἔφοδον. — *Ἐντὸς πλαισίου ποιησάμενοι*] ἐγκλείσαντες ἐντὸς πλαισίου. Α'. ί. 9. *Περὶ πλαισίου* ἴδε Α'. ή. 9. — *Μὴ φυγὴ εἴη ἡ ἄφοδος*] μὴ ἡ ὀπισθοχώρησις μετατραπῇ εἰς φυγήν. — *Νῦν δὲ ἀπῆσαν*] = ὁ μὲν καιρὸς ἀπῄτει νὰ σκεφθῶσιν ὅπως... καταλιπόντες τὰ χρήματα ἀπέλθωσιν οὐχὶ ἀθυμότεροι· νῦν ὅμως ἀπήρχοντο ὡς εἰ ἔμελλον νὰ συγκροτήσωσι μάχην περὶ χρημάτων.

§. 17. *Βίᾳ τῆς μητρὸς*] ἀκούσης τῆς μητρός. — *Προκλῆς*] Β'. α'. 3. — *Ἀλισσάρνης*] Ἀλίσσαρνα πόλις τῆς Τρῳάδος.

§. 18. *Πορευόμενοι κύκλῳ κτλ.*] ἐν σχήματι κύκλου τεταγμένοι ἐπορεύοντο, ἵνα ἔχωσι τοὺς ὁπλίτας (ἐπιβεβλημένους τὰς ἀσπίδας ἐπὶ τῶν ὤμων) πρὸ τῶν

πορευόμενοι κύκλῳ, ὅπως τὰ ὅπλα ἔχοιεν πρὸ τῶν τοξευμάτων, μόλις διαβαίνουσι τὸν Κάρκασον ποτα-
19 μόν, τετρωμένοι ἐγγὺς οἱ ἡμίσεις. ἐνταῦθα δὲ Ἀγασίας Στυμφάλιος λοχαγὸς τιτρώσκεται, τὸν πάντα χρόνον μαχόμενος πρὸς τοὺς πολεμίους. καὶ διασώζονται, ἀνδράποδα ὡς διακόσια ἔχοντες καὶ πρόβατα ὅσον θύματα.

20 Τῇ δὲ ὑστεραίᾳ θυσάμενος ὁ Ξενοφῶν ἐξάγει νύκτωρ πᾶν τὸ στράτευμα, ὅπως ὅτι μακροτάτην ἔλθοι τῆς Λυδίας, εἰς τὸ μὴ διὰ τὸ ἐγγὺς εἶναι φοβεῖσθαι,
21 ἀλλ' ἀφυλακτεῖν. ὁ δὲ Ἀσιδάτης ἀκούσας, ὅτι πάλιν ἐπ' αὐτὸν τεθυμένος εἴη ὁ Ξενοφῶν καὶ παντὶ τῷ στρατεύματι ἤξοι, ἐξαυλίζεται εἰς κώμας ὑπὸ τὸ Παρθέ-
22 νιον πόλισμα ἐχούσας. ἐνταῦθα οἱ περὶ Ξενοφῶντα συντυγχάνουσιν αὐτῷ καὶ λαμβάνουσιν αὐτὸν καὶ γυναῖκα καὶ παῖδας καὶ τοὺς ἵππους καὶ πάντα τὰ ὄντα·
23 καὶ οὕτω τὰ πρότερα ἱερὰ ἀπέβη. ἔπειτα πάλιν ἀφικνοῦνται εἰς Ἴργαμον. ἐνταῦθα τὸν θεὸν ἠσπάσατο Ξενοφῶν· συνέπραττον γὰρ καὶ οἱ Λάκωνες καὶ οἱ λοχαγοὶ καὶ οἱ ἄλλοι στρατηγοὶ καὶ οἱ στρατιῶται ὥστ' ἐξαίρετα λαβεῖν καὶ ἵππους καὶ ζεύγη καὶ τἆλλα· ὥστε ἱκανὸν εἶναι καὶ ἄλλον ἤδη εὖ ποιεῖν.

τοξευμάτων. Τοῦτο δὲ προφανῶς διότι οἱ ὁπλῖται ὀλίγοι ὄντες δὲν ἠδύναντο νὰ ὑπερασπίσωσι πάντας τοὺς ἄλλους.

§. 19. Στυμφάλιος] Γ'. ά. 31. — Ὅσον θύματα] Ζ'. γ'. 20.

§. 20. Εἰς τὸ μὴ φοβεῖσθαι] ὥστε νὰ μὴ φοβηθῶσιν οἱ πολέμιοι, ἀλλ' ἀφύλακτοι ληφθῶσιν.

§. 21. Εἰς κώμας ὑπὸ τὸ Παρθένιον πόλισμα ἐχούσας] εἰς κώμας ἐχούσας ὑπὸ τὸ Παρθένιον πόλισμα = ἐκτεινομένας μέχρι τοῦ Παρθενίου, πολίχνης. Οὕτω καὶ Ἡρόδ. Δ. 42. Τὴν διώρυχα... τὴν ἐκ Νείλου ἔχουσαν (ἐκτεινομένην) εἰς τὸν Ἀράβιον κόλπον.

§. 22. Τὰ πρότερα ἱερὰ ἀπέβη] καλὴν ἔκβασιν ἔλαβον. Πρότερα δὲ ἱερὰ λέγει τὰ μνημονευθέντα ἐν §. 4 καὶ 5, ὡς πάτρια καὶ παλαιότερα· διότι ἀφ' ὅτου ἐξεστράτευεν Ἴδε Διὶ Βασιλεῖ καὶ Ἡρακλεῖ ἡγεμόνι. Ἴδε Γ'. ά. 6.

§. 23. Ἐνταῦθα] τότε. Α'. ή. 19. — Οὐκ ἠτιάσατο] δὲν ἔσχε ἀφορμὴν νὰ ἀποδώσῃ τὴν αἰτίαν κακοῦ τινος εἰς τὸν θεόν, ὃν συνεβούλευσεν αὐτῷ ὁ Ἡρακλεώτης, εἰς τὸν Μειλίχιον Δία ὀηλαδὴ (Ἴδε §. 4 καὶ 5), διότι πάντες ἐφιλοτιμήθησαν νὰ λάβῃ ὁ Ξενοφῶν κατ' ἐξαίρεσιν ὥρα τό-

Ἐν τούτῳ Θίβρων παραγενόμενος παρέλαβε τὸ 24
στράτευμα καὶ συμμίξας τῷ ἄλλῳ Ἑλληνικῷ ἐπολέμει πρὸς Τισσαφέρνην καὶ Φαρνάβαζον.

[Ἄρχοντες δὲ οἵ δε τῆς βασιλέως χώρας, ὅσην ἐπήλ- 25
θομεν· Λυδίας Ἀρτίμας, Φρυγίας Ἀρτακάμας, Λυκαονίας καὶ Καππαδοκίας Μιθριδάτης, Κιλικίας Συέννεσις, Φοινίκης καὶ Ἀραβίας Δέρνης, Συρίας καὶ Ἀσσυρίας Βέλεσυς, Βαβυλῶνος Ῥωπάρας, Μηδείας Ἀρβάκας, Φασιανῶν καὶ Ἑσπεριτῶν Τιρίβαζος· Καρδοῦχοι δὲ καὶ Χάλυβες καὶ Χαλδαῖοι καὶ Μάκρωνες καὶ Κόλχοι καὶ Μοσσύνοικοι καὶ Κοῖτοι καὶ Τιβαρηνοὶ αὐτόνομοι· Παφλαγονίας Κορύλας, Βιθυνῶν Φαρνάβαζος, τῶν ἐν Εὐρώπῃ Θρᾳκῶν Σεύθης.]

[Ἀριθμὸς δὲ συμπάσης τῆς ὁδοῦ τῆς ἀναβάσεως καὶ 26
καταβάσεως σταθμοὶ διακόσιοι δεκαπέντε, παρασάγγαι χίλιοι ἑκατὸν πεντήκοντα πέντε, στάδια τρισμύρια τετρακισχίλια ἑξακόσια πεντήκοντα. Χρόνου πλῆθος τῆς ἀναβάσεως καὶ καταβάσεως ἐνιαυτὸς καὶ τρεῖς μῆνες.]

σα, ὥστε ν' ἀρκῶσι ταῦτα καὶ ἄλλον νὰ εὐεργετήσῃ.

§. 26. Ἀριθμὸς] μέτρον ἢ ποσόν. Ἴδε Β'. β'. 6. — Καὶ καταβάσεως] μέχρι Κοτυώρων ἐννοεῖ, πρώτην τῶν Ἑλληνίδων πόλεων, εἰς ἣν ἦλθον· διότι ἀπὸ Ἐφέσου μέχρι τῆς μάχης εἶναι στάδια 16,050, ὡς εἶπεν ἐν Β'. β'. 6· ἐκεῖθεν δὲ μέχρι Κοτυώρων στάδιοι 18,600, ὡς εἶπεν ἐν Ε'. Σ'. 4. Τὸ ὅλον 34,650.

ΤΕΛΟΣ.